IMMANUELIS BEKKERI,

PROFESSORIS BEROLINENSIS,

ANECDOTA GRAECA.

VOLUMEN SECUNDUM.

APOLLONII ALEXANDRINI DE CONIUNCTIONIBUS ET DE ADVERBIIS LIBRI.
DIONYSII THRACIS GRAMMATICA.
CHOEROBOSCI, DIOMEDIS, MELAMPODIS, PORPHYRII, STEPHANI IN EAM SCHOLIA.

BEROLINI, APUD G. REIMERUM. 1816.

THE NEW YORK
PUBLIC LIBRARY

ASTOR, LENOX AND
TILDEN FOUNDATIONS

ΑΠΟΛΛΩΝΙΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

ΠΕΡΙ ΣΥΝΔΕΣΜΩΝ.

Ἡ προκατειλεγμένη σύνταξις περὶ συνδέσμων ὑπὸ πλειόνων γραμματικῶν, ἐλλιπεστέρα καθεστῶσα, τοὺς συνεχέστερον ἡμῖν ἐν ταῖς σχολικαῖς συγγυμνασίαις συνιόντας οὐκ ἔπειθε, καθότι οἱ μὲν αὐτὸ μόνον τὰ ὀνόματα τῶν συνδέσμων κατέλεξαν καὶ τὰς γινομένας μεταλήψεις ἐξ αὐτῶν εἰς αὐτούς, τουτέστι τοὺς ἰσοδυναμοῦντας ἀλλήλοις, οἱ δὲ περὶ προτάξεως καὶ ὑποτάξεως αὐτῶν, παρέντες τὰ ἀναγκαιότατα, λέγω τὰς ἐν αὐτοῖς δυνάμεις καὶ σχήματα καὶ ἄλλα πλεῖστα, ὑπὲρ ὧν εἰρήσεται· οἱ δὲ καὶ ὀνόμασιν ἀλλοτρίοις προσχρησάμενοι ἤπερ τοῖς εἰς γραμματικὴν συντείνουσι, Στωϊκὰς παρεισφέρουσι δόξας, ὧν ἡ παράδοσις οὐκ ἄγαν χρειώδης πρὸς τὴν εἰς γραμματικὴν συντείνουσαν τεχνολογίαν. ἔστι γοῦν πολλή τις καὶ δυσπερίληπτος περὶ τὰς φωνὰς τήρησις . . κατορθοῦται πᾶσα διάλεκτος, πᾶς σχηματισμὸς συντείνων εἰς Ἑλληνικὴν παράδοσιν ἀναγνωσμάτων, ἧς οὐδὲ κατ᾽ ὀλίγον ἐπιψαύει ὁ παρὰ τοῖς Στωϊκοῖς περὶ φωνῆς λόγος. καὶ δῆλον ὡς καὶ ἐπὶ τῶνδε τῶν μορίων τὸ αὐτὸ παρακολουθήσει. πάλιν γὰρ ὑποσταλήσεται ὃ περὶ αὐτῶν λόγος ἐν φωνῇ καὶ δηλουμένῳ, ἐν ᾧ καὶ τὰ ἐμπεπτωκότα σχήματα διὰ τῆς συνούσης φράσεως ἐπικριθήσεται, τά τε ἁπλᾶ αὐτῆς καὶ τὰ σύνθετα, προσέτι καὶ τὰ δόξαν ἐσχηκότα συνδέσμων, οὐ μὴν ὄντα, τίνα τε αὐτῶν ἐγκλίσεως ἔτυχε καὶ τίνα οὔ. καὶ ἕνεκά γε τῶν τοιούτων παραδόσεων ἀναγκαίως εἰς σχολικὴν ἀντιβολὴν κατέστημεν, ἐκλεγόμενοι παρ᾽ ἑκάστου τῶν πρὸ ἡμῶν τὸ χρειῶδες. πρὸς οἷς καὶ αὐτοί τι

ἐπινοήσαντες μετὰ τῆς δεούσης σαφηνείας παραδώσομεν, οὐκ ἐκτὸς γενόμενοι κατὰ τὸ παντελὲς τῆς τῶν Στωϊκῶν δόξης.

ΕΙ ΔΕΟΝΤΩΣ ΑΙ ΚΑΛΟΥΜΕΝΑΙ ΠΑΡΑ ΤΟΙΣ ΓΡΑΜΜΑ- 8
ΤΙΚΟΙΣ ΠΡΟΘΕΣΕΙΣ ΠΑΡΑ ΤΟΙΣ ΣΤΩΙΚΟΙΣ ΠΡΟ-
ΘΕΤΙΚΟΙ ΣΥΝΔΕΣΜΟΙ ΚΑΛΟΥΝΤΑΙ Ἢ ΚΑΤ' ΕΝΙΟΥΣ
ΣΥΝΔΕΣΜΟΕΙΔΗ ΜΟΡΙΑ.

Ποσειδώνιος ἐν τῷ περὶ συνδέσμων ἀντιλέγων 10
πρὸς τοὺς φάσκοντας, ὡς οἱ σύνδεσμοι οὐ δηλοῦσι μέν τι, αὐτὸ δὲ μόνον τὴν φράσιν συνδέουσι, φησὶν ὡς διαφέρει τὸ ἐπιδοῦναι τοῦ ἀποδοῦναι, ὡς τὸ ἀπαιτεῖν τοῦ προσαιτεῖν, καὶ ἄλλας τινὰς τοιαύτας συντάξεις, ἤδη πιστούμενος ὅτι ἓν μέρος λόγου ἥ τε πρόθεσις καὶ ὁ 11
σύνδεσμος. ἐν γοῦν τῇ αὐτῇ πάλιν τῇ ἐναντιότητι τῇ πρὸς ἐκείνους ἀντιῤῥήσει ἐκτίθεται τοὺς κατὰ φύσιν συνδέσμους, φάσκων ὡς διὰ τὴν δύναμιν . . . . . ἵνα φαμὲν τοπικόν· ἡ γὰρ φράσις παρῃτεῖτο εἰς τὸ καλεῖν σύνδεσμον. ἀλλ' οὐκέτι ἐν τῷ ἵνα εἴδομεν ἄμ- 21
φω. ὅφρα μὲν ἠὼς ἦν, χρονικὸν ἐπίῤῥημα· ὅφρα πεποίθῃς, σύνδεσμος αἰτιολογικός. τί οὖν κωλύει καὶ κατὰ τοῦτον τὸν λόγον τὰ ἴσην δύναμιν ἀναδεδεγμένα συνδέσμοις μόρια καλεῖν συνδέσμους ὁμοφωνοῦντας προθέσεσιν, οὐ μήν, ὡς ἐδόκει τῷ Ποσειδωνίῳ, καὶ τὰς ἐν 22
τῷ τοιούτῳ δηλουμένῳ συνδέσμους καλεῖν, ἐπιδοῦναι, ἀποδοῦναι; Οὐ λέληθε δ' ἡμᾶς κἀκεῖνος ὁ λόγος, ὡς οὐδὲ κατὰ τὸ παντελὲς τοῖς συνδέσμοις ἀνθυπάγονται. εἰ δεινὰ δέδρακας· ἀνθ' ὧν δεινὰ δέδρακας· ἰδοὺ γὰρ καὶ ἄρθρου παρέμπτωσις. καὶ ἔτι εἰ ἡμέρα 3
ἐστί, φῶς ἐστί· διὰ τὸ ἡμέραν εἶναι φῶς ἐστί· καὶ πάλιν παρεισέδυ τὸ ἄρθρον, καὶ ἀντὶ ὁριστικῶν ἀπαρέμφατα παρελήφθη. ὅτι δὲ κατὰ πολὺ τὰ μόρια

χωριστέον, καθότι καὶ νῦν οἱ γραμμα . . . . . .
. . . . . .
. . . . . ἡμέρα ἐστίν
. . . . . κότος ἐστί
. . . . . δέσμου διὰ τί ὁ ἄν ω οὐκ ἐπι 5
. . . . . ν τοῖς προκειμένοις
. . . . . των, ἐν ᾧ ἐπειδείξαμεν
. . . αι. οὐ γὰρ ἐν τῷ καθόλου τὸ τοιοῦτόν ἐστι
. . . . . ον τέ ἐστιν εὑρέσθαι, ἐὰν θέλῃς
. . . . . κης ἀναγνοίην ἄν. ὥςτε οὔτε περὶ 10
. . . . . ἐπιφορας διὰ τῶν αὐτῶν τοῦ λόγου
. . . . . ἢ σύνθετον καταστήσεται. τὸ αὐτὸ ἄρα
. . . . . ἑσμοῦ ὁ ἐάν ἐπιζευκτικὸς ἐδείχθη γινόμενος
. . . . . ι ουν καὶ τῷ ἐπεί παράκειται ἐπεάν
. . . . . ἅπαντός τε γὰρ συνθέτου σχήματος . μία ἐστὶν 15
. . . . . εἰα καὶ τὰ τῆς φωνῆς ὑπαγορεύῃ καὶ τὰ
. . . . . εἴπερ οὖν ὁ ἐπεί ἔχει καὶ τὴν φωνὴν τοῦ
. . . . . ἔχει δὲ καὶ τὸ δηλούμενον, ἐν οἷς ἀκολου-
[θίας ἐστ]ὶ παραστατικός, ἔχει δὲ καὶ δυνάμει τὸν ἐάν,
[συνεστῶ]τα ἐκ τοῦ εἶ καὶ ἄν, ἐν οἷς πάλιν φαμὲν 20
. . . . . πῶς οὐχὶ βίαιον μὴ οὐχὶ παραδέξασθαι
. . . προκειμένων ἀνδρῶν τὴν δόκησιν;

ΠΕΡΙ ΔΙΑΖΕΥΚΤΙΚΩΝ.

Ἠπορήθη πῶς σύνδεσμοι οἱ προκείμενοι, [μαχομέ]- 25
νην ἔχοντες τὴν ἐξ αὐτῶν δύναμιν τῇ θέσει τοῦ ὀνό-
ματος, [εἴγε] τὸ συνδεῖν τῷ διαζευγνύειν μάχεται. Ἔχε-
ται ἀπολογίας [ἡ π]ροκειμένη ἀπορία, ὡς καὶ ἐπ' ἄλλων
ἔστιν ἐπινοῆσαι [ὅτι] τὰ αὐτὰ ὄντα μαχομένην πολλάκις
ὀνομασίαν ἀνεδέξατο. φαμὲν τὸ μάχομαι παθητικόν, 30
καὶ δῆλον ὅτι τῷ τύπῳ τῆς φωνῆς· εἰ γὰρ ἀπὸ τοῦ δη-
λουμένου, δῆλον ὅτι ἐνεργητικόν. ἀλλὰ μὴν καὶ τὸ παι-

δίον οὐδέτερον διὰ τὸν τύπον, ἐπεὶ ἀμφότερόν ἐστι διὰ τὸ δηλούμενον· παρατιθέμενος γοῦν τις ἀρσενικὸν καὶ θηλυκόν, εἴποι ἂν παρατίθεμαί σοι παιδία, ἀλλὰ καὶ τὰ Θῆβαι πληθυντικόν, καὶ μία ἡ ὑποκειμένη πόλις, ἔστι καὶ ἐπ' ἄλλων πλειόνων τὰ τοιοῦτον παραθέσθαι. Οἱ δὴ προκείμενοι σύνδεσμοι εἴρηνται μὲν σύνδεσμοι ἕνεκα τοῦ συνδεῖν τὰς φράσεις, ὥστε τὸ κοινὸν τῶν συνδέσμων αὐτοὺς ἀναδεδέχθαι· ἕνεκα δὲ τοῦ ἀπ' αὐτῶν δηλουμένου διαζευκτικοὶ ὠνομάσθησαν. ὅλης γὰρ τῆς φράσεως [συνδεθείσης, τὰ νοούμενα] πράγματα διαζευγνύουσιν. [ἔτι δὲ οὐκ] αὐτοτελὲς τὸ ἡμέρα ἐστὶ καί, [ἀλλ'] ἐζήτει ἑτέραν φράσιν, καὶ ἡμέρα [ἐστὶ καὶ φῶς ἐστί.] τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν διαζευκτικ[ῶν] . . . . . ἢ νύξ ἐστι, καὶ ὡς μὲν σύνδεσμοι κα . . . . . εισιν, ἀπεδείχθη· ὡς δὲ τὰ ἐπιφερόμεν . . . . παρελήφθη μὲν ὑπὸ τῆς συνδέσεως . . . . ὑπὸ τοῦ δηλουμένου τοῦ ἀπὸ τοῦ συνδ . . . . γενήσεται ἐκ τοῦ ἢ νύξ ἐστιν. ὅλον γὰρ ἔνεστι . . νοουμένων πραγμάτων κατὰ τὸ αὐτὸ π . . . κεσθαι, ἡ ἐπαγγελία τῶν διαζευκτικῶν . . . ξιν ἐπαγγέλλεται, τοῦ δ' ὑπολειπομένου ἢ . . . ἀναίρεσιν, καὶ ἔστι πάλιν αὐτῶν ἃ μὲν . . . τὴν διάζευξιν ἀναδεδεγμένα, ἃ δὲ οὐ . . . . τὴν διάζευξιν παρειληφότα. τὸ γὰρ λεγόμενον ἢ ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν ἐν ἀληθεῖ καθέστηκε διεζευγμένῳ· ταῦτα γὰρ τὰ καταστήματα ο[ὐδέποτε] κατὰ ταὐτὸ γενήσεται. τὸ δὲ λεγόμενον ἢ Ἀπολλώνιος παρέσται ἢ Τρύφων ὡς πρὸς καιρὸν τὴν διάζευξιν ἐπαγγέλλεται, τὸ γοῦν πρότερον ὑπάδειγμα, κἂν μὴ [λάβῃ] τὸν διαζευκτικὸν σύνδεσμον, πάλιν ἐν διαζεύξει [ἔσται], ἡμέρα ἐστί, νύξ ἐστι. τὸ ἕτερον ἀληθές, εἰ φαί . . . . ἡμέρας οὔσης ἡμέρα ἐστί· τὸ δὲ ἕτερον οὐ πάν-

τῶς, Τρύφων παρέσται, Ἀπολλώνιος οὐ παρέσται· οὐ διαζεύγνυται γὰρ τὰ τοιαῦτα, ἐὰν μὴ λάβῃ τὸν διαζευκτικὸν σύνδεσμον. ἐφ᾽ ὧν ἔστι καὶ τοὺς μαχομένους τοῖς διαζευκτικοῖς συνδέσμους παραθέσθαι, καὶ Ἀπολλώνιος παρέσται καὶ Τρύφων παρέσται· εἰ Τρύφων παρέσται, καὶ Ἀπολλώνιος παρέσται. ἐπὶ μέντοι τῶν κατὰ φύσιν διεζευγμένων οὐκέτι· οὐ γὰρ συστήσεται τὸ καὶ ἡμέρα ἐστὶ καὶ νύξ ἐστιν, οὐδὲ τὸ εἰ ἡμέρα ἐστί, νύξ ἐστιν. ὦ εἰσί τινες λόγοι ὑπὸ τῶν συνδέσμων διαζευγνύμενοι συμπλεκόμενοι, τινὲς δὲ συναπτόμενοι, τινές τε οὐ πάντως ὑπὸ τῶν συνδέσμων τὸ συναφὲς ἐπαγγελλόμενοι, ἀλλὰ καὶ δι᾽ αὐτῶν δηλοῦντες· ἢ καὶ διαζευγνύμενοι πάλιν οὐχ ὑπὸ τῶν διαζευκτικῶν, ἀλλ᾽ ἐξ αὐτῶν τὴν διάζευξιν δηλοῦντες. ἐφ᾽ ὧν οὐκ ἐναλλαγαὶ γενήσονται

. . . ἔστω δὲ ὑποδείγματα. ὁ λέγων τὸ [ἡμέρα ἐστί δεδήλ]ωκεν ὅτι καὶ φῶς ἐστίν. ἐπὶ τούτου οὐκ[έτι] ἐγχωρήσει τὸ ἤτοι ἡμέρα ἐστὶν ἢ φῶς ἐστίν. [καὶ ζῶ καὶ] ἀναπνέω· οὐ γὰρ ἔτι ἐγχωρήσει τὸ [ἤτοι ζῶ ἢ ἀνα]πνέω. ἡ συνάφεια γὰρ ἐν τῷ ζῆν τοῦ ἀναπνεῖν

. . . . . υκτικοῦ, καθὼς προείπομεν διὰ
. . . . ναι νύκτα εἶναι τὸ ἕτερον ἀληθεύει. ἐπι
. . . συναπτικὸν οὐ συστήσεται. ἐπεὶ ἅμα τῷ λέγειν
. . . ιν δεδήλωται ὅτι οὐ νύξ. τὸ δ᾽ ἐν συναφείᾳ
. . . ἀκολουθίᾳ καθίστασθαι. τὰ μέντοι ὑπολειπο
. . . τα τῶν λόγων, λέγω τὰ μὴ ὑποπίπτοντα
. . . τον εἶδος, ὑπ᾽ αὐτῶν τῶν συνδέσμων πείσεται [τὸ διεζεῦχ]θαι ἢ συνῆφθαι. ὡς εἴ τις λέγοι ἢ διαπρα[θέειν ἢ ἄν]διχα πάντα δάσασθαι, καὶ διαπραθέειν [καὶ ἄνδι]χα πάντα δάσασθαι. καὶ ὃν τρόπον οὐχ οἷόν [τε] παντὶ πτωτικῷ ἄρθρον προσνέμειν, τῷ δὲ [δυνα]μένῳ ἐπιδέξασθαι, τὸν αὐτὸν τρόπον οὐχ οἷόν τέ ἐστι [παντὶ] λόγῳ πάντα σύνδεσμον συντάττειν. λέγω δὲ

. . . τὸν δι' ἑαυτοῦ ἐπαγγελλόμενον συνάφειαν, ἐφ' οὗ γὰρ ὁ διαζευκτικός, ἐκεῖ οὐχ ὁ συναπτικός· καὶ ὅπου ὁ συναπτικός, ἐκεῖ οὐκέτι ὁ διαζευκτικός. καὶ σαφὲς ἐκ τοῦ προκειμένου, ὡς μάχεται ἥ τε τῶν συναπτικῶν ἐπαγγελία, καὶ ἔτι τῶν συμπλεκτικῶν, πρὸς τὴν τῶν διαζευκτικῶν, καθ' ἕνα τρόπον τῶν συμπλεκτικῶν ἀδιαφορούντων. ὡς γὰρ οἱ διαζευκτικοὶ οὐκ ἐν ἀκολουθίᾳ, οὐδ' οἱ συμπλεκτικοί. εἰ γὰρ ὧδ' ἀποφαινοίμεθα, ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν, ἢ καὶ κατὰ ἀναστροφήν, ἤτοι νύξ ἐστιν ἢ ἡμέρα ἐστίν, ἀδιαφορεῖ, ὡς εἰ καὶ Ἀπολλώνιος παρέσται καὶ Τρύφων παρέσται, καὶ Τρύφων παρέσται καὶ Ἀπολλώνιος.

Μηδὲ τὸ πρὸς τῶν Στωϊκῶν λεγόμενον παραλείπωμεν, παρ' οἷς ἐστί τις διαφορὰ ἐν τοῖς κατὰ φύσιν διεζευγμένοις μαχομένου καὶ ἀντικειμένου. καὶ ἦν μαχόμενον τὸ μὴ δυνάμενον κατὰ τὸ αὐτὸ παραληφθῆναι, ὑπὲρ οὗ καὶ ἐν τοῖς προκειμένοις εἴρηται, ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν, ἢ φθέγγομαι ἢ σιγῶ, καὶ ἔτι τὰ τούτοις ὅμοια. ἀντικείμενον δὲ τὸ πλεονάζον ἀποφάσει, ὅπερ δυνάμει πάλιν μαχόμενον . . . . . .
ἢ ἡμέρα ἐστὶν ἢ οὐκ ἔστιν ἡμέρα . . . .
γος ἐπλέονασε τῇ ἀποφάσει. ἡ γὰρ φ . . . .
ἢ κάθημαι ἢ οὐ κάθημαι. καὶ τουτ . . . .
τοῦ μαχομένου η τω . . . . . .
ἀντιστατοῦν ἐπιφέρεται . . . . . .
μὲν γὰρ εἰ οὕτως ἐπηνέχθη . . . . . .
οὐκ ἔστιν ἡμέρα. δύο δὲ εἰ ουτ . . . .
ἐστὶν ἡμέρα ἢ ἡμέρα ἐστίν. πλ . . . .
γων ἔχει περισσὴν τὴν ἀπόφασιν . . . . .
ἡμέρα οὐκ ἔστιν ἢ οὐχ ἡμέρα ἐστίν . . . .
τῶν λόγων μιᾷ ἀποφάσει πλεον . . . . .
τήρησις παρὰ τοῖς Στωϊκοῖς ἀντι[κειμένου καὶ μα]

χομένου. χρὴ μέντοι γινώσκειν ο . . . . .
τὸ δηλούμενον. ἐν ᾧ γὰρ ἀποφάσκομεν τὸ [ἡμέραν εἶναι],
ἐν τούτῳ καταλείπεται τὸ νύκτα εἶναι. ο . . . .
δὲ εἴρηται μαχόμενον ἀπὸ τῶν ἐν μάχῃ . . .
οἷς παρέπεται τὸ μὴ συνεῖναι. φαμὲν γ . . . 5
τησιν καὶ ἔτι ξυμβασίας τὰς φιλίας . . . .
καὶ τὰ κατὰ φύσιν ἢν διαζευκτικά.

ΠΕΡΙ ΠΑΡΑΔΙΑΖΕΥΚΤΙΚΩΝ.

10

Ἔστι καὶ τρίτη διαφορὰ τῶν προκειμένων συνδέσμων, ἡ παραδιαζευκτική, ἐπαγγελίαν [ἔχουσα] τοιαύτην, ἢ τὸ ἓν ἢ καὶ τὸ συνὸν ἢ καὶ τὰ συνόντα θεναι. διαφέρει δὲ τοῦ διαζευκτικοῦ τοῦ ἓν μ[όνον] ἐπαγγελλομένου. καὶ ἡ γινομένη ἐν αὐτοῖς σύνδεσις 15 ο[ὐκ ἂν] δύναιτό ποτε ἀπὸ τῶν μαχομένων παραληφθῆναι, ἀπὸ δὲ τῶν ἑτέρων λόγων. οἷόν τε γάρ ἐστι τὸν παραδιαζευκτικὸν καὶ εἰς τὸν καί μεταλαμβάνεσθαι, παρ[εστή]σαμεν δὲ ὡς τὰ φύσει διεζευγμένα οὔ ποτε συμπλακήσεται. ἐκκείσθω δὲ ὑποδείγματα. ὁ ἀποφηνάμενος 20 οὕτως, ἢ νέος ἢ παλαιός, οὐχὶ τὸ ἕτερον ἀπαγορεύει, ὡς νέος μὲν βουλὴν εἰσηγησάσθω, παλαιὸς δὲ μή, ἢ παλαιὸς μέν, νέος δὲ μή, ἀλλὰ τοιοῦτόν τι ἀπαιτεῖ, κἂν νέος εἰσηγῆται κἂν παλαιός, παραδέξομαι· ὥστε ἢ τὸ ἓν αἰτεῖ ἢ τὰ δύο. καὶ αἱ τοιαῦται δὲ φρ[άσεις] οὕτως ἔχου- 25 σιν, ἢ Ἀλκαϊκόν μοι χρῆσον ἢ Σαπφικόν. οὐ γὰρ ἐν ἀποφάσει τὸ ἕτερον, ὥσπερ ἐστὶν ἐπὶ τοῦ ἰατροῦ ἀποφαινομένου ἢ ῥοφημάτιον δὸς ἢ σευτλίον. . .

. . . . . γένοιτο. λέγω δὲ ἐπὶ τοῦ προ
. . . . . τοῦ χρήσαντος. ἐφ᾽ οὗ δὲ ἄγαν 30
. . . . . αυται τῶν ἐλέγχων ἐπιγραφαὶ
. . . . . Ἀχαιοὶ ἢ Πελοποννήσιοι· καὶ
. . . . . οὕτως ἂν ἔχοι, φωνή ἐστιν

. . . . . η τὸ ἴδιον αἰσθητὸν ἀκοῆς
. . . . . ἐζ]ητήθη διότι οὐ τακτέοι εἰσὶν
[εἰς τοὺς συμπλε]κτικούς, εἴγε ἀκώλυτον ἔχουσι τὴν
[εἰς αὐτοὺς μετά]ληψιν, καὶ νέος παλαιός καὶ παλαιὸς
. . . . . εστι τοι οἷόν τε δρᾶσαι ἢ παθεῖν 5
. . . δρᾶσαι. καί φησι Τρύφων, ὡς οὐ πάντως
[τὰ μεταλαμβ]ανόμενα εἰς τὸ αὐτὸ εἶδος ἐπάγεται. τὸ
[ἀκολου]θεῖ ῥῆμα μετάληψιν ἔχει τὴν εἰς τὸν εἴ σύνδεσμον·
[ἀκολουθ]εῖ τῷ ἡμέραν εἶναι τὸ φῶς εἶναι· ἴσον γὰρ
[τῷ εἰ ἡμέρα ἐστ]ί, φῶς ἐστίν. ἄλλως τε τὸ μὲν συμπλε 10
[κτικὸν ἐξ] ἀνάγκης πάντα τίθησι, καὶ νέος καὶ παλαιός· [τὸ δὲ] διαζευκτικὸν οὐκέτι, ἀλλὰ ἢ καὶ τὸ ἓν
. . . . . ετερα ἢ καὶ τὰ ἐπιφερόμενα. προσθείημεν
[δ' ἂν καὶ] τοῦτο. ὃν τρόπον ὁ καλούμενος παρασυνα-
[πτικός,] ἔχων καὶ ἐπαγγελίαν τὴν τοῦ συμπλεκτικοῦ, ἐν οἷς 15
. . . . ,ἔχων δὲ καὶ τὴν τοῦ συναπτικοῦ, ἐν οἷς ἀκολουθίας ἐστὶ παραστατικός, οὐκ ἀπὸ τῆς δυνάμεως τῶν συνδέσμων τὴν ὀνομασίαν εἴληφε, καλούμενος συμπλεκτικὸς ἢ συναπτικός, παρὰ δὲ τὸ συνημμένον ληφθεὶς παρασυναπτικὸς ὠνομάσθη, τὸν αὐτὸν τρόπον καὶ οἱ 20 καλούμενοι παραδιαζευκτικοί, ἔχοντες μὲν τοῦ διαζευκτικοῦ τὸ ἓν παραλαμβάνειν, ἔχοντες δὲ καὶ τοῦ συμπλεκτικοῦ τὸ καὶ ἓν καὶ τὰ ἕτερα, πάλιν ἔτυχον τῆς ὀνομασίας, κληθέντες παραδιαζευκτικοί.

Καὶ τοσαῦτα μὲν περὶ τῆς ἐννοίας τῶν προκειμέ- 25 νων συνδέσμων. ῥητέον δὲ καὶ ὑπὲρ τῆς τάξεως. ὃ ἢ καὶ ὁ ἢέ διαφέρουσι τοῦ ἤτοι, καθότι οἱ μὲν καὶ προτακτικοί εἰσι καὶ ὑποτακτικοί,

κτείνας ἠὲ δόλῳ ἢ ἀμφαδόν·
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι· 30

ὃ δὲ ἤτοι μόνως προτακτικός· οὐ γὰρ ἄν ποτε φήσαιμεν ἢ ἡμέρα ἐστὶν ἤτοι νύξ ἐστι. καὶ ἔτι ὁ μὲν ἤτοι ἅπαξ παραλαμβάνεται, οἱ δὲ ἄλλοι ἐπὶ πλεῖον πα-

ραλαμβάνονται κατὰ τὰς συνδέσεις, ἤτοι Ἀπολλώνιος παρέσται ἢ Διονύσιος ἢ Τρύφων. [ὁ δὲ ἠέ τοῦ ἤ]
διαφέρει, ἡ ὁ μὲν συνηθέστερος . . . . . .
ὁ δὲ ποιητικός, τὴν τῶν προκα . . . . . .
τάξιν ἔστιν οἰκείως ἐκδέξασθαι 5
κοὶ καὶ ὅσοι ἀκολουθίαν ἐπαγγέλλονται . . .
λόγων παραλαμβανόμενοι οὐκ αν . . . . .
τάξύτητι· οἱ δὲ διαζευκτικοὶ οὐκ αν . . . .
εἰ μὴ ἐκ μεταξύτητι τεθεῖεν, ὡς ἐφαμ . . . . .
μεν τῶν συνδέσμων ἡ θέσις ὠκείωται 10
συναπτικὸν τὴν συνάφειαν ἐπαγγέλλομεν . . .
ηνωμένην τῷ λόγῳ τὴν τάξιν, τὸ δ . . . . .
δηλοῦν τὸ ἀσυγύπαρκτον μεσάζεται κ . . . .
τάξιν τῶν λόγων, ὡςανεὶ ἀπεῖργον . . . . .
τοῦ ἑτέρου λόγον. καὶ διὰ τοῦτο ἐν ἀρχῇ . . . 15
τιθέμενοι οἱ διαζευκτικοὶ οὔ ποτε σ . . . .
λόγους ἤτοι ἡμέρα ἐστί νύξ ἐστιν. εἰ δὲ σ . .
φαινοίμεθα ἡμέρα ἐστὶν ἢ νύξ ἐστί . . .
ὁ λόγος συνδέδεται. καὶ ἀποβληθεὶς μὲν ὁ ἢ . .
τὴν διάζευξιν ἕξει, καθὸ εἰς τὴν οἰκείαν χώραν . . 20
ὁ σύνδεσμος· ἀποβληθεὶς δὲ ὁ ἤ, οὐ ποιήσει . . . .
πάλιν μὴ δεόντως ἐτέτακτο ὁ ἤτοι.

Ἔστι [καὶ τρί]τη διαφορὰ τοῦ ἢ συνδέσμου, ἥτις καλεῖ-
ταιδιασαφητική, τοῦ μὲν γὰρ προτέρου ὕπαρξιν διασ[αφεῖ]
τοῦ δὲ ἐπιφερομένου ἀναίρεσιν, βούλομαι πλουτεῖν ἢ 25
πένεσθαι, βούλομαι φιλολογεῖν ἢ σχολάζειν.
ποιεῖται καὶ μετὰ τοῦ πέρ τὴν σύνταξιν, ἡμέρα ἐστὶν
ἤπερ νύξ. ἴδιον δὲ ἔχει παρὰ τοὺς προκειμένους συν [δέ-
σμους]τὸ ἐν ἀρχῇ μὴ παραλαμβάνεσθαι, καθάπερ ἔχ[ου-
σιν] οἵ τε διαζευκτικοὶ καὶ παραδιαζευκτικοί, ἢ ἡμέρα 30
ἐστὶν ἢ νύξ ἐστιν. τῷ μέντοι διασαφητικῷ συνδέσμῳ
οὐκ ἄλλο τι σύνεστι μόριον ἢ τὸ μᾶλλον καὶ ἧττον. καὶ

ἦν ἡ τοιαύτη ἀφορμὴ ἀποδεικτική, καθότι προείπομεν ἐν τοῖς κατ᾽ ἀρχήν, τοῦ τὸ μᾶλλον καὶ ἧσσον συνδέσμους εἶναι, καὶ καθὸ δύναμις ἦν αντηρη. ἔστι μέντοι καὶ ὑπὲρ τοῦ ἢ ζήτησις, πότερον εἰς τὰ ἐπιῤῥήματα κατα-
ταγείη ἢ εἴπερ εἰς τοὺς συνδέσμους, δῆλον ὡς καὶ τὸ 5
ἀνθυπαγόμενον μόριον, λέγω δὲ τὴν οὔ ἀπόφασιν, εἰς
τοὺς συνδέσμους παραλαμ . . . . . .
ἔστιν ἢ νύξ· πλουτεῖν βούλομαι [ἢ πένεσθαι.]
ἔστι τὸ αὐτὸ οὕτως ἀποφήνασθαι· [πλουτεῖν βούλομαι,]
οὐ πένεσθαι· ἡμέρα ἐστίν, οὐχὶ δὲ 10
εν ὡς οὔτε ὁ προκατειλημμένος σύν[δεσμος ἄλλο]
τι κεκλήσεται ἢ σύνδεσμος, οὔθ᾽ ἡ ἀπο[φ . . .
σει ἢ ἐπίῤῥημα. πρῶτον, ὡς καὶ ἄλλοτε . . .
ἀνθυπαγόμενα οὐκ εἰς τὰ αὐτὰ μέρη λόγου [παρα-]
λ]ηπτά [ἐσ]τιν ἐν τῷ καθόλου, εἴγε ἐδείξαμεν ἐν τῷ . . 15
ῥήματι τὸ ἄν σύνδεσμον ἀντιπαραλαμβανόμενον . .
πλείονα, ὥςτε οὐδὲ κατὰ τοῦτο τῷ ἢ τὸ οὔ . . .
δεύτερον οἱ σύνδεσμοι συσσημαίνουσιν, αὐτόθεν δὲ [ἡ ἀπό-
φ]ασις τὸ δηλούμενον προφανὲς ἔχει. τρίτον [οἱ σύνδεσ-]
μοι κατ᾽ ἰδίαν οὐ ῥητοί, ἐπεὶ πόθεν σύνδεσμοι; τὸν μὲν 20
ἢ σύνδεσμον ἐπαγγελλόμενον οὐ ῥητὸν κα . . . .
ἡ δὲ οὔ ἀπόφασις, τέταρτον τὰ ἐπιῤῥήματα [παράγε-
τ]αι, οὐχὶ οἱ σύνδεσμοι. τὸ οὔ ἐν τῷ οὐχὶ παράγεται, [τοῦ ἢ οὐχ]
οὕτως ἔχοντος. τὸ δὲ πάντων συνεκτικώτατον· ἡ ἀπό-
φασις πρὸ ῥήματος ἐπιτασσομένη ποιεῖ αὐτο . . . 25
οὐ γράφω, οὐ περιπατῶ. ἦν δὲ τὸ τοιοῦτον ἴδιον . .
ῥημάτων. ὁ δὲ ἢ οὐδέποτε τὸ τοιοῦτον ἀπετέλεσε . .
τοῦ δ᾽ ἑτέρου λόγου ἐξ ἀνάγκης παραλαμβανομένου . .
ὅπερ ἦν ἴδιον συνδέσμου, γράφω ἤπερ λέγω, δια-
λέγομαι ἤπερ ἀναγινώσκω. ὑγιῶς ἄρα ὁ μὲν ἐπίῤ- 30
ῥημα κεκλήσεται, ὁ δὲ σύνδεσμος.

Φαίνεται δὲ ὅτι ἡ τοιαύτη διαφορὰ τοῦ συνδέσμου ἀπὸ τῆς διαζευκτικῆς συνδέσεως μετέβαλεν εἰς τὴν δια-

σαφηνικήν, ὡςεὶ ἐπικρινικὴ γενομένη τῆς διαζεύξεως. ἐκκείσθωσαν γὰρ αἱ διαφοραί. ἐπαγγέλλεται γὰρ τὸ διαζευκτικόν, ἐὰν τοῦτο, οὐ τοῦτο· εἰ τοῦτο, μὴ τοῦτο. καὶ ἔτι, ἢ τοῦτο καὶ τὸ συνὸν ἢ συνόντα . . ὅπερ καλεῖται παραδιαζευκτικόν. τὸ δὲ λειπόμενον, τοῦτο, οὐ τοῦτο. τέθειται γὰρ τὸ πλουτεῖν βούλομαι ἀνηρημένου τοῦ πένεσθαι. καί μοι δοκεῖ ἕνεκα τούτου σύνδεσμον ἔξωθεν μηκέτι παραδεδέχθαι ὁ τοιοῦτος λόγος, εἰς δὲ ἐπίτασιν τὸ ἐπιτατικὸν ἐπίῤῥημα, λέγω τὸ μᾶλλον. ἐπεὶ δὲ τὸ μὲν ἐν ἀρχῇ τοῦ λόγου ἀναδεξάμενον τὸν ἤ ἢ τὸν ἤτοι ἀναμφίλεκτόν ἐστιν ἢ διαζευκτικὸν ἢ παραδιαζευκτικόν, τὸ δὲ μὴ οὕτως ἔχον ἤτοι πάλιν διαζευκτικόν ἐστιν ἢ καὶ διασαφηνικόν, φαίνεται ὅτι διὰ τὸ τοιοῦτον ἀμφίβολον [τοῦ τε] διασαφηνικοῦ καὶ τοῦ διαζευκτικοῦ [ἐπὶ μὲν τοῦ]

[βού]λομ' ἐγὼ λαὸν σάον ἔμμεναι ἢ ἀπολέσθαι

[οὐ] διστάζομεν, ὅτι ὁ ἢ νῦν διασαφηνικός . . . ἐν διαζεύξει γινόμενον γέλοιον· ἐπὶ μ[ένοι τοῦ]

πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι
ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε

ὅ . τὸν ἕτερον νῦν παραδέξασθαι. τὸν δὲ ἕτερον . . . . . δύναται γὰρ διαζευκτικὸς εἰρῆσθαι τοῦ . . . πληροῦντος. εὔξονται ταχεῖς γενέσθαι, ἵνα [ἀποφύγωσιν] Ὀδυσσέα, ἢ ἄγαν πλούσιοι, ἵνα πείσωσι . . . εἴη παραπληρωματικὸς ὁ κέ. φαίνεται ὅ[τι διασαφη]τικός ἐστι. μᾶλλον γὰρ εὔξονται ταχεῖς γένεσθαι [ἤπερ] ἄγαν πλούσιοι. ὅπερ καὶ μᾶλλον, καὶ καθόλου . . . . σύνδεσμος καὶ καθὸ ὑποβάλλει ὁ λόγος . . . . . που

Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀπόδοιτε.

Ἑξῆς ῥητέον περὶ τῶν διαπορητικῶν.

ΔΙΑΠΟΡΗΤΙΚΟΙ.

Ἦρα. Οὗτος κατὰ πᾶσαν διάλεκτον, ὑπεσταλμέ[νης] τῆς κοινῆς καὶ Ἀττικῆς, ἦρα λέγεται·

ἦρ' ἔτι π[άρ]θενίης ἐπιβάλλομαι, 5

Σαπφώ.

ἦρ' ἔστι θ' ὕδωρ σ . . . . . .

ἐπὶ τοῦ τοιούτου οὐκ ἐμποδίζοντός τινος συ[ναλοι] φὴν ἐκδέξασθαι, Τρύφων φησιν ἀποκοπὴν παρηκολουθηκέναι. καὶ ἔτι 10

ἤρά κεν ἐν δεσμοῖς ἐθέλοις.

παρ' Ἀλκμᾶνι

ἦρα τὸν Φοῖβον ὄνειρον εἶδον.

Ἀρχίλοχος μέντοι κοινότερον ἔφη

ὡς ἄρ' ἀλώπηξ καίετος ξυνωνίαν. 15

Καί πού τινες τὸν ἢ τὸν αὐτὸν ἐξεδέξαντο τῷ ἄρα, ὡς ἀποκοπῆς γεγενημένης ἀπὸ τοῦ ηρα, ὡς εἰ καὶ εἴ τις ἐκδέξαιτο τὸ δῶμα καὶ τὸ δῶ. ἀλλ' οὐκ [ἔστιν] ὑγιές, οὐ τοῦτό μου ἀποφαινομένου, ὡς οὐκ ἔνδεκτ[ον] ἀποκοπῆναι σύνδεσμον· δεδείξεται γὰρ τὸ τοιοῦτον. 20 τὸ γοῦν

ὄ μοι γέρας ἔρχεται ἄλλη

οὐκ ἄν ποτε ἀποδ[εξαίμην], καθό τινες ᾠήθησαν, ἄρθρον ἀντὶ συνδέσμου παρειλῆφθαι, μᾶλλον δὲ ἀποκοπὴν εἶναι τοῦ ὅτι. ἀλλ' οὐχ ὥς τινες ὁ ἢ ἐν ἀποκοπῇ γενόμενος τοῦ ἦρα. σαφὲς ἐντεῦθεν. πᾶσα λέξις ὁτιδήποτε παθοῦσα ἔχει καὶ τὸ ἴδιον δηλούμενον, καὶ εἴ τινος τάξεως τύχοι, ταύτης πάλιν οὐ μετατίθεται. φαμὲν [δῶ·] ἀλλὰ παλιν δηλοῦται τὸ δῶμα . . . . . .

τὰ πάθη οὐ τῶν δηλουμένων 30

καὶ ἡ παρά λέγεται πάρ, πὰρ Ζηνί, παρφολω . . . .

δηλοῖ ἐντελοῦς τῆς παρά. ἀλλὰ μὴν . πισο . . .

οὐ παρὰ τὸ πάθος ἐναλλαγὴν τῆς . . . . .

ἐν. εἴπερ οὖν καὶ ὁ ἦρα μόνως ὢν προτα[κτικὸς] ἀπεκέκοπτο, καὶ πάλιν ἂν κατ' ἀρχὰς παρε[λαμβ]άνετο. ὅπερ οὐ παρείπετο· εἰς γὰρ ἐνάντιον ἐχώρησε, τ[ὸ] ἐν μέσῃ τῇ φράσει παραλαμβάνεσθαι. ἀλλ' οὐ[δ' ὁ ἐν] ἀρχῇ ἢ πάλιν ἀποκοπή ἐστι τοῦ ἦρα. φαμὲν γὰρ . . . 5

ἢ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἰοχέαιρα·

ἦν γὰρ [ἂν περισ]πώμενος, εἴγε ἡ βαρεῖα ἀποκοπτομένη τὸν [αὐτὸν] τηρεῖ τόνον τῷ ὑπολειπομένῳ, δῶμα δῶ. καὶ [ὅνεκά] γε τούτου τὴν νῶϊ ἀντωνυμίαν, μονοσύλλαβον [εὑρισκο-μ]ένην παρ' Ἀττικοῖς ἐν τῷ νώ, οὗ φαμεν ἀποκεκόφθαι. 10 . εἴπερ ἀποκοπὴ ὑφ' ἑτέρου λόγου τὰ τοῦ τόνου [μετ]ετέθη· οὗ τὴν ἀπόδειξιν ἐν τῷ περὶ ἀντωνυμιῶν ἔξε[θέμ]ην. σαφὲς οὖν ὅτι οὔτε ἡ τοῦ προτακτικοῦ φωνὴ ἀπεκόπη τοῦ ἦρα διὰ τὸν τόνον, οὔτε ἡ τοῦ ὑποτακτικοῦ διὰ τὴν σύνταξιν. Τρύφων δέ φησιν ὡς ὁ διαζευκτικὸς . . 15 ἢ παραλαμβάνεται εἰς τοὺς διαπορητικοὺς κατ' ἀρχὰς . . ὡς ἐπὶ τοῦ

ἢ ἤδη σάφα οἶδεν·

ἢ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἰοχέαιρα.

οὐ πάνυ δὲ ἀναγκαῖον. τί γὰρ τὸ κωλῦόν ἐστιν ὁμοφω- 20 νεῖν τῷ διαζευκτικῷ τὸν ἢ σύνδεσμον, ὄντα διαπορητικόν, εἴγε καὶ ἐπ' ἄλλων πλειόνων τὸ αὐτὸ παρέπεται;

Μηδ' ἐκεῖνο δὲ παραλείπωμεν, ὡς τινες ὑπέλαβον τὸν ἆρα σύνδεσμον μὴ εἶναι, εἴγε τοῦ ἰδίου τῶν συνδέσμων ἐκτὸς πίπτει. τὸ ἡμέρα ἐστὶν αὐτοτελές, ἀλλὰ 25 τὸ ἤτοι ἡμέρα ἐστὶν οὐκ αὐτοτελές, οὐδὲ τὴν αὐτὴν θέσιν ἐπαγγελλόμενον τῷ ἡμέρα ἐστίν· καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτό· ἐν μέντοι γε τῷ ἡμέρα ἐστί, λέγω κατ' ἐρώτησιν, οὐδὲν πλεῖον νοεῖται μετὰ τοῦ ἆρα. εἴτε γὰρ τὸ πρότερον αὐτοτελές, καὶ τὸ μετὰ τοῦ ἆρα· 30 εἴτε ἐλλιπές, πάλιν τὸ αὐτό. ἔτι ὅτε φαμὲν οὕτως ἆρα ἡμέρα ἐστὶν ἢ νύξ, σύνδεσιν ἐποιησάμεθα οὐ διὰ

τοῦ ἄρα, διὰ δὲ τοῦ ἤ. καὶ τοῦτο σαφές ἐστιν ἐκ τοῦ τὸν μὲν ἢ ὑποστελλόμενον ἀσύστατον τὸν λόγον καταλιπεῖν, τὸν δὲ ἄρα μηκέτι. ἕνεκά γε τοῦ τοιούτου οὐδὲ τὸν ἤ σύνδεσμον καταλείψομεν. ἔστι γάρ που τοιαύτη φράσις· ἀναγινώσκεις, οὐκ ἀναγινώσκεις· ἀπέρχῃ, οὐκ ἀπέρχῃ. ἀλλ' ὡ[μολογη]μένως λείπεται ἡ φράσις τοῦ ἤ.

ἤομεν ὡς ἐκέλευες ἀνὰ δρυπά, [φαίδιμ' Ὀδυσσεῦ·]
εὕρομεν ἐν βήσσῃσι τετυγμενα δώμ[ατα]

λείποντος τοῦ καί. καὶ οὐχὶ παρὰ τὰς ἑλλ[είψεις] οἱ σύν- 10
δεσμοι, ἀλλὰ μὴν οὐδὲ ἄλλη λέξις . . πλε-]
ονάσαιεν, οὐ παρὰ τοῦτο πλέον τι ἀναδ. . . . .
εἰσι, λέγω καθόλου ἐπὶ πασῶν λέξεων. τὸν [αὐτὸν δὴ]
τρόπον ἐν φράσει ἐὰν ἐλλείπῃ ὁ ἄρα. οὐ πάντως . .
σύνδεσμος. ἔτι ὁ ἤτοι ὡμολόγηται ὅτι σύν[δεσμος δια] 15
ζευκτικός, καὶ δῆλόν ἐστιν ὡς μόνος οὐ ποιεῖ [διάζευξιν]
εἰ μὴ παραλάβοι τὸν ἤ. τὸ αὐτὸ οὖν παρακ[ολουθήσει]
τῷ ἄρα. Ἀλλ' οὐδὲν πλέον σημαίνει ἐν τῷ ἄρα ἡ [μέρα ἐστίν;]
ἕνεκα τοῦ τοιούτου οὐδ' ὁ καί σύνδεσμος οὐδ' ᾗ . .
τὸ γὰρ αὐτὸ ἐπαγγέλλεται τὸ καὶ γράφω καὶ γραφ . 20
πολλάκις ἐγκειμένων τινῶν κατά τινας λέξεις . .
παραλαμβάνομεν τοῦ αὐτοῦ δηλουμένου παραστα[τικὰ]
μόρια. οἷον ἐν συγκριτικοῖς ἔγκειται τὸ μᾶλλον· ἀλλὰ
φαμὲν ταχύτερον μᾶλλον περιπάτει,

ῥηΐτεροι γὰρ μᾶλλον. 25

καὶ οὐ πάντως ἕνεκα τοῦ τοιούτου ἀποβλητέον τὸ μᾶλλον ὡς οὐκ ἐπιῤῥῆμα. ἔτι γε μὴν πρὸς τὰς ἐρωτήσεις ὅτε μὲν οὕτως ὑπαντῶμεν πεποιη . ἀποκρινόμενοι τὸ ναί ἢ διὰ τοῦ ὁρισμοῦ τοῦ ναὶ πεπο ηκα. καὶ παλιν οὐκ ἀπόβλητον τὸ ναί των ἐπιῤῥημάτων. καὶ ἐπ' ἄλλων 30
ἀπείρων ἔστι τὸ τοιοῦτον παραστῆσαι. τί οὖν τὸ ἐμπόδιον καὶ τῷ ἄρα συνδέσμῳ τὸ αὐτὸ παρακολουθῆσαι; Τινὲς δὲ καὶ τῶν φιλοσόφων εἰς ἀναπόλησιν φασι τῆς

ἐρωτή-

ἐρωτήσεως τὸν ἄρα παραλαμβάνεσθαι, καθότι καὶ εἰς πλείονα συγκατάθεσιν τὸ ναὶ γέγραφα, καὶ εἰς μᾶλλον ὕπαρξιν τὸν καί ἐν τῷ καὶ γράφω. ἔλαθε δὲ αὐτούς, ὅτι καὶ ἐν τῷ ἄρα ἡμέρα καὶ ἔτι τοῖς παραπλησίοις ἔλλειπτικός ἐστιν ὁ λόγος, ἀπεκδεχομένων ἡμῶν τὰς συμβολικὰς φωνάς, λέγω τὴν οὔ καὶ τὴν ναί. τὰ γὰρ ἐντελῆ ἐστὶ τοιαῦτα, ἡμέρα ἐστὶν ἢ οὔ, ἡμέρα ἐστὶν ἢ νύξ. Τρύφων παρεγένετο ἢ οὔ, Τρύφων παρεγένετο ἢ Διονύσιος. Προσθείημεν δ' ἂν καὶ τοῦτο, ὡς καθόλου οἱ τοιοῦτοι λόγοι ἐκ διαζευκτικῆς φράσεως μετατέθεινται εἰς διαπορητικήν

. . . . . ἐρώτησιν διαπορούντων ἡμῶν τι
. . . . . καθ' ὁρισμὸν ἐκφερομένους παρα
. . . . ἐρώτησιν φράσις περιπατεῖ Τρύφων
. . φω . . γέγραφας γέγραφας σήμερον γέγρα
. . . [σ]ήμερον γέγραφας. τὰ δέοντα οὖν τούτων τῶν λόγων παραλαμβανέσθω εἰς διάζευξιν τῶν μὲν ὡρισμένων . . ἡμέρα ἐστὶν ἢ νύξ ἐστι. σαφὲς γὰρ ὅτι ὁ τὸ τοιοῦτον ἀποφαινόμενος ἓν οἶδεν ἀληθὲς ὄν. οὐχὶ οὖν πάλιν [ἐπὶ] τοῦ τοιούτου λόγου γενήσεταί τις ὑπερώτησις ἡμέρα ἐστι
. . καὶ δῆλον ὅτι ὁ οὕτω λέγων ἀμφοτέρων ἐστὶ
. . . αἰτεῖ μέντοι τὸ ἕτερον, καθότι, ὡς ἔφαμεν, ὁ διε]ζευγμένος ἐπαγγέλλεται τὸ ἕτερον. οὐκ ἀπιθάνως δὲ οἶμαι καὶ τὴν τοῦ συνδέσμου φωνὴν μετατεθεῖσθαι τοῦ [τό]νο[υ,] καθότι καὶ ὅλη ἡ φράσις τὸ αὐτὸ ἀνεδέξατο, καθότι καὶ ἐκ τοῦ πλεονάσαντος ε̄ συμφανές ἐστιν. ὡς γὰρ [ἐν] τῷ διαζευκτικῷ ἐστὶν ὁ ἠέ, οὕτως καὶ ἐν τῷ διαπορητικῷ,

ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν.

ἀλλὰ κἀκ τῆς τάξεως. ὡς γὰρ τὰ διεζευγμένα ἀδιαφορεῖ, οὕτως καὶ τὰ διηπορημένα, ἡμέρα ἐστὶν ἢ νύξ ἐστι, νύξ ἐστιν ἢ ἡμέρα ἐστίν. εἴτε γὰρ κατὰ διαπόρησιν εἴτε κατὰ διάζευξιν φαίημεν, ἀδιαφορεῖ. ὁμολόγως

οὖν οἱ κατ᾽ ἀρχὴν τιθέμενοι σύνδεσμοι τῶν προκειμένων λόγων καὶ κατὰ φωνὴν διαλλαγὴν ἔσχον, ὥστε ἐν μὲν διαζευκτικῷ παραλαμβάνεσθαι τὸν ἤτοι, ἐν δὲ διαπορητικῷ τὸν ἄρα, ἤτοι Τρύφων παρέσται ἢ Θέων, ἄρα Τρύφων παραγενήσεται ἢ Θέων, μόνου τοῦ κατ᾽ ἀρχὴν ἢ κοινῶς εἰλημμένου ἐπί τε διαζεύξεως ἐπί τε διαπορήσεως.

Εἴρηται ὡς τὸ ᾱ τοῦ ἄρα εἰς ῑ μετετίθετο παρὰ ταῖς ἄλλαις διαλέκταις, ὑπεσταλμένης τῆς Ἀττικῆς. καί πού τινες ἐπὶ τῆδε τῆς μεταθέσεως ἐπιστοῦντο, ὡς τὸ μακρὸν ᾱ εἰς ῑ μετατίθεται παρ᾽ Ἴωσιν, οὐ τὸ βραχύ, καθότι ὁ ἐν βραχεῖ τῷ ᾱ λεγόμενος ἄρα συλλογιστικός ἐστι καλούμενος ἢ ἐπιφορικός, οὐ μετατίθησι. καὶ ἀντέλεγε Τρύφων, παρατιθέμενος ᾄσει καὶ τὸ βραχὺ ᾱ εἰς ῑ μετατίθεται, ὡς τὸ ἀναιδείην ἐπιειμένε, διπλάσιον διπλήσιον, τὴν ἀμαιμάκετον Σκύλλην, πείνῃ δ᾽ οὔ ποτε δῆμον ἐπέρχεται, ὕψι δ᾽ ἀέλλῃ. ἐχρῆν δὲ κἀκεῖνο παραθέσθαι, ὡς καὶ ἐπ᾽ αὐτοῦ τοῦ συνδέσμου ἡ μετάθεσις γεγόνοι. τὸ γὰρ

ἦρά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός
οὐκ ἀ[πὸ τοῦ διαπορητικοῦ· οὐδὲ τὸ]

ἦρά νύ μοι ξεῖνος πατρώϊος·

[ἦρά] νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν·
[τοιοῦτον γάρ] τί φησι, ξένος ἄρα πατρ. . . .
[μεγάλων] ἄρα δώρων ἐπιθυμεῖς. καὶ ἐπ᾽ ἄλλων [πολλῶν.

ΜΩΝ.] Συνήθης ἐστὶ ποιηταῖς. καὶ πρός τινων . . . ὡς εἴη σύνθετος ἐκ τοῦ μή καὶ οὖν. πρὸ[ς οὓς ἀντι]τίθησι Τρύφων κἀκ τοῦ δηλουμένου κἀ[κ τῆς φωνῆς.] ἐκ μὲν οὖν τοῦ δηλουμένου, ὡς ἀσυστατεῖ [ἡ μή ἀπάγο]ρευσις μετὰ συλλογιστικοῦ τοῦ οὖν διαπορητι-κ[ὸν] ἀποτελέσαι, εἴγε διαφέρει τὸ συλλογίζεσθαι το[ῦ διαπορεῖν.] καὶ ἔτι ὡς ὁ οὖν ἐν ὑποτάξει ἐστίν, ὁ δὲ μῶν [προτακτικός.] ἐκ δὲ τῆς φωνῆς, καθὸ ὁ μῶν σύδεσμος τὸ ῡ

[ἐκθλίβει·] οὐ γὰρ οἷόντε εὑρέσθαι τὸ ῡ ἐκθλιβόμενον,
πρ[οσλαμ]βανόμενον δὲ κατὰ τὰς γινομένας συναλοιφας
. . δὴ αὖτε – δηῦτε, ὁ αὐτός – ὠὐτός, ἐμέο αὐτοῦ –
[ἐμωυτοῦ.] ἦν ἄν οὖν καὶ μωῦν. Καὶ πρὸς τὸ τοιοῦτόν τινες
. . ὡς διὰ κακοφωνίαν ἐκθλιβείη τὸ ῡ. δέον δὲ πρ[ὸς] 5
μὲν τὸν ἀπὸ τῆς φωνῆς λόγον φάναι, ὡς οὐ παρὰ τὸν
οὖν ἡ σύνθεσις, ἀλλὰ παρὰ τὸν ὦν, ὄντα καὶ Ἰωνικὸν
καὶ Αἰολικὸν καὶ Δωρικόν. ἀλλὰ πῶς παρὰ τοῖς Ἀθη-
ναίοις; ὅτι δυνάμει Ἴωνες. ἀλλ' εἰ καὶ ἀπὸ Δωρίδος δια-
λέκτου ἦν τι παρ' Ἀθηναίοις, οὐ ξένον, ὅπου γε καὶ δα- 10
ρ[ὸν] φασιν. ἀλλὰ καὶ ἐπὶ συναλοιφῆς ἔστι τὸ τοιοῦ-
τον παραστῆσαι. τὸ θάτερον παρ' αὐτοῖς ἀσύστατον, εἰὰν
παρὰ τὸ ἕτερον ἢ συνηλιμμένον, εἴγε ἡ τοιαύτη συνέ-
λευσις εἰς τὴν ου δίφθογγον μεθίσταται, τὸ ἐμόν – τοὐ-
μόν, τὸ ἔργον – τοὖργον, τὸ ἔλαιον – τοὔλαιον. πῶς οὖν 15
τὸ ἕτερον οὐ θούτερον; ψυχρὸν τὸ λέγειν, ὅτι ἀπὸ πλη-
θυντικῆς ἐκφορᾶς εἰς ἑνικὴν μετῆλθε. πότε γὰρ πλη-
θυντικὸν ἑνικὸν ἐκανόνισε; καὶ πότε οὐχὶ αἱ παραθέ-
σεις κατὰ τοὺς ἰδίους αριθμοὺς τὰς συναλοιφὰς ἀναδέ-
χονται; ἔστω δὲ ἐν ὑποδείγματι τὸ ἔργον – τοὖργον, τὰ 20
ἔργα – ταὖργα. καὶ ὡς οὐχ ὑγιὲς τὸ λέγειν τοὖργα ἢ ταὖ-
γον, δῆλον ὡς καὶ ἐπὶ τοῦ προκειμένου ταὐτὸν παρακο-
λουθήσει, καὶ ἡ ἀπολογία περιίσταται εἰς σολοικισμόν.
ἄμεινον οὖν παραδέξασθαι Δωρικὴν μετάθεσιν τοῦ ᾱ
εἰς τὸ ᾱ, καὶ ὡς ὁ ἀνήρ ἀνήρ, ὁ ἄνθρωπος ἄνθρωπος, 25
οὕτως τὸ ἕτερον θάτερόν ἐστι. καὶ αλλ τὸ πεινῆν καὶ
διψῆν. καὶ οὐκ ἐπὶ πλέον δεῖ περὶ τούτων παρ[αθέσθαι
. . . τα φωνὴν ὁ μὲν οὕτως. πρὸς δὲ [τὸν ἀπὸ
τοῦ δηλου]μένο[υ] λόγον ἐκεῖνα ἂν φήσαιμεν. πρῶτον
[ὅτι αἱ σύνθετοι] τῶν λέξεων οὐ τὸ αὐτὸ ἐπαγγέλλονται ταῖς 30
[ἁπλῶς] ἐκφερομέναις, ἐν τοῖς περὶ σχημάτων εἴρηται
. [ἐξ αὐ]τῶν τῶν συνδέσμων πλεῖστα ἔστι παραθέσθαι,
[καθὸ] ἑξῆς εἰρήσεται, εἴγε ἄλλο μὲν τὸ καί, ἄλλο δὲ τὸ καίτοι

. . ἀλλ' εἰ καὶ τὸ τοιοῦτον παραθείη [τις], ἔστι κα
. . αι κυρίως τὴν κατάστασιν τοῦ συνδέσμου ὡς βούλεται
. . τ . ων τὸ μή οὐ πάντοτέ ἐστιν ἀπαγορευτικόν, ἀλλὰ
[καὶ] διαπορητικῶς παραλαμβάνεται; μὴ γράψει; μὴ λήσεται
[ἡμᾶς;] ἴσον γάρ ἐστι τῷ ἄρα λήσεται ἡμᾶς. ἀλλὰ μὴν καὶ
[ὁ οἶν] παραπληρωματικός ἐστι. συνέστηκεν οὖν ὁ μῶν ἔκ
[τε] διαπορητικοῦ τοῦ μή καὶ τοῦ ὦν παραπληρωματικοῦ,
[καὶ] οὕτως ἐστὶ διαπορητικός. μαρτυρεῖ δὲ συλλογιστικῷ
[μὲν] ὄντι τῷ οὖν τὸ οὐκοῦν οὐ βαρυνόμενον κατὰ τέ-
λος, παραπληρωματικῷ δ' ὄντι τὸ βαρυνόμενον. 1

ΚΑΤΑ. Οὗτος πολλάκις ἐν ἴσῳ τῷ καί παραλαμ-
βάνεται. οὐ γάρ . . . ον παρ' Ἀριστοφάνει ἐν Βα-
τράχοις τὸ

κᾶτα πῶς [δυν]ήσομαι

ἀντὶ τοῦ καί παραλαμβάνεσθαι. ἴσως μέν[τοι] ἐκεῖνο 1
διαπορητικόν ἐστιν ἐν Φοινίσσαις Εὐριπίδου·

κᾶτα σὺν πολλοῖσιν ἦλθες.

Τρύφων μέντοι ἐν τῷ περὶ ἐπιῤῥημάτων ὡς περὶ ἐπιῤ-
ῥήματος χρονικοῦ τὸν λόγον ποιεῖται, ἐν ᾧ καὶ ἐζήτησεν,
εἰ ἔγκειται τὸ εἶτα. ἐν δὲ τῷ περὶ συνδέσμων, ὁμοίως 2
τοῖς περὶ Ἀπολλώνιον καὶ Κόμανον καὶ σχεδὸν ἅπασι
σύνδεσμον ἐκδεχόμενος, πάλιν λόγους τινὰς προὐφέρετο
ἐξεταστικοὺς τοῦ ἐγκεῖσθαι τὸν καί καὶ τὸ εἶτα, καθό
τινες ᾠήθησαν, καὶ ἦσαν τοιοῦτοι οἱ κανόνες. ὁ καί
σύνδεσμος ἐκθλίψιν τοῦ ῑ καὶ κρᾶσιν τοῦ ᾱ ποιεῖται εἰς 2
μακρὸν ᾱ, τοῦ ᾱ μόνου ἐπιφερομένου. φαίνεται ὅτι καὶ
τοῦ ῆ. καὶ ἐμέ - κἀμέ, καὶ ἐκεῖνος - κἀκεῖνος. ὅτε μέν-
τοι δίφθογγος ἐπιφέρεται, ἐκθλίβεται τὸ ᾱ καὶ τὸ ῑ, καὶ
εἶχον - κεῖχον. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ō. ἐπιφερομένου
γὰρ μόνου τοῦ ō, κρᾶσιν ποιεῖται, καὶ ὁ σός - χὡ σός, 30
καὶ ὁ οἶνος - χοῖνος, καὶ ὁ φίλος - χὡ φίλος. εἴπερ οὖν
ἔγκειται τὸ εἶτα, ἦν ἂν κεῖτα. καὶ ἔτι ἐν τῷ περὶ ἐπιῤῥη-
μάτων καὶ τὸ δηλούμενόν φησι μάχεσθαι. ὁ μὲν γὰρ

καί σύνδεσμος ἐπὶ τῶν κατὰ τὸν αὐτὸν καιρὸν παραλαμβανομένων ἐστίν — ὑφ' ἕνα γὰρ καιρὸν γραφόντων τινῶν φαμὲν καὶ Διονύσιος ἔγραφε καὶ Ἀπολλώνιος —, καὶ δῆλον ὅτι διὰ τοῦτο καὶ ἀθροιστικ[ός· ὁ δὲ εἶτα χρό]νου τομὴν ἐπαγγέλλεται. ὁ γὰρ λέγων Ἀρι- 5 στ[οφάνης ἔγραψεν,] εἶτα Ἀπολλώνιος ταξεώς ἐστι παραστ[ατικός. προς]θείημεν δ' ἂν ὅτι καὶ τοῖς κατὰ ἀριθμὸν παραλαμβανομένοις σύνεστιν, Ἀρίσταρχος πρῶτος ἔγραψε[ν, εἶτα] δεύτερος Ἀριστοφάνης, εἶτα τρίτος καὶ τὰ ἑξῆς. εἰ καὶ τὸ δευτερός τις βα- 10 στάξειε, μένει τὸ ἐν δευτέρᾳ τάξει νοούμενον, Ἀρίσταρχος πρῶτος ἔγραψεν, εἶτα Διονύσιος. εἰ μέντοι τὸν καί παραλαμβάνοιμεν, ἀμφο . . . γίγνονται. διὰ τούτων οὖν θεματικὸν τὸν σύνδεσμον [ἐξε]δέχετο. εἶτά φησι χωρὶς εἰ μὴ ἐπεκτέταται ὁ καί, ὡς ὁ 15 δή, ἀποβολῆς γενομένης τοῦ ῑ καὶ εὐλόγου ἐκτάσεως τοῦ ᾱ, καθότι καὶ τὸ κλαίειν κλάειν. ἦν δ' ἂν τοῦτο πιθανόν, εἰ πάντοτε ἀντὶ τοῦ καί παρελαμβάνετο ὁ κᾶτα. καὶ φαίνεται ὅτι δι' οὗ ᾐτήσατο ὑποστολὴν τοῦ ῑ, διὰ τούτου οἱ ἀξιοῦντες τὸ εἶτα ἐγκεῖσθαι κατορθοῦσι τὸν 20 κᾶτα. ὡς γὰρ τὸ καὶ ἐμέ - κἀμέ, οὕτω καὶ τὸ καὶ εἶτα, ἐνδεῆσαν τῷ δευτέρῳ ῑ, ὑποσυνήλιπτὰι ἐν τῷ κᾶτα.

ΠΕΡΙ ΑΙΤΙΟΛΟΓΙΚΩΝ.

Πρὸ τῆς καταλογῆς τῶν αἰτιολογικῶν ἐπιστατέον 25 μορίῳ τῷ Ἕκητι, τί ποτ' ἂν εἴη μέρος λόγου. καὶ δῆλον ὅτι, εἰ σημαίνοι τὸ ἕνεκα, σύνδεσμος ἂν εἴη αἰτιολογικός, ἰσοδυναμῶν τῷ ἕνεκα καὶ χάριν· εἰ δὲ μὴ δηλοῖ μὲν τὸ ἕνεκα, τὸ δὲ ἑκοντηδόν, ἕκητι σοῦ ὡς εἰ ἑκόντος, δῆλον ὡς ἐπίῤῥημα. Ἀλλά φησιν ὁ Τρύφων, ὡς 30 ἀδύνατον ἂν εἴη σύνδεσμον αὐτὸ ἐκδέξασθαι, καθὸ οὔ ποτε οἱ σύνδεσμοι τὴν ᾱ στέρησιν ἀναδέχονται, ἔστι δὲ τὸ ἀέκητι ἐν στερήσει τοῦ ἕκητι. προσθείημεν δ' ἂν τῷ

λόγῳ καὶ τοῦτο, ὡς εὐλόγως οὐδὲ ἡ ᾱ στέρησις παρακείσεται τοῖς συνδέσμοις, ἐπεὶ πάντοτε ἐν συνθέσει ἐστί, καὶ ἔστιν ἀνατρεπτικὴ τοῦ πρὸς ὃ συντίθεται. εἴπερ οὖν τὸ τοιοῦτον παρείπετο, καὶ ἡ δύναμις τῶν συνδέσμων ἀνῃρεῖτο, καὶ δῆλον ὡς οὐ σύνδεσμοι. ἔτι εἴπερ τὸ ἔκητι σύνδεσμος αἰτιολογικός, δῆλον ὡς οὐ τὸ ἀέκητι· στέρησις γὰρ τῆς αἰτιολογίας. ἀλλὰ πάλιν ἦν ἐκεῖνο ἀδύνατον τὸ μὴ εἰς ταὐτὸν εἶδος παραλαμβάνεσθαι τὸ ἐν στερήσει παραλαμβανόμενον μέρος λόγου, φυλάττον τὴν αὐτὴν κατάληξιν καὶ τὸ αὐτὸ δηλούμενον, 1
αὐτὸ μόνον τῆς στερήσεως περιττευούσης. ὃν γὰρ τρόπον [τὸ ἑκών τῷ] ἀέκων ταὐτόν, οὕτω καὶ τὸ ἀέκητι ταὐ-
[τὸν ἔστ]αι τῷ ἔκητι· οὐδενὶ γὰρ διαφέρει, ὡς ἔφαμεν,
[εἰ μὴ τῇ στερήσει]. εἴρηται δὲ ὅτι ἀδύνατον τὸ ἀέκητι σύνδε-
σμον [εἶναι· ἄλο]γον ἄρα καὶ τὸ ἔκητι σύνδεσμον εἶναι. προς- 1
[θείημεν] δ' ἂν καὶ τοῦτο, ὡς ἐν τοῖς συνδέσμοις ἡ οὔ ἀπό-
[φασις ὅτε] πρόσεισιν ἐν παραθέσει, οὐ τὸν σύνδεσμον ἀναι-
[ρεῖ μόνον], τὴν δὲ ὅλην φράσιν. φημὶ δὲ τοῦτο, καθὸ ἡ οὔ
ἀπό[φασ]ις, ἀναιροῦσά τινα μέρη λόγου, καὶ εἰς τὴν ᾱ
μεταλαμβάνεται στέρησιν, οὐ φίλος - ἄφιλος, οὐ σέβω - 2
ἀσεβῶ, οὐχ οἷόν τε δ' ἐστὶν εὑρεῖν, καθότι προείπομεν,
ἐν στερήσει ποτὲ σύνδεσμον παραλαμβανόμενον. τὸ ὅλον
οὖν ἀναιρεῖ ἡ ἀπόφασις, οὐχὶ τὸν σύνδεσμον. φαίνεται οὖν
ὅτι καὶ ἐν τῷ ἔκητι κατὰ τὸ αὐτὸ προσεληλύθει ἡ οὔ ἀπό-
φασις, οὐχ ἔκητι Ἀπολλωνίου, ὁμοίως τῷ οὐχ ἕνεκα Ἀπολ- 2
λωνίου, οὐ χάριν Ἀπολλωνίου, οὐχ ὅτι ἔγραψα. Ἀλλ' οὐδὲ
ἐπίῤῥημα, φησὶν ὁ Τρύφων, πάνυ ἀκριβῶς καὶ τῷ σχη-
ματισμῷ προσελθὼν καὶ τῇ τάσει. εἰ γὰρ παρὰ τὸ ἑκών
τὸ ἐπίῤῥημα ἐγένετο, κἂν ὠξύνετο, εἴγε τὰ ἐν παραγωγῇ,
κἂν μακρῷ τῷ ῑ χρῆται κἂν βραχεῖ, ὀξύνεται, Ἑλληνι- 3
στί, ἀμογητί, πανοικί. πῶς οὖν βαρύνεται τὸ ἔκητι;
Ἔτι οὐδέποτε ἐπίῤῥημα σὺν στερήσει ἀποτελεῖται. τὰ
γὰρ ὄντα παρασύνθετά ἐστι. τῷ ἀσέμνως τὸ ἄσεμνος

παράκειται, τῷ ἀψευδῶς τὸ ἀψευδής, τῷ ἀκλαυτί τὸ ἄκλαυτος, τῷ ἀθεωρητί τὸ ἀθεώρητος. σαφῶς παραδίδοται ὁ τοιοῦτος λόγος ἐν τῷ περὶ ἐπιῤῥημάτων. ὥστε καὶ κατὰ τοῦτο ἀσύστατον τὸ ἀέκητι, κἂν ἐπίῤῥημα καθεστήκῃ τὸ ἑκητι. Ἔδει τὸν Τρύφωνα καὶ τὴν φωνὴν καταστῆσαι τοῦ ἑκητι, εἰ ὅλως δύναται τῇ ἑκών παρακεῖσθαι. καί φησιν ὅτι, καθὸ ἠλογήθη ἡ φωνή, δύναται ἐπίῤῥημα καθίστασθαι, ἠλογημένον ἐν τῇ τάσει, καθότι καὶ ἐν αὐτῇ τῇ φωνῇ. ἔδει δὲ καὶ περὶ τῆς ᾱ στερήσεως λόγον τινὰ ποιήσασθαι, ἐπεί τοί γε ἐπίῤῥημα καθεστὸς ἀκατάστατον γενήσεται καὶ ἐν τάσει ἀνακόλουθον πρὸς τὴν ἑκών, ἄλογον ἔχον τὴν σύνθεσιν. καὶ οὐδὲν κωλύσει ἕνεκα τούτου τὸ αὐτὸ ἁμάρτημα μετατιθέναι ἐπὶ τὸν σύνδεσμον, κἂν σύνδεσμος κατασταίη τὸ ἀέκητι.

Ῥητέον οὖν ὑπὲρ τοῦ σχηματισμοῦ . . . . . .
πολλάκις ἀποτελεῖται ἁπλᾶ καὶ δη . . . . .
θος ὑπαιτᾷ τῇ καλουμένῃ ἀφαιρέ[σει . . . . .
ἐπὶ τῶν ἁπλῶν σχημάτων τὸ λειπομεν . . . . .
τοῦ ὅλου δηλουμένου ἐστὶ παραστατικον τον . . .
τὸ λειπόμενον ἁπλοῦν δηλώσει τοῦ ὅλου τὴν συν . . .
δηλουμένου, ἐπεὶ τὸ ἀφῃρημένον ἐν λεκτῷ καθιστ . .
ἐκ]κείσθω δὲ υποδείγματα. τὸ ἠνορέη διαφέρει τοῦ [ἀνδρία],
ἢ τὸ μὲν ἐξ ἁπλοῦ ἐγένετο τοῦ ἀνδρός, τὸ δὲ ἐκ συνθ[του τοῦ]
εὐήνωρ· οὐ γὰρ ἂν ἄλλως τὸ κατ' ἀρχὴν ᾱ εἰς ῑ μετ[έπεσεν],
οὐδὲ μὴν τὸ ῑ εἰς τὸ ῶ, εἰ μὴ παρέποιτο σύνθεσις . .
ἀντήνωρ καὶ ἀγαπήνωρ, Ἐλπήνωρ. ἦν οὖν καὶ τὸ εὐήνωρ, [ἀφ' οὗ] κτητικὴ παραγωγὴ ἔπιπτεν εὐηνόρεια ὡς Ἑκτόρεια κ . .
ρεια καὶ πρακτόρεια εὐηνόρεια καὶ ἔτι Ἰωνικῶς εὐηνορ[έη],
ὡς Ἑκτορέη. ὁμολόγως οὖν ἐν ἀφαιρέσει τοῦ εὖ τὸ ἠνορ[έη],
καὶ οὐκ ἀσυνήθως τοῦ εὖ παρ' αὐτῷ λείποντος. οὕτω
γὰρ ἔχει τὸ

δόμοις ἔνι ποιητοῖσι,

τοῖς εὖ πεποιημένοις. εἰς τὸν τοιοῦτον λόγον καὶ ἄλλα πλεῖστα ἔστι παραθέσθαι. τὸ γὰρ φρονεῖν ἢ ψευδὴς ἢ σαφὴς οὐκ ἄλλως ἂν καταστ[αίη], εἰ μὴ δοθείη ὅτι δεύτερα εἴη τῶν καλουμένων συνθέτων. καὶ τὸ

ἀλλ᾽ ἄνα μηκέτι κεῖσο, 5

καὶ τὸ

πάρα δ᾽ ἀνήρ

εἰς τὸ αὐτὸ συναχθήσεται.

γείτονες ἠδὲ ἕται,

ἀστυγείτονες. ἔτι δὲ καὶ τὸ 10

ἐν πύλῳ ἐν νεκύεσσι,

προπύλω. ἦν οὖν τι ῥῆμα τὸ ἀεκάζω, ἔνθεν τὸ

πόλλ᾽ ἀεκάζομένη·

ᾧ παρέκειτο ἐπίῤῥημα τὸ ἀεκαστί, ὡς ἰάζω ἰαστί, αἰολίζω αἰολιστί, δωρίζω δωριστί. τοῦτο ἐν ἐνδείᾳ τοῦ σ̄ 15 καὶ Ἰωνικῇ μεταθέσει τοῦ ᾱ εἰς ῑ, καθότι καὶ τὸ διπλάσιον διπλήσιον, ἀποτελεῖ τὸ ἀέκητι, πάνυ εὐλόγως τοῦ τόνου ἀναβιβασθέντος, καὶ καθότι ἔτδεια πολλάκις τοῦ σ̄ ἀναβιβασμὸν τοῦ τόνου ἀποτελεῖ, οὐτασμένοι – οὐτάμενοι, συνεληλασμένοι – συνεληλάμενοι, δεσποστής – 20 δεσπότης, ἐργαστής – ἐργάτης, καὶ καθότι τὰ πάθη τοῖς τύποις συνεκτρέχει. ἴσως γὰρ καὶ τὰ προκείμενα τῶν λέξεων ἕνεκα τῶν τύπων μετετίθει τοὺς τόνους

. . . . . παρατίθεσθαι. καὶ ἐπὶ τοῦ οὖν προ

. . . . . κα ἀμφότερα τὴν βαρύτητα παρα 25

. . . τὰ εἰς ῑ λήγοντα ἐπιῤῥήματα ὀξύνεται τότε ὅτε

. . . ν χαρακτῆρα ἀναδέδεκται, ῥηματικὰ μὲν ὄντα

. . συστελλομένου τοῦ ῑ, ὀνοματικὰ δὲ διὰ μακροῦ τοῦ ῑ

. . τοῦ ἐν τῷ ὀνόματι. τοῦ μὲν προτέρου αἰολιστί, ἰαστί·

[τοῦ δὲ] δευτέρου ἀκόνητος – ἀκονητί, παμμαχί, πανθοινί. 30

. . . ἔχον τὸ ἀέκητι διὰ τὰ προειρημένα πάθη

. . εἰς βαρύτητα ὁμοίως τῷ ἴφι καὶ αὖθι. ὡς οὖν ἔφαμεν

. . τῆς ᾱ στερήσεως καὶ τὸ ἕκητι ἐγεγόνει.

Οἱ αἰτιολογικοὶ σύνδεσμοι καὶ ἀκολουθίας εἰσὶ πάλιν δεκτικοὶ καὶ . . ξεως, ὡς καὶ σχεδὸν τοῖς παρασυναπτικοῖς οἱ αὐτοί . . τοιοῦτον γάρ ἐστι τὸ νοούμενον ἐν τοῖς παρασυναπτικοῖς· εἰ τὸ πρότερον ἀληθές, καὶ τὸ δεύτερον· τὸ δεύτερον, ὅτι καὶ τὸ πρῶτον. 5 [τὸν γο]ῦν ἐπεί σύνδεσμόν τινες ἀδιαφόρως ἔταξαν καὶ εἰς τοὺς αἰτιολογικούς, [ὡς τ]ῶν παρασυνημμένων καὶ αἰτιολογικῶν ταὐτὸ δηλούντων . . ο μέντοι καί τινές φασιν ὡς οἱ μὲν αἰτιολογικοὶ σύνδεσμοι . . ἀπὸ τοῦ δηλουμένου τὴν ὀνομασίαν ἔσχον, οἱ δὲ συναπτικοὶ ἀπὸ τῆς φωνῆς, ἐπεὶ κατὰ συνάφειαν τὸ ἐπιφερόμενον αἰτοῦσι. Καὶ τοσαῦτα μὲν περὶ τῆς ἐννοίας τῶν αἰτιολογικῶν. 10

Ὅτι. Τὸ προκείμενον μόριον διαφορὰς ἔχει τέσσαρας, δύο συνδεσμικὰς καὶ δύο πτωτικάς, καθὼς καὶ 15 Τρύφων παρέθετο. Σύνδεσμος μὲν οὖν ἐστὶν αἰτιολογικὸς οὕτως, ὅτι ἡμέρα ἐστί, φῶς ἐστιν· ὅτι περιπατῶ, κινοῦμαι· ὅτι ἠπαιδεύτησας, δαρήσῃ. καὶ ἦν πάλιν τὸ τοιοῦτον ἐκ τοῦ συνδέσμου ἠτιολογημένον, τὰ δὲ δύο τὰ πρότερα αὐτόθεν πάλιν εἶχε τὴν 20 ἐπιφορὰν ἀληθῆ, ἐπεὶ οὐ πάντως ὅτι ἀνέγνως τιμηθήσῃ· οὐ γὰρ πάντως σύνεστι τῷ ἀναγνῶναι τὸ τιμηθῆναι. Φησὶ Τρύφων τὸν ὅτι σύνδεσμον καὶ πτωτικοῖς καὶ ἀπτώτοις συντάσσεσθαι· ὅτι ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν, ἡμέρα ἐστίν· ὅτι περιπατῶ, κινοῦμαι. τὸ δὲ ἀληθὲς 25 τῆδε ἔχει. ὁ ὅτι σύνδεσμος μόνως φέρεται ἐπὶ τὰ ὁριστικὰ τῶν ῥημάτων, ὥστε τὰ συντασσόμενα πτωτικὰ ἢ ἄλλα τινὰ ἐν ὑπερβατῷ λαμβάνεσθαι. ὅτι καλῶς ἀναγινώσκω· τὸ γὰρ ἀκολουθοῦν ἐστίν ὅτι ἀναγινώσκω καλῶς· ὅτι ἔστιν ἥλιος ὑπὲρ γῆν. μετὰ γοῦν μόνου ὁριστικοῦ καὶ αὐτοτελὲς γίνεται, μετὰ δὲ ἄλλου 30 τοῦτο ἀδύνατον, εἰ μὴ ἐπενεχθείη ῥῆμα πάλιν ὁριστι-

τοῖς εὖ πεποιημένοις. εἰς τὸν τοιοῦτον λόγον καὶ ἄλλα πλεῖστα ἔστι παραθέσθαι. τὸ γὰρ φρονεῖν ἢ ψευδὴς ἢ σαφὴς οὐκ ἄλλως ἂν καταστ[αίη], εἰ μὴ δοθείη ὅτι δεύτερα εἴη τῶν καλουμένων συνθέτων. καὶ τὸ

ἀλλ' ἄνα μηκέτι κεῖσο, 5

καὶ τὸ

πάρα δ' ἀνήρ

εἰς τὸ αὐτὸ συναχθήσεται.

γείτονες ἠδὲ ἔται,

ἀστυγείτονες. ἔτι δὲ καὶ τὸ 10

ἐν πύλῳ ἐν νεκύεσσι,

προπύλω. ἦν οὖν τι ῥῆμα τὸ ἀεκάζω, ἔνθεν τὸ

πόλλ' ἀεκαζομένη·

ᾧ παρέκειτο ἐπίρρημα τὸ ἀεκαστί, ὡς ἰάζω ἰαστί, αἰολίζω αἰολιστί, δωρίζω δωριστί. τοῦτο ἐν ἐνδείᾳ τοῦ σ̄ 15 καὶ Ἰωνικῇ μεταθέσει τοῦ ᾱ εἰς ῑ, καθότι καὶ τὸ διπλάσιον διπλήσιον, ἀποτελεῖ τὸ ἀέκητι, πάνυ εὐλόγως τοῦ τόνου ἀναβιβασθέντος, καὶ καθότι ἔνδεια πολλάκις τοῦ σ̄ ἀναβιβασμὸν τοῦ τόνου ἀποτελεῖ, οὐτασμένοι - οὐτάμενοι, συνεληλασμένοι - συνεληλάμενοι, δεσποστής - 20 δεσπότης, ἐργαστής - ἐργάτης, καὶ καθότι τὰ πάθη τοῖς τύποις συνεκτρέχει. ἴσως γὰρ καὶ τὰ προκείμενα τῶν λέξεων ἕνεκα τῶν τύπων μετετίθει τοὺς τόνους

. . . . παρατίθεσθαι. καὶ ἐπὶ τοῦ οὖν προ

. . . . . κα ἀμφότερα τὴν βαρύτητα παρα 25

. . . τὰ εἰς ῑ λήγοντα ἐπιῤῥήματα ὀξύνεται τότε ὅτε

. . . ν χαρακτῆρα ἀναδέδεκται, ῥηματικὰ μὲν ὄντα

. . συστελλομένου τοῦ ῑ, ὀνοματικὰ δὲ διὰ μακροῦ τοῦ ῑ

. . τοῦ ἐν τῷ ὀνόματι. τοῦ μὲν προτέρου αἰολιστί, ἰαστί·

[τοῦ δὲ] δευτέρου ἀκόνητος - ἀκονητί, παμμαχί, πανθοινί. 30

. . . ἔχον τὸ ἀέκητι διὰ τὰ προειρημένα πάθη

. . εἰς βαρύτητα ὁμοίως τῷ ἴφι καὶ αὖθι. ὡς οὖν ἔφαμεν

. . τῆς ᾱ στερήσεως καὶ τὸ ἕκητι ἐγεγόνει.

Οἱ αἰτιολογικοὶ σύνδεσμοι καὶ ἀκολουθίας εἰσὶ πάλιν δεκτικοὶ καὶ . . ξεως, ὡς καὶ σχεδὸν τοῖς παρασυναπτικοῖς οἱ αὐτοί . . τοιοῦτον γάρ ἐστι τὸ νοούμενον ἐν τοῖς παρασυναπτικοῖς· εἰ τὸ πρότερον ἀληθές, καὶ τὸ δεύτερον· τὸ δεύτερον, ὅτι καὶ τὸ πρῶτον. [τὸν γο]ῦν ἐπεί σύνδεσμόν τινες ἀδιαφόρως ἔταξαν καὶ εἰς τοὺς αἰτιολογικούς, [ὡς τ]ῶν παρασυνημμένων καὶ αἰτιολογικῶν ταὐτὸ δηλούντων . . ο μέντοι καί τινές φασιν ὡς οἱ μὲν αἰτιολογικοὶ σύνδεσμοι . . ἀπὸ τοῦ δηλουμένου τὴν ὀνομασίαν ἔσχον, οἱ δὲ συναπτικοὶ ἀπὸ τῆς φωνῆς, ἐπεὶ κατὰ συνάφειαν τὸ ἐπιφερόμενον αἰτοῦσι. Καὶ τοσαῦτα μὲν περὶ τῆς ἐννοίας τῶν αἰτιολογικῶν.

Ὅτι. Τὸ προκείμενον μόριον διαφορὰς ἔχει τέσσαρας, δύο συνδεσμικὰς καὶ δύο πτωτικάς, καθὼς καὶ Τρύφων παρέθετο. Σύνδεσμος μὲν οὖν ἐστὶν αἰτιολογικὸς οὕτως, ὅτι ἡμέρα ἐστί, φῶς ἐστίν· ὅτι περιπατῶ, κινοῦμαι· ὅτι ἠπαιδεύτησας, δαρήσῃ. καὶ ἦν πάλιν τὸ τοιοῦτον ἐκ τοῦ συνδέσμου ἠτιολογημένον, τὰ δὲ δύο τὰ πρότερα αὐτόθεν πάλιν εἶχε τὴν ἐπιφορὰν ἀληθῆ, ἐπεὶ οὐ πάντως ὅτι ἀνέγνως τιμηθήσῃ· οὐ γὰρ πάντως σύνεστι τῷ ἀναγνῶναι τὸ τιμηθῆναι. Φησὶ Τρύφων τὸν ὅτι σύνδεσμον καὶ πτωτικοῖς καὶ ἀπτώτοις συντάσσεσθαι· ὅτι ὁ ἥλιος ὑπὲρ γῆν ἐστίν, ἡμέρα ἐστίν· ὅτι περιπατῶ, κινοῦμαι. τὸ δὲ ἀληθὲς τῇδε ἔχει. ὁ ὅτι σύνδεσμος μόνως φέρεται ἐπὶ τὰ ὁριστικὰ τῶν ῥημάτων, ὥςτε τὰ συντασσόμενα πτωτικὰ ἢ ἄλλα τινὰ ἐν ὑπερβατῷ λαμβάνεσθαι. ὅτι καλῶς ἀναγινώσκω· τὸ γὰρ ἀκολουθοῦν ἐστίν ὅτι ἀναγινώσκω καλῶς· ὅτι ἔστιν ἥλιος ὑπὲρ γῆν. μετὰ γοῦν μόνου ὁριστικοῦ καὶ αὐτοτελὲς γίνεται, μετὰ δὲ ἄλλου τοῦτο ἀδύνατον, εἰ μὴ ἐπενεχθείη ῥῆμα πάλιν ὁριστι-

συνομολογεῖ, τηνικαῦτα δεῖ παραδέχεσθαι τὸν σχηματισμὸν σύνθετον, ὡς ἔχει τὸ φιλάνθρωπος, φιλοπλάτων, αὐτάρεσκος. πολὺ δὲ μᾶλλον ἐπὶ τοῦ προκειμένου σχήματος ἔστι τὸν λόγον παραδέξασθαι, ἐπεὶ παράθεσιν τῶν λέξεων ὑπαγορεύει, καθὼς πρόκειται. Ῥητέον οὖν, 5
ὡς ὅτι τὸ οὕνεκα, ἴσην δύναμιν ἔχον τῷ ὅτι,

οὕνεκα τὸν Χρύσην,
οὕνεκ' ἄρ' οὐχ ᾧ πατρί,

ἁπλοῦν καταστήσεται· ἐν παραθέσει τε δύο μερῶν λόγου, ὅτε δηλοῖ τὸ οὗ ἕνεκα· ᾧ λόγῳ καὶ τὸ ὅτι ἓν κα- 10
θειστήκει καὶ δύο, παρεσχηματισμένον τῷ ὅστις. ἐκκείσθω δὲ καὶ ὑποδείγματα·

οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηῒ μελαίνῃ·
ἡ δ' Ἄτη σθεναρή τε καὶ ἄρτιπος, οὕνεκα πάσας.

ἀλλ' ἐκεῖνο δόξει παραλελεῖφθαι, τὸ τὰ ἐν ἀνταποδόσει 15
ἐν ἁπλοῖς καθίστασθαι. οὐκ ἔχει δὲ τῆδε τὸ τοὔνεκα· καθ' ἕκαστον γὰρ ἡ παράθεσις ἐγίνετο τῶν μορίων, ὥστε παρὰ μὲν τὸ οὗ οὕνεκα γίνεσθαι, παρὰ δὲ τὸ τοῦ τοὔνεκα. καὶ τὰ τοῦ τόνου δὲ ἐπιλελύσθω. ἡνίκα γὰρ περισπωμένη καὶ ὀξεῖα σύνεισι, λείπονται δὲ δύο συλ- 20
λαβαί, πάντως καὶ ὁ τόνος εἰς ὀξεῖαν μεθίσταται, ὦ Ἄπολλον Ὤπολλον . . . . . ὦ ἄνασ]
σα. ὤνασσα. προσέθηκα . . . . . .
λειπομένας διὰ τὸ ὤναξ. τ . . . . . .
ρατον τοῦ ἕνεκα τοὔνεκα συμ 25
ἔτι εἰς ἀπόδειξιν τοῦ λόγου καὶ τὸ ἀσυν . . .
καὶ ἐν γένους παραλλαγῇ καὶ ἀριθμ . . . .
στεναχίζων τῆς ἕνεκεν καὶ νῆες τῶν ἐν συ . .
λην ὁδὸν ἴσως φησὶν ὁ Τρύφων τὸ τ προ . . .
τωπερσιητ' ἕνεκεν πένθος ἀπομοσατ 30
τοῦ Καλλιμάχου ὑπολαβόντος αὐτοῦ καὶ τ . . .
καὶ τὸ τοὔνεκα οὕτως ἔχειν. καὶ οὐκ ἔστιν ε . .
ματος ἡ αὐτὴ ἀπολογία. οὐ γὰρ οἷόν τε τὸ . . .

ξασθαι τοὔνεκεν, ἐπεὶ οὐδέποτε τὰ ἄρθρα τ . . .
τῆς ἐκθλίψεως παραδέχεται.

Ἕνεκεν. Ποιητικώτερον μετὰ τοῦ ῑ λέγεται, καθότι καὶ τὸ κ . . . . . [οὗτος] ὁ σύνδεσμος πάντοτε ἐπὶ γενικὴν πτωτικοῦ φέρ[εται,] 5 ἕνεκα ἐμοῦ, ἕνεκα αὐτοῦ, ἕνεκα Ἀπολλωνίου. [ἐπαι-] νετέα γοῦν τὰ παρὰ τῷ ποιητῇ,

εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν,
εἵνεκα Νηλῆος κούρης,
εἵνεκ' ἐμεῖο κυνός· 10

εἴγε πάλιν καὶ παρατετηρημένως τὸ οὕνεκα ἐπὶ ῥῆμα φέρεται,.

οὕνεκα τὸν Χρύσην ἠτίμασεν.

ἀλλὰ κἂν δύο μέρη λόγου καθεστήκῃ τὸ οὕνεκα, ἔχει προκειμένην τὴν τοῦ γενικήν. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ οὔ- 15 νεκα. ἐπίμεμπτοι οὖν οἱ τὰς συντάξεις παρασυγχέοντες, ὧν ἐστὶ Καλλίμαχος·

οὐδ' ἕνεκ' Εὐρυνόμη Τιτηνιάς,
εἵνεκεν οὐχ ἓν ἄεισμα.

φέρεται γὰρ ὁ σύνδεσμος ἐπὶ τὸ ἤνυσα, καὶ δέον τῷ 20 οὕνεκα καταχρήσασθαι.

ΓΑΡ. Τὴν αὐτὴν σύνταξιν ποιεῖ τὸ [μόριον] τῷ ὅτι, δύναμίν τε τὴν αὐτήν. ἔχει δὲ παραλλαγὰς τὸ μὴ ζητεῖσθαι πόσα μέρη λόγου, τὸ ἐν ἀρχῇ μὴ παρα- λαμβάνεσθαι τῶν λόγων, ἐν ὑποτάξει δέ. διὸ καὶ 25 κατ' ἀρχὴν τιθέμεν[α] τὰ αἴτια μετὰ τῶν προτακτικῶν συνδέσμων εἰς δευτέραν τάξιν μεθίστησι, καὶ οὕτως ἀληθεύει ὁ λόγος. ἔστω δὲ ὑποδείγματα· ὅτι ἡμέρα ἐστί, φῶς ἐστίν. εἰ ἀφέλοιμεν τὸν ὅτι καὶ προσθείη- μεν τὸν γάρ, ψευδὴς ὁ λόγος γίνεται, καθὸ τοῦ αἰτίου 30 ἀλλοτριοῦται. οἱ γὰρ αἰτιώδεις σύνδεσμοι μετὰ τῶν αἰτίων θέλουσι παραλαμβάνεσθαι. τὸ ἡμέρα ἐστὶν αἴτιόν ἐστι τοῦ φῶς εἶναι· ὅτι ἡμέρα ἐστί, φῶς

ἐστί. φῶς γάρ ἐστιν· ὡς προεῖπον, ψευδὴς ὁ λόγος. εἰ δὲ τὸ αἴτιον πρὸς τῷ συνδέσμῳ γένοιτο, ἀληθεύσει καὶ ὁ λόγος· φῶς ἐστίν, ἡμέρα γάρ ἐστιν. [ὅτι μ]ὲν οὖν τοὺς πρώτους λόγους ἐν συντάξει ὁ γάρ δευτέρους ἀποτελεῖ, ἐδείχθη. Ἀλλὰ μὴν καὶ συνήθως ὁ ποιητὴς 5 [ἀρ]κτικῷ αὐτῷ προςχρῆται. καὶ οὐ τοῦτο τεκμήριον τοῦ τὸν λόγον ἀποδοκιμάζεσθαι, εἴγε καὶ τὰ τοιαῦτα Ἀρίσταρχος παρεώσατο ὡς ἀνατεθειμένα Ὁμηρικῇ συνηθείᾳ, καθότι καὶ ἐπ' ἄλλων πλείστων ἰδιάσαντά τινά ἐστι παρ' αὐτῷ. καὶ δῆλον ὅτι ἐν τῷ 10

Ἀτρείδη νῦν γάρ σε ἄναξ ἐθέλουσιν

ὑπερβεβίβασται ἡ φράσις. θέον γὰρ οὕτως ἐκδέξασθαι· οἱ Ἕλληνες [νῦν] οὐκ ἐκτελέσουσί σοι τὰ τῆς ὑποσχέσεως· θέλουσι γὰρ ἐλέγχιστόν σε ποιῆσαι. ἴσως δὲ κἀκεῖνος οὕτως ἔχει· 15

ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει;

εἰς Ἄϊδος δ' οὔ πώ τις ἀφίκετο·

ὦ Κίρκη, εἰς Ἄϊδος δὲ οὔ πώ τις ἀφίκετο· τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει; Τρύφων μέντοι φησὶν ἐπὶ τοῦ τοιούτου συνδέσμους ἀντιπαρειλῆφθαι, τὸν γάρ ἀντὶ τοῦ 20 δέ καὶ τὸν δέ ἀντὶ τοῦ γάρ· τίς δὲ ταύτην τὴν ὁδὸν ἡγεμονεύσει; εἰς Ἄϊδος γὰρ οὔ πώ τις ἀφίκετο. καὶ οὐκ ἔστιν ἀσύνηθες τὸν δέ εἰς τὸν γάρ μεταλαμβάνεσθαι.

βέλος δ' εἰς ἐγκέφαλον δῦ·

αἰτία γάρ ἐστι τοῦ ἀναπαλῆναι τὸν ἵππον. 25

θάμβησεν δ' Ἀχιλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω

Παλλάδ' Ἀθηναίην, δεινὼ δέ οἱ ὄσσε φάανθεν·

ἵν' οὕτως τὸ καταπληκτικὸν τῆς θεοῦ μηνύσῃ. ἀλλὰ δύναται ὁ γάρ πλεονάζειν ἐπὶ τῆς ἀνταποδόσεως, Τρύφων, 30 ὁμοίως τῷ

τίς γὰρ ὅδ' ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε καὶ ἐπὶ τοῦ

αἱ γὰρ Τηλέμαχον βάλοι·
αἱ γὰρ δὴ οὕτως εἴη.

καὶ γὰρ ἐπὶ τῶν τοιούτων οὐ δοξεῖ μάχεσθαι ἡ σύνταξις, τοῦ γὰρ καὶ ἀρχὴν τιθέμενον.

Ἔτι ὁ γὰρ διαφορεῖ τῶν ἄλλων αἰτιολόγων, καθὸ σχεδὸν ἅπαντα συντάσσεται. ὅτι γὰρ παρεγένου· ἕνεκα γὰρ τούτου ἦλθες. καὶ ἴσον ὅτι οἱ μὲν ἄλλοι συνδεσμοὶ χώραν εἶχον τὴν προτακτικήν. καὶ οὐδεὶς τῷ ἑτέρῳ ἐδύνατο ὑποτεταχθαι. οὔτε ὁ ἕνεκα τῷ οὐνεκα. οὔτε ὁ οὐνεκα τῷ ἕνεκα, καὶ ἐπὶ τῶν ὑπολοίπων τὸ αὐτό· ὁ μέντοι γε τῷ δέοντι τόπῳ προσχρώμενος τῷ ὑποτακτικῷ. ἀκωλύτως ἐν ὑποτάξει παραλαμβάνεται. Ὁ μὲν οὖν Τιμαῖος φησὶν ὡς ἐκ τῶν δύο συνδέσμων ἓν καθίσταται τὸ αἰτιολογούμενον, ἕνεκα γὰρ τούτου ἦλθες ὡς ἕνεκα τούτου ἦλθες· ὅτι γὰρ παρεγένου· καὶ ἐπὶ τῶν παραπλησίων τὸ αὐτό. τινὲς μέντοι ἐπιπλοκὴν ἐξεδέξαντο τῶν αἰτιολόγων συνδέσμων, ὥστε ἐξ αἰτίου αἴτιον . ἐν . τὸ αἰτιολογούμενον ἕνεκα γὰρ τούτου ἦλθες κα . . νοῦσί τε οὕτως τῷ μὲν ἦλθες τὸν γὰρ συντάσσοντες, τῷ δὲ τούτου τὸν ἕνεκα, ἦλθες γὰρ ἕνεκα τούτου· ὅτι γὰρ ἦλθες μέμφομαί σε. μέμφομαί γάρ σε ὅτι ἦλθες . . . ὁ Τρύφων δ' ἂν λόγος συνηγορήσειν, καθὸ πολλοὶ καὶ ἄλλοι σύνδεσμοι ἰσοδυναμοῦντες παράλληλοι τιθενται. καὶ οὐ μόνοι σύνδεσμοι, ἀλλὰ καὶ ἄλλα μέρη λόγου. οὐκ ἐκεῖνο μέντοι παραδεξόμεθα, ἐφ' οὗ φησὶ τὸν μὲν γὰρ ἕνα εἶναι σύνδεσμον, ἰσοδυναμοῦντα τῷ δέ, ἐν ὑποδείγματι τοιούτῳ· ἐγὼ μὲν καὶ Διονύσιος ἐδειπνοῦμεν, σὺ μὲν γὰρ οὐ παρεγένου. οὔτε γάρ φησιν ὁ μὲν δέοντως . . οὔτε ὁ γὰρ ἐπ' αἰτίας τινὸς παραλαμβάνεται. εἰς οὖν ἐστὶν ἀντὶ τοῦ δέ, καὶ ὁ τύπος τῆς φωνῆς καὶ ἔτι ὁ τόνος αἴτιοί εἰσι τοῦ μὴ δοκεῖν τὸν μὲν καὶ γάρ ἕνα εἶναι, ὡς ἐπὶ τοῦ αὐτάρ ἓν ὑπολάβοιτό τις τὸν αὖ καὶ τὸν τάρ ε

. . δὲ τὸν τόνον, καθὸ ὁ γάρ ἀσυνέγκλιτος ὢν ἐπάγει ἐπ' αὐτο
. . τὴν ὀξεῖαν, Ζεὺς γάρ. τοιοῦτον δὲ καὶ τὸ μὲν γάρ.
ἡ μὲν γὰρ φωνὴ παρεισδύεται ἄλογος, εἴγε τὰ εἰς ῥ λή-
γοντα μετὰ βραχείας μόρια βαρύτονά ἐστι, καὶ διὰ
τοῦτο τοῦ πατήρ ἡ κλητικὴ ἐβαρύνθη ἐν τῷ πάτερ καὶ
τοῖς παραπλησίοις· καὶ οὐκ ἄλογος ἡ ἀνάγνωσις Πτο-
λεμαίου τοῦ ἀναλογητικοῦ, ἐν τῷ

αὐτὰρ ἐπεὶ κόσμηθεν

βαρύνοντος τὸ τέλος. καθὸ γὰρ πρόθεσις ἡ ὑπέρ, οὐκέτι
δύναται ἀντικεῖσθαι, ωπερ ἐστὶ τὸ τέλος ὀξὺ πάντοτε. 10
δεύτερον καὶ οὐ παρά τινι παρειλημμένον ἡ εἰς ἓν μέ-
ρος λόγου. τρίτον ὡς καὶ ἐκ παραθέσεών τινων συνδέ-
σμων ἄλλαι δυνάμεις συνδεσμικαὶ ἀποτελοῦνται. ὁ γοῦν
μέν, προσλαβὼν τὸν τοί, ἴσην δύναμιν ἀποτελεῖ πάλιν
τῷ δέ. ἀλλὰ καὶ ὁ καί, ἔτι προσλαβὼν τὸν τοί καὶ ἔτι 15
τὸν μήν, ἄλλην δύναμιν ἐπαγγέλλεται. πολλάκις τε δύο
ἢ καὶ πλείονα μέρη λόγου ἑνὸς ἐπαγγέλλεται σημασίαν.
τὸ γοῦν εἰς οἶκον τὸ αὐτὸ τῷ οἴκαδε, καὶ ἄλλα ἄπειρα.
οὐδὲν οὖν κωλύει καὶ τὸν μὲν γάρ δύναμιν ἑνός συνδέ-
σμου ἐπαγγέλλεσθαι. τί γάρ, εἰ καὶ οὕτω τις ἐκδέξαιτο, 20
τὸν γάρ πλεονάζοντα, τόν τε μέν οὐκ ἀσυνήθως ἀντὶ
τοῦ μήν παρειλῆφθαι;

οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι·
οὐ μὲν γὰρ φιλότητί γ' ἐκεύθανον.

τοσαῦτα περὶ τοῦ γάρ. 25

ΔΙΟΤΙ. Ἐπὶ τούτου ἐπέστησάν τινες, εἰ μετὰ τῆς
διά προθέσεως σύγκειται ὁ ὅτι σύνδεσμος ἢ τὸ ὅτι
πτωτικόν, καὶ δῆλον ὅτι ἢ ἁπλοῦν ἢ ἐν παραθέσει τοῦ
ὅ. καὶ εἴη ἂν συνηγορία τῆς τοῦ συνδέσμου ἥδε. τὸ αὐ-
τὸ δηλοῖ τῷ ὅτι καὶ διότι, σύνταξίν τε τὴν αὐτὴν ἔχει, 30
ὅτι περιπατῶ, κινοῦμαι· διότι περιπατῶ, κι-
νοῦμαι. ἀλλὰ πρός γε ταῦτα ῥητέον· οὐδέποτε ἡ διά
πρόθεσις, αἰτιώδης παραλαμβανομένη, ἐν συνθέσει ἐστί.

δεῖ

δεῖ δὲ νοεῖν ὅτι τὸ διότι ἓν ἐστι μέρος λόγου, καθὸ ἐπεδείξαμεν τὰς προθέσεις ἐν ἀπτώτοις ἐνοῦσθαι. ἔτι ἡ διά πρόθεσις, αἰτιώδης παραλαμβανομένη, ἐπ' αἰτιατικὴν φέρεται, δι' Ἀπολλώνιον, διὰ σέ. φέρει γὰρ οὕτως εἰπεῖν διὰ σοῦ, καὶ οὐκέτι αἰτιώδης ἡ διά. ἔνθεν φαμὲν αἰτιατικῆς τὸ τό εἶναι ἐν τῷ διὰ τὸ ἡμέραν εἶναι φῶς ἐστίν. ὁ δὲ ὅτι σύνδεσμος πτῶσιν οὐκ ἀναδέχεται. ἀλλ' οὐδὲ ἐκεῖνο ἀληθές ἐστιν; ὡς ἐπὶ τὸ αὐτὸ φέρεται τὸ διότι καὶ ὅτι. ὃ μὲν γὰρ λείπει τῷ ἀνταποδοτικῷ, ὃ δὲ οὔ. τὸ γὰρ οὕτω λεγόμενον, διότι ἡμέρα ἐστί, φῶς ἐστί λείπει τῷ διὰ τοῦτο· τὸ δὲ ὅτι ἡμέρα ἐστί, φῶς ἐστίν αὐτοτελές. ὅτι περιπατῶ, κινοῦμαι· οὐ γὰρ δή γε τοιοῦτόν ἐστι, διότι περιπατῶ, διὰ τοῦτο κινοῦμαι. φησὶ δὲ καὶ ὁ Τρύφων, ὡς τοῖς τοιούτοις μορίοις, πτωτικοῖς οὖσιν, ἀνταποδίδοται τὰ τοιαῦτα, ὡς ἐν τοῖς τοιούτοις ὅς τις περιπατεῖ, οὗτος κινεῖται· ὅ τι περιπατεῖ, τοῦτο κινεῖται. καὶ δῆλον ὅτι τὸ διότι, ἔχον τὴν αὐτὴν ἀνταπόδοσιν, ἔχει ἐγκείμενον πτωτικὸν τὸ ὅτι, σαφὲς ποιοῦν κἀκ τοῦ πνεύματος, καθὸ μέση ἡ δασεῖα, ὑπαγορεύουσα τὴν διά πρόθεσιν ἐν τῇ παραθέσει. οὐ γὰρ δή γε καὶ αὐτὸ μόριόν ἐστι τῶν ἡμαρτημένων, ὁμοίως τῷ εὔαδεν, εὐοῖ. δεῖ δὲ νοεῖν ἐπὶ τῆς συντάξεως, ὅτι πτωτικὸν καθεστηκὸς τὸ διότι τρία μέρη λόγου δηλοῖ ἐν παραθέσει, τήν τε πρόθεσιν, ἣν ἔφαμεν πάντοτε ἐν παραθέσει εἶναι αἰτιωδῶς παραλαμβανομένην, καὶ τὸ ὅ καὶ τὸ τί, καὶ ἐν πτώσεσι δὲ αἰτιατικαῖς, ἐφ' ἃς καὶ φέρεται ἡ πρόθεσις. τούτων δὲ ἀπόδειξις ἡ τῶν ἑτερογενῶν παρείσδυσις, δι' ὅν τινα, δι' ἣν τινα, καὶ ἐπὶ πληθυντικῶν δι' οὓς τινας, δι' ἃς τινας. τὸ γὰρ ἐπ' οὐδετέρου ἐλελήθει ἡμᾶς, καθὸ ἐν ὁμοφωνίᾳ παραλαμβάνεται . . . . κλίσεως ἐπί τε εὐθείας καὶ αἰτιατικῆς καὶ ἐπι . . .

κλητικῆς. Τοῖς αὐτοῖς ἐπιχειρήμασι προςχρηστέον . . [ἐπὶ] τοῦ διότι καὶ ἔτι τοῦ κἀθότι. καὶ γὰρ ἡ κατὰ ἑ[ν ἴσῳ παρα]λαμβάνεται τῇ διά, ὡς ἔφαμεν κατὰ ταύτην τὴν πρόφασιν ἐν ἴσῳ τῷ διὰ ταύτην τὴν πρόφασιν· κατὰ τοῦτο ἐλήλυθα, διὰ τοῦτο ἐλήλυθα. οὕτως ἔχει καὶ ἡ εἰς καὶ ἡ πρός· πρὸς τί λυπῇ; διὰ τί λυπῇ; εἰς τοῦτο ἐλήλυθα, διὰ τοῦτο ἐλήλυθα.

Ἵνα. Διαφορὰς ἔχει τὸ μόριον τρεῖς, συνδεσμικὰς μὲν δύο καὶ ἐπιρρηματικὴν μίαν, τόπου δηλωτικήν. συνδεσμικὸν μὲν οὖν καθεστηκὸς τὰ συντασσόμενα ῥήματα μετατίθησιν εἰς τὰ καλούμενα ὑποτακτικά, καθότι καὶ ὁ ἐάν ἐπιζευκτικός, ἵνα γράψω, ἵνα γράψῃς, ἵνα γράψῃ· ἐπιρρηματικῶς δὲ φυλάσσει τὴν ὁριστικὴν κλίσιν,

ἵνα τ' ἔτραφεν ἠδ' ἐγένοντο·
ἔνθ' ἵνα ἐς κακόν ἐστιν.

καὶ τοῦτό γε διοίσει, ὡς συνήθως μέν ἐστι σύνδεσμος καθεστηκώς, ποιητικῶς δὲ ἐπίρρημα. Ἔχει δὲ καὶ τὰς συνδεσμικὰς διαφορὰς δύο οὔσας, μίαν μὲν αἰτιολογικήν, ἑτέραν δὲ ἀποτελεστικήν. ἐν γὰρ αἰτίᾳ τοῦ ἀναγνῶναί φαμεν οὕτως, ἵνα ἀναγνῶ ἐτιμήθην, ἵνα λοιδορήσω ἐπεπλήχθην· οὐκέτι δὲ τὸ αὐτὸ παρέπεται ἐν τοῖς τοιούτοις, δὸς ἵνα γράψω, ἵνα γράψῃς, ἵνα γράψῃ· Θέων διακινεῖ ἵνα ὑγιάνῃ, φιλοπονεῖ ἵνα ἐνάρετος γένηται. σαφὲς γὰρ ὅτι εἰς ἀποτελεστικόν τι παραλαμβάνεται ἐπὶ τῶν τοιούτων ὁ ἵνα.

Ὅπως. Καὶ τόδε τὸ μόριον σύνδεσμος καθέστηκε, ταὐτὰ δηλῶν τῷ ἵνα· πάλιν γὰρ τὸ ἵνα ὑγιάνῃ ἐν ἴσῳ ἐστὶ τῷ ὅπως ὑγιάνῃ,

ἵν' ἀθανάτοισι φαείνοι.

οὐκέτι μέντοι, ἐπίρρημα ὄν, τὸ αὐτὸ δηλοῖ· τὸ μὲν γὰρ ἵνα τοπικόν, τὸ δὲ ὅπως ἐν ἀναφορᾷ τοῦ πῶς. ὃν γὰρ τρόπον παρὰ τὰ ὅτε γίνεται τὸ πότε καὶ ἔτι ὁπότε, οἷος ποῖος ὁποῖος, ἡνίκα πηνίκα ὁπηνίκα, τὸν αὐτὸν δὴ

τρόπον καὶ παρὰ τὸ ὡς ἐστι τὸ πῶς καὶ ὅπως. πολλάκι γοῦν τὰ δίχα τοῦ τ ἰσοδυναμοῦντα τοῖς διὰ τοῦ ο παραγομένοις, οἷος ἦν Τρύφων, τοιοῦτος ἦν καὶ Διονύσιος· ὁπόσος ἦν ὄχλος ἐν τῷ θεάτρῳ, τοσοῦτος κἂν τῇ ἀγορᾷ. τοιοῦτον οὖν ἐστὶ τὸ 5

κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται·

ἀντὶ γὰρ τοῦ ὡς.

ΟΦΡΑ. Πάλιν τὸ προκείμενον μόριον, σύνδεσμος καθεστηκός, ἰσοδυναμεῖ τῷ ἵνα καὶ ὅπως, οὐκέτι μέντοι ἐπίρρημα ὄν, ὅμοιον χρονικῷ [τῷ] ἕ[ως] παραλαμ- 10 βανόμενον,

ὄφρα μὲν ἠὼς ἦν·

ἐν ἴσῳ γάρ ἐστι τῷ ἕως. καὶ οἶμαί γε, ὡς ἐπίρρημα καθεστηκὸς καὶ ἀνταπόδοσιν ἐπιδέχεται ἐν τῷ

τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο. 15

ἕνεκα τούτου καὶ τὸ ἐξ αὐτοῦ μεταφραζόμενον, λέγω δὲ τὸ ἕως. ὡς δὲ εἴπομεν, καὶ συνδεσμικὸν παραλαμβάνεται, ἰσοδυναμοῦν τῷ ἵνα καὶ τῷ ὅπως, ὅθ' οὕτως συντάσσεται,

ὄφρα πεποίθῃς. 20

δῆλον γὰρ ὡς ἕνεκα τῆς ἰσοδυναμίας τοῦ ἵνα πάλιν τὰ συνόντα ῥήματα ὑποτακτικὰ ἀποτελοῦνται. Σεσημειώσθω δὲ ὅτι μόνον τῶν εἰς ᾱ ληγόντων ἀνταποδοτικῶν ὑνεπέκτατόν ἐστιν· ἰδοὺ γὰρ τὸ τηνίκα τηνικαῦτα λέγεται, τόσα τοσαῦτα, τοῖα τοιαῦτα. ἴσως δὲ ὅτι οὐ τὴν 25 αὐτὴν ἔχει ἐξαρίθμησιν, εἴγε τῷ μὲν τηνίκα καὶ τοῖς ὁμοίοις παράκειται πηνίκα ὁπηνίκα, τῷ δὲ τόφρα οὐκέτι. ἴσως δὲ καὶ διὰ τὸ συνωνυμοῦν αὐτῷ, τὸ ἕως.

Μηδὲ ἐκεῖνο δὲ παραλειπτέον, ὡς ὁ ἵνα καὶ οἱ ἰσοδυναμοῦντες σύνδεσμοι παρὰ τὸ διάφορον τῆς συντά- 30 ξεως, λέγω τὸ ἀποτελεστικὸν καὶ αἰτιολογικόν, καὶ διαφόρους ἔξουσι τοὺς συνταυσσομένους χρόνους, ὥστε τὸν μὲν ἀποτελεστικὸν καὶ μέλλουσι συντάσσεσθαι, τὸν δὲ

αἰτιολογικὸν λεγόμενον παρωχημένοις· τὰ γὰρ γεγονότα αἰτιολογεῖται. ὁ γοῦν λέγων ἵνα γράψω ταῦτά μοι ἐγένετο, ὁμολογεῖ τὸ ἤδη γεγραφέναι, ὥςτε ἐνήργησεν ἤδη τὸ ἔγραψα καὶ αἰτίαν κατ' αὐτοῦ ἐπήγαγε· τὸ μέντοι οὕτω λεγόμενον δὸς ἵνα γράψω οὔπω γέγονε, τὸ δὲ μὴ γεγονὸς μέλλοντός ἐστιν ἀποτελεστικόν· μέλλοντι ἄρα συντάσσεται· χωρὶς εἰ μὴ οὕτω νοήσαιμεν, δὸς ἵνα ἐν τελειώσει γένηται τὸ γράψαι. ὅπερ οἶμαι βέλτιον. καὶ γὰρ ὁ ἀπὸ τῶν φωνῶν κανὼν ὁμολογεῖ τὸν ἀόριστον, τουτέστι τὸν παρωχημένον, εἴγε κερῶ μὲν ὁ μέλλων, ἔκειρα δὲ ὁ ἀόριστος, καὶ οὔ φαμεν δὸς ἵνα κερῶ ἀλλ' ἵνα κείρω. καὶ ὁ Δωριεὺς τοὺς μέλλοντας περισπῶν, οὐκέτι ἐπὶ τῆςδε τῆς συντάξεως περιέσπασεν· ἦσαν γὰρ αἱ φωναὶ οὐ μέλλοντος, ἀλλὰ ἀορίστου. πλείστας ἔχω ἐκθέσθαι εἰς τὸν τοιοῦτον λόγον παραθέσεις, ἃς ἐν τοῖς περὶ ὑποτακτικῶν παραθήσομαι, ἐν οἷς καὶ τὴν διαφορὰν ἐκθήσομαι τῆς καταλήξεως τῶν ὑποτακτικῶν, καὶ ὡς εἰς μίαν κατάληξιν παντα συνέωσται, λέγω τὴν εἰς ω. ἔνθεν γὰρ καὶ ἡ ὑπόληψις τοῦ ἵνα γράψω, ὅτι καὶ μέλλοντος.

Ἴδιόν τι παρηκολούθησε τοῖς συνεμπεσοῦσι συνδέσμοις αἰτιώδεσιν ἐπιῤῥήμασι χρονικοῖς ἢ τοπικοῖς συνεμπε . . . ἡ ἀπόδειξις. καὶ οὐκ ἀπίθανον ἕνεκα τούτου καὶ [τὸν ἐπεί], αἰτιωδῶς παραλαμβανόμενον, ἔχειν χρονικὸν παρα[κείμενον] ἐπίῤῥημα,

ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο,
ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν.

ἔστι δὲ κἀκ τοῦ βίου τοια[ῦτα] τεκμήρασθαι. ὁ δεῖνα ἀγαθός ἐστιν, ὅπου γε φιλεῖ τοὺς ἀγαθούς· ἴσον γὰρ τῷ ἐπεὶ φιλεῖ τοὺς ἀγαθούς, ἢ ὅτι φιλεῖ τοὺς ἀγαθούς. ὅ τε ἀπέδωκε τὴν παραθήκην, ὁπότε γε φιλοπ . . Οὐ μὴν ἐκεῖνό γε ἀληθές, ὡς τὰ μὲν μονοσύλλαβα τῶν ἐπιῤῥημάτων, συνεμπίπτοντα συνδέσμοις, παραλλαγὴν ἴσχει τόνου, τῶν μὴ οὕτως ἐχόντων τὸν αὐτὸν

τόνον τηρούντων. τὸ γὰρ ποῦ περισπῶμεν, ἀλλ' οὐκέτι ἐν τῷ

Ὀδυσσῆος δέ που εὐνή

παραπληρωματικῷ· καὶ τὸ νῦν, ἀλλ' οὐκέτι ἐν τῷ καί νῦν ἔχει· τὸ μέντοι ὅπως καὶ τὰ τούτοις ὅμοια, ὡς πρόκειται, ταὐτά εἰσιν ἐν ἐπιῤῥήμασι καὶ συνδέσμοις. Ἔστι δὲ εἰπεῖν, ὡς τὸ μὲν νῦν οὐδ' ὅλως ὁμοφωνεῖ, εἴγε πάντοτε μὲν τὸ ἐπιῤῥῆμα διὰ δύο, ὁ δὲ σύνδεσμος οὐ πάντως· καὶ εἰ τοῦτο, οὐ πάντως ὁμοφωνεῖ. ἀλλ' οὐδὲ τὸ ποῦ σύνδεσμός ἐστι παραπληρωματικός· οὐ γὰρ δή γε τὰ πλεονάσαντα μόρια ἐν ἑνὶ σύνδεσμοι παραπληρωματικοί. ἰδοὺ γὰρ καὶ ἄλλα ἐπιῤῥήματα παρεῖκει, καὶ οὐ πάντως σύνδεσμοι· ἐπὶ μὲν τοῦ βίου ὅστις θέλει ὑπαγέτω, καὶ ἔτι παρὰ τῷ ποιητῇ

ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινήν,

εἰ δ' ἄγε νῦν φίλε Φοῖβε,

οὐ σύ γ' ἔπειτα

Τυδέος ἔκγονός ἐσσι,

σοὶ δ' οὔπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσι.

κατὰ τοῦτο οὖν πλεοναζέτω καὶ τὸ

νῦν εἴ τί κου ἔστι, πίθοιό μοι

καὶ

Ὀδυσσῆος δέ κου εὐνή,

καὶ ὅσα ἐστὶ τοιαῦτα. ἀλλ' εἰ καὶ σύνδεσμός ἐστι τὸ ποῦ, ἰδοὺ ὁμόφωνον ἐπιῤῥήματι ἐν τῷ

εἴ κου ἐξαῤῥήσειεν.

ὅπερ γὰρ τρόπον τοῖς ἄλλοις πύσμασι παράκειται ἀόριστοι προφοραί, τὸ πλέον ἐν χρόνοις δυσὶν ἐγκλιτικαὶ καθεστῶσαι, πῶς ἦλθεν; ἦλθέ πως· τίς ἔγραψεν; ἔγραψέ τις· πότε ἦλθεν; ἦλθέ ποτε· τὸ αὐτὸν τρόπον καὶ τὸ ποῦ παρακείσεται ἐγκλιτικὸν ἀόριστον τῷ πού.

ΧΑΡΙΝ. Δοκεῖ ἰσοδυναμῶν συνδέσμῳ τῷ ἕνεκα,

χάριν Ἀπολλωνίου - ἕνεκα Ἀπολλωνίου. φησὶ δὲ καὶ ὁ Τρύφων, ὡς ἕνεκα τούτου τὸ μὲν ὄνομα καὶ χάριτα λέγεται καὶ χάριν, τὸ δὲ εἰς τοιαύτην σύνταξιν παραληφθὲν ὡς ἀντὶ συνδέσμου καθ' ἕνα σχηματισμὸν παραλαμβάνεται, ὅπερ παρείπετο συνδέσμοις. Ἔτι μέν- 5
τοι φησὶν ὁ Τρύφων, ὡς παρὰ [Εὐριπίδῃ] καὶ ἔτι ἄλλοις ποιηταῖς ὀνοματικῆς συντάξεως ἔτυχεν. ἐν μὲν γὰρ Κρήσσαις

ἐγὼ χάριν σὴν παῖδας οὐ κατακτενῶ,

καὶ ἐν Αὐγῇ· 10

καὶ βουθυτεῖν γὰρ ἠξίους ἐμὴν χάριν.

τὰ γὰρ κτητικαῖς ἀντωνυμίαις συντασσόμενα ὀνόματά ἐστι, τῆς αὐτῆς πτώσεως τυχόντα καὶ τοῦ αὐτοῦ ἀριθμοῦ, ἐμὸν αὐλόν, ἐμὴν οἰκίαν, ἐμὴν χάριν. . . . ἐμοῦ οἷόν τέ ἐστι παραθέσθαι τὸ ἕνεκα, ἕνεκα ἐμοῦ, 15
ἐπὶ δὲ τοῦ χάριν ἐμὴν οὐκέτι, ἕνεκα ἐμήν. τὸ τοιοῦτον δέ φαμεν εἰς ἀπόδειξιν τοῦ τὸ χάριν ὄνομα εἶναι κατὰ τὰς τοιαύτας συντάξεις. οὐδὲν μέντοι κωλύει καὶ τὸ ἔθιμον ἐκδέξασθαι ὄνομα, λιπούσης προθέσεως τῆς εἰς, ὥστε οὕτως ἀκούειν, χάριν Ἀπολλωνίου εἰς χάριν 20
Ἀπολλωνίου, εἴγε καὶ τὸ ἐμὴν χάριν ἐν ἴσῳ ἐστὶ τῷ εἰς ἐμὴν χάριν. καὶ φαίνεται ὅτι ἡ ὕφεσις τῆς προθέσεως προῆξε τὸ χάριν ἰσοδυναμεῖν τῷ ἕνεκα. πάνυ δέ ἐστι κἀκείνου ἀπόδειξις. ἡ τοιαύτη σύνταξις ἐπὶ γενικὴν φέρεται, χάριν Θέωνος, χάριν Διωνος, ἐφ' οὗ 25
ἔφαμεν λείπειν τὴν εἰς. τοιοῦτον δέ ἐστι καὶ τὸ ἐμὴν χάριν, εἴγε πᾶσα κτητικὴ ἀντωνυμία γενικῆς ἐστὶ πτώσεως ἀντωνυμία, τοῦ ἐπιφερομένου κτήματος ἀδιάφορον ἔχοντος τὴν ἐπιφορὰν τῆς πτώσεως. τούτου οὖν τῆδε ἔχοντος, πάλιν τὸ ἐμὴν χάριν ἢ σὴν χάριν 30
ἴσον ἐστὶ τῷ χάριν μου, ὡς εἰ ἐμὴν δούλην - δούλην μου, ἐμὴν οἰκίαν - οἰκίαν μου.

Τοσαῦτα περὶ τῶν αἰτιολογικῶν.

ΠΕΡΙ ΠΑΡΑΠΛΗΡΩΜΑΤΙΚΩΝ.

Παρὰ τοῖς πλείστοις ἐστὶ πρόληψις, ὡς οἱ καλούμενοι παραπληρωματικοὶ σημασίαν τινὰ οὐ ποιοῦνται. ὁ γοῦν Τρύφων ἐν τῷ ὕρῳ βουλόμενος καὶ αὐτοὺς ἐμπεριλαβεῖν, φησὶ καὶ τὸ κεχηνὸς τῆς ἑρμηνείας ἔστιν ὅπου παραπληρῶν, ἀπείκασε δὲ καὶ αὐτὸν ταῖς καλουμέναις στοιβαῖς. ὃν γάρ φησι τρόπον εἰς τὰς συνθέσεις τῶν ἀμφορέων εὐχρηστεῖ ἡ τῶν στοιβῶν παρένθεσις ὑπὲρ τοῦ μὴ καταθραύεσθαι τοὺς ἀμφορεῖς, τὸν αὐτὸν δὴ τρόπον ὑπὲρ τοῦ τὰ τῆς φράσεως μὴ τραχύνεσθαι ἥδε ἡ σύνταξις τῶν μορίων παραλαμβάνεται.

Ἔτι δὲ καί τινές φασιν οὐ δεόντως αὐτοὺς συνδέσμους εἰρῆσθαι, εἴγε συνδέσεως λόγων οὐκ εἰσὶν αἴτιοι. καί φησι Χαιρήμων ὁ Στωϊκός, ὡς κατά τι εἴησάν ἂν σύνδεσμοι. σύνδεσμον γάρ φησι καλεῖσθαι καὶ αὐτὴν τὴν φωνὴν [καὶ τὸ ἐξ αὐ]τῆς δηλούμενον, ᾧ λόγῳ καὶ τὰ ἡμέτερα σχήματα. φαμέν τι πατρωνυμικὸν καὶ τὸ ἐν χαρακτῆρι πατρωνυμικὸν καὶ ἐν δηλουμένῳ, καὶ ἔτι τὰ κτητικά, καὶ ἄλλα πλεῖστα τοιαῦτα, ὡς οὖν τὸ τύπῳ πατρωνυμικῷ προσκεχρημένον, οὐ μὴν δηλουμένῳ, πατρωνυμικὸν καλεῖται, ὥσπερ τὰ τύπῳ ἀρσενικά, οὐ μὴν δηλουμένῳ, ἀρσενικὰ καλεῖται, οὕτω καὶ ἂν τύπῳ ᾖ ὁ παραπληρωματικὸς κεχορηγημένος συνδεσμικῷ, μὴ μὴν δηλουμένῳ, εἰρήσεται σύνδεσμος. ἀμέλει αὐτοὶ οἱ σύνδεσμοι πλεονάσαντες οὐδὲν συνδέουσι καὶ σύνδεσμοι καλοῦνται. οὐδὲν οὖν κωλύει, καθότι καὶ ὁ Φιλόπονος ἀπεφήνατο, συνδέσμους καλεῖσθαι τοὺς παραπληρωματικούς. καὶ τοῦτό φησι δεδωκώς, ὅτι οὐδὲν συνδεσμικὸν δηλοῦσιν.

Ἃ δὲ καὶ Τρύφων παρέθετο, ἐκθήσομαι. Φησίν· ἤτοι συλλαβαί εἰσιν ἢ λέξεις. καὶ αἱ μὲν συλλαβαί τινων λέξεών εἰσι μέρη, καὶ ἤτοι τελικαὶ ἢ ἀρκτικαί. καὶ

τελικαὶ μέν λέγει δή, βούλομαι δή, ἀρκτικαὶ δέ ἐγὼ δὴ βούλομαι, ἐγὼ δὴ λέγω. ἦν δὲ ἐν ἀμφοτέροις ἀσύστατον. Οὐ γὰρ ἔστι τις συλλαβὴ παντὸς μέρους λόγου ληκτική, γενήσεται δὲ ἐν τῷ Ἀπολλώνιος δή, ἐγὼ δή, βούλομαι δή· καὶ ἐπὶ τῶν ὑπολοίπων τὸ αὐτό. ἀλλ' εἰ καὶ προστιθεμένη ἔξωθέν ἐστιν ἐν παραγωγῇ συλλαβή, πάλιν τὸ αὐτὸ ἐπιχείρημα ἀρκέσει· ἑκάστη γὰρ τῶν παραγομένων λέξεων δεκτική ἐστιν ἰδίας συλλαβῆς, ὡς τῶν τρίτων τὸ σι, λέγησιν, ἔχησι, παμφαίνησιν· ἢ τῶν δευτέρων εἰς θα, λέγῃς θα φέρῃς θα, καὶ ἐπὶ τῶν πρώτων τὸ μι,

τάων ἤν κ' ἐθέλωμι,
οὐδ' ἄν ἐῷμι·

καὶ οὐχ οἷόν τ' ἐστὶν εἰπεῖν λέγωσι οὐδὲ λέγωθα. καὶ ἐπὶ τῶν ὁμοίων τὸ αὐτό, λέγω δὲ πάλιν ἐπὶ τοῦ τοιόσδε, μὴ κατὰ παντὸς ὀνόματος ἐφικνεῖσθαι τὸ δε· ἢ ὅτε οὕτως φαμέν, τοῖος τοιοῦτος. πῶς οὖν πάλιν τὸ δή ἐστιν ἐν τῷ λέγω δή, λέγεις δή, λέγει δή; σαφὲς οὖν ὅτι τὸ τοιοῦτον μᾶλλον λέξεως ἤπερ συλλαβῆς, εἴγε καὶ ἐν ἐπιῤῥήμασι καὶ συνδέσμοις τὸ τοιοῦτον ἔστιν εὑρέσθαι. Ἀλλ' οὐδὲ ἀρκτικόν ἐστι συλλαβῆς. πάλιν γὰρ πῶς πάσης λέξεως ἡ αὐτὴ συλλαβὴ ἀρκτική; πῶς τε [ἐπὶ τοῦ] ἐγὼ δὴ λέγω ἡ τῶν παρειρημένων κλίσις οὐκ ἐγένετο κατὰ τὴν δή συλλαβήν; τὸ τοιοῦτον γὰρ παρέπεται ῥήμασιν. οὐ γὰρ δή γε οἱ παραπληρωματικοὶ σύνδεσμοι προθέσεις εἰσίν, ἵνα συντεθέντες προτακτικοὶ γίνωνται, καθότι τὸ καταβαίνω καὶ τὰ ὅμοια. Οὕτω μὲν οὖν συνάγει ὁ Τρύφων ὡς οὐ συλλαβαί, ᾗ καὶ συνηγορήσωμεν, ἔτι τινὰ προσθέντες. συνάγει οὖν ὅτι λέξεις, παραλείπων τὸ ἀναγκαιότατον. ἐν γὰρ δὴ τῇ προτάσει φησὶ τοῦ λόγου, εἰ λέξεις, ὀφείλουσί τι δηλοῦν. ὅπερ αὐτοὶ ἀναπληρώσωμεν. οἷς δὲ λόγοις ἐχρήσατο εἰς τὸ λέξεις εἶναι, πάλιν ἐκθετέον. Σαφὲς μὲν οὖν ὅτι, ἐν οἷς οὐ

συλλαβαί, ἐν τούτῳ λέξεις. ἴδιόν τε λέξεων τὸ μεταλαμβάνεσθαι εἰς ὁμοιοσήμους, βροτός - ἄνθρωπος, αὐτάρ - δέ· τοιοῦτοι δὲ καὶ οἱ προκείμενοι σύνδεσμοι νύ - δή - ῥά. πᾶν μόριον ἐγκλιτικὸν λέξις ἐστίν, ἦλθέ τις, ἄνθρωπός εἰμι· πάμπολλοι δέ εἰσιν οἱ παραπληρωματικοὶ ἐν ἐγκλίσει, ὡς ὁ γέ, ὁ ῥά, ὁ θήν, ὁ νύ. δύο λέξεων ἢ τριῶν οὐσῶν ἀκώλυτον τὸ ἐπάλληλον τῆς ὀξείας· καὶ κατὰ τοῦτο οὖν λέξεις τὰ προκείμενα μόρια· ἰδοὺ γὰρ ἐν τῷ

ἦ νύ σέ που δέος ἴσχει

καθ' ἓν ἕκαστον μέρος λόγου ἡ ὀξεῖα ἀνέστη. Τῆς μὲν οὖν φωνῆς κανόνες οἵδε εἰσί· τοῦ δὲ δηλουμένου, ὅπερ καὶ μᾶλλον ἀναγκαῖον ἦν, παραθετέον. οὐκ εἴ τι μέρος λόγου κατά τινα λόγον παρέλκεται, τοῦτο οὐχὶ πάντως λέξις, ἐπεὶ οἷόν τ' ἐστὶν εἰς τὸ τοιοῦτον παραθέσθαι πάντα τὰ μέρη τοῦ λόγου ἔν τισι συντάξεσι, μάλιστα ὑπὸ ποιητικῆς ἀδείας, πλεονάζοντα. ποίαν γὰρ ἔχει χώραν τὸ

πῇ ἔβη Ἀνδρομάχη λευκώλενος,

λέγω τὸ κατὰ τὸ λευκώλενος; ἀλλ' ἴσως πρὸς τὸ τοιοῦτον ἐκεῖνο εἰρήσεται· ἀλλ' ἐν ἑτέροις τὰ παρέλκοντα δηλοῦσί τι, ἐπεὶ πάλιν οὐ παρέλκει τὸ

λευκώλενος Ἥρη.

δεδείξεται οὖν ὡς οὐ πάντοτε πλεονάζουσιν οἱ παραπληρωματικοί, ἀλλὰ καί ποτε τόπον ἴσχουσι τὸν σημαίνοντά τι. ἔστιν ὑποδείγματα παρέλκοντος μὲν τοῦ γέ

οὗτός γ' Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων·

καὶ ἐν συνδέσμῳ ἆρά γε ἡμέρα ἐστί; καὶ ἐν τῷ σύ γε,

μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι,

καὶ μέν τοί γε· οὐ μὴν ἔτι ἐν τῷ καλῶς γε· ἐπιτέταται γὰρ ἡ ἔκπληξις. ἀλλὰ μὴν καὶ ἐν τῷ

τοῦτό γέ μοι χάρισαι,

τοῦτό γέ μοι λάλησον ἔμφασις ἱκανὴ μειότητος καὶ τοῦ μηδὲν ἄλλο ἀποφαινομένου. καὶ παντί γε

προῦπτον, ὡς διαφέρει τὸ τοῦτο εἰπέ τοῦ τοῦτό γε εἰπέ. πῶς οὖν ἔτι οὐδὲν π . ροῦσιν οἱ παραπληρωματικοί; Ἔτι ὁ δέ σύνδεσμος ὅπως παραλαμβάνεται καὶ ἐπὶ ποίᾳ δυνάμει, ἐκτεθείμεθα. ἀλλὰ προσλαβὼν τὸν γέ ἄλλο τι ἐπηγγείλατο. οὐ γὰρ ὡς ἐν τῷ ἆρά γε ἡμέρα; παρείλκετο ὁ γέ καὶ ἐν τῷ δέ γε, καλούμενον γοῦν ἔστιν εὑρέσθαι παρὰ τοῖς Στωϊκοῖς τὸν δέ γε ὄντα προσληπτικόν. τοὺς γὰρ ἀπὸ συναφῆς λόγους εἰς σχηματισμὸν μετιόντας ἡ τοιαύτη σύνταξις ἡ τῶν συνδέσμων ὑπάγει, εἰ ἡμέρα ἐστί, φῶς ἐστίν· ἡμέρα δέ γέ ἐστιν· καὶ ἐπεὶ ἐν προσλήψει ἐγένετο ὁ λόγος, προσληπτικοὶ οἱ τοιοῦτοι σύνδεσμοι, Τὸ δ' αὐτὸ συμβέβηκε καὶ ἐπὶ τοῦ ἀλλά καὶ ἀλλὰ μήν. πάλιν γὰρ ὁ μήν παραπληρωματικός, συνὼν τῷ ἀλλά, τὴν αὐτὴν πρόσληψιν ἀποτελεῖ, ἀλλὰ μὴν ἡμέρα ἐστί, καὶ σχεδὸν ἀμφοτέρων τῶν συντάξεων μία δύναμις· ἐκ γὰρ τῶν αὐτῶν εἰσίν, ὁ γὰρ δέ ἰσοδυναμεῖ τῷ ἀλλά — καὶ τοῦτο ἐδείχθη — ὃς προσλαβὼν παραπληρωματικὸν τὸν γέ προσληπτικὸς ἐγένετο· καὶ πάλιν ὁ ἀλλά, παραπληρωματικὸν προσλαβὼν τὸν μήν, τὸ αὐτὸ ἐγένετο, πολλάκις δὲ καὶ ὁ γάρ προσέρχεται τῷ ἀλλά, ἀλλὰ γὰρ ἡμέρα ἐστί· καὶ εἰ ὁ γάρ σύνδεσμος, καὶ ὁ μήν καὶ ὁ γέ σύνδεσμοι. Ἔτι ὁ πέρ παρείλκει ἐν τῷ εἴπερ ἡμέρα ἐστί — καὶ διότι, εἴρηται — ἀλλ' οὐκέτι ἐν τῷ καίπερ ἀγαθὸς ὤν. ὑπεναντίωσιν γὰρ ἐδήλωσεν ὁ καί, καὶ δῆλον ὅτι διὰ τὸν πέρ, ὅπου γε καὶ κατ' ἰδίαν ὁ πέρ ἐναντιωματικός ἐστι μετ' αὐξήσεως,

ἀγαθός περ ἐών,

σώφρων περ ὤν· τὸ γὰρ ἐναντίον τῷ

τοῦτό γέ μοι χάρισαι

ἀπειργάσατο. Ἃς ἔχει δυνάμεις ὁ καί, εἴπομεν. ἀλλὰ προσλαβὼν τὸν μήν ἀποδεικτικὸς γίνεται, πάλιν ὑπαγομένης ἐναντιώσεως, οὐ βλέπω, καὶ μὴν ἡμέρα

ἐστίν· ἐψεύσατο, καὶ μὴν ἀγαθός ἐστι. πῶς γὰρ ἄν τις ἐπὶ τῶν τοιούτων συντάξεων παρέλκειν φαίη τοὺς συνδέσμους; ἕνεκα τούτου τὸ

ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ

εἰς τὸν δή μεταλαμβάνεται, ὅτι μὴ κυρίως τὸ δηλούμενον αὐτοῦ ἀπαιτεῖ ὁ λόγος. Ὁ ἤ διαζευκτικὸς ἐπηύξηται διὰ τοῦ τοί, οἷον ἐν τῷ ἤτοι. ἀλλ' οὐκέτι ἐν τῷ μέντοι οὐδὲ ἐν τῷ καίτοι. πάλιν γὰρ διαφέρει τὸ καίτοι παρῃτήσατό με τοῦ καὶ παρῃτήσατό με. ὅ τε μέντοι οὐχ ὁ αὐτὸς τῷ μέν, τῷ δὲ δέ. ἐφ' οὗ πάλιν καὶ ὁ γέ πλεονάζει ἐν τῷ μέν τοί γε. Ἔτι ὁ δή ὡς μὲν παρέλκει, παντὶ προῦπτον· ὡς δὲ καὶ πολλάκις μεταβασιν λόγου ποιεῖται, σαφὲς ἐκ τῶν τοιούτων

οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες

καὶ τῶν παραπλησίων. νοοῦμεν γὰρ λόγου ἔκλειψιν καὶ ἀρχὴν ἑτέρου, ὡς εἰ καὶ ἐν περιγραφῇ κατελιμπάνετο ὁμοίως τῷ

ὡς οἱ μὲν Τρῶες φυλακὰς ἔχον,
ὡς ὁ μὲν ἔνθ' ἠρᾶτο.

Ἀλλὰ μὴν καὶ ἐν τοῖς καλουμένοις πρὸς ἡμῶν μὲν συλλογιστικοῖς, πρὸς δὲ τῶν Στωϊκῶν ἐπιφορικοῖς ἔστι παραδέξασθαι τὴν σημασίαν αὐτῶν. τὸν τοίνυν ἐκ δύο παραπληρωματικῶν συνεστῶτα, καὶ ἔτι μετὰ τοῦ γάρ ἐν τῷ τοιγάρτοι, καὶ μετὰ τοῦ οὖν τοιγαροῦν. δύναμιν γὰρ ἔχουσιν οἱ τοιοῦτοι ἴσην τῷ ἄρα συστελλομένῳ κατὰ τὸ ᾱ. καὶ εἴρηνται μὲν ἐπιφορικοί, καθὸ ἐπιφέρονται τοῖς λεημματισμένοις, ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί, τοιγαροῦν φῶς ἐστί, φῶς τοίνυν ἐστί· συλλογιστικοὶ δέ, καθότι ἐπί τισιν ἀποδείξεσιν, ἐπισυλλογιζόμενοι τὸ συναγόμενον, προεχρώμεθα τοῖς συνδέσμοις τοῖσδε, ἔχεις μου πέντε δραχμάς, ἔχεις δὲ καὶ τρεῖς, ἔχεις ἄρα ὀκτὼ δραχμάς, ἔχεις τοίνυν ὀκτὼ δραχμάς. [Ἄπειρος] ἢ καθ' ἕνα ἕκαστον σύνδεσμον ἀπόδειξις εἰς τὸ ὅτι καὶ δηλοῦσί τι οἱ παραπλη-

ρωματικοί. ἀλλ' ἐπεὶ πλείονες μέν εἰσι ταῖς φωναῖς, τοῖς δὲ δηλουμένοις ἐλάττονες, ἀρκετὴ ἡ ἐξ ἑνὸς ἑκάστου ἰσοδυναμοῦντος ἀπόδειξις. περισσὸν γὰρ τὸν ῥά παραλαμβάνειν τοῦ δή ἀποδειχθέντος, ἢ τὸν θήν ἢ τὸν νύ, ἐπεὶ τὸ αὐτὸ τὸ

ἄλλοι μέν ῥα θεοί τε

τῷ

οἱ μὲν δὴ παρ' ὄχεσφι

καὶ τῷ . . . Ταῦτα μὲν ὡς δηλοῦσιν οἱ παραπληρωματικοί.

Κἀκεῖνο δὲ ὑποθησόμεθα, δι' ἣν αἰτίαν ἀπὸ τοῦ πλεονάσματος τὴν ὀνομασίαν ἔσχον. δέδοται γὰρ ὅτι σύνδεσμοι καὶ δηλοῦσί τι, τὸ δὲ πλεῖον ἀεὶ ἐπικρατεῖ τοῦ ἐλάττονος. καὶ περισσὸν εἰς τοῦτο παρατίθεσθαι, χωρὶς εἰ μὴ ἐπ' αὐτῶν τῶν συνδέσμων. ἀπειράκις ο[ἱ συμπλε]κτικοὶ συμπλέκουσιν, ἵνα ἅπαξ [καὶ] αὐτοὶ πλεονάσωσι· καὶ ἕνεκα τούτου ἐπεκράτησε τὸ καλεῖσθαι αὐτοὺς συμπλεκτικούς, τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὑπολοίπων, εἰ καί που εὑρεθεῖεν πλεονάζοντες. ἔνθεν αἱ δέουσαι ὀνομασίαι ἔμενον. οἱ μέντοι παραπληρωματικοὶ σύνδεσμοι καλούμενοι, τὸ πλέον πλεονάσαντες ἤπερ δηλοῦντες, κατὰ τὴν ἐναντίαν παράθεσιν τοῦ συνδέσμου ἀπὸ τοῦ πλεονάσαντος τὴν ὀνομασίαν ἔσχον. οὕτως γοῦν ἐπλεόναζον, ὥστε καὶ τοὺς πλείστους λαθεῖν τὸ δηλούμενον τὸ ἐξ αὐτῶν. ἦν δὲ καὶ ὁ πλεονασμὸς αὐτῶν χρειώδης ἄγαν. ἥ τε γὰρ ἀνὰ χεῖρα ὁμιλία καὶ αἱ συντάξεις αἱ ἀρχαῖαι καὶ πᾶσα ποιητικὴ γραφὴ τρέπεται ἐπὶ τὴν εὐφωνίαν, καὶ διὰ τοῦτο εὔχρηστα τὰ προκείμενα μόρια, καθότι περ, ὡς πρόκειται, ἀπείκαζον αὐτά τινες τῇ προσκειμένῃ στοιβῇ τοῖς ἀμφορεῦσι. καὶ ὡς ἐπὶ στοιχείων οἷόν τέ ἐστιν ἀναγκαῖον εὑρέσθαι πλεονασμόν, ἐν ᾧ πάντως τὸ στοιχεῖον οὐ στοιχεῖον, καθό ἐπλεόναζε· πάλιν γὰρ παρελαμβάνετο εἰς δήλωσίν τινος — καὶ ἐκκείσθω ὑπόδειγμα τὸ ἐπὶ τοῦ ν̄, ὃ μάλιστα πάμ-

πολλόν ἐστιν ἐν τῷ πλεονασμῷ, ἕνεκα εὐφωνίας παραλαμβανόμενον ἐπὶ παντὸς βραχυκαταλήκτου ῥήματος, ἔλεγεν, ἔλαβεν, καὶ ἐπὶ δοτικῶν τῶν εἰς ῑ ληγουσῶν, παισίν, χρή[μα]σιν· οὐ μὴν ἐν τῷ λέγει καὶ λέγειν. νῦν γὰρ ἐν λεκτῷ προσῄει· ἐκ γὰρ ὁριστικοῦ ἀπαρέμφατον ἀκούομεν· — τὸν αὐτον δὴ τρόπον ἐδείχθη καὶ τὰ προκείμενα μόρια ὁτὲ μὲν ἕνεκα δηλουμένου παραλαμβανόμενα, ἅπερ ἦν καὶ σπανιώτατα, ὁτὲ δὲ ἕνεκα εὐφωνίας, ὅπερ πλέον καθειστήκει. καὶ ὡς ἔφαμεν, ἕνεκα τούτου ἐπεκράτησεν ἡ ὀνομασία. Προσθείην δ' ἂν καὶ τοῦτο, ὡς οὐδὲ ἀπὸ τοῦ δηλουμένου δυνατὸν ἦν τὴν ὀνομασίαν θέσθαι. οἱ μὲν γὰρ ἄλλοι τῶν συνδέσμων, ἐν πλείοσιν ὄντες φωναῖς ἐν ἐπηγγέλλοντο, τὸ συμπλέκειν οἱ συμπλεκτικοί, τὸ δὲ διαζευγνύειν οἱ διαζευκτικοί, τὸ δὲ διαπορεῖν οἱ διαπορητικοί, καὶ ἐπὶ τῶν ὑπολοίπων τὸ αὐτό. οἱ μέντοι παραπληρωματικοὶ οὐχ ἓν ἐπηγγέλλοντο κατὰ τὸ δηλούμενον, εἴγε ὁ μὲν δή περιγραφήν τινα ἐδήλου, ὁ δὲ πέρ ἐναντιότητά τινα μετ' αὐξήσεως, καὶ ἔτι ὁ γέ μειότητα ἢ ἐπίτασιν θαυμασμοῦ. καὶ εἰ διάφοροι κατὰ τὸ δηλούμενον, πῶς ἦν δυνατὸν μίαν ὀνομασίαν ἀπὸ τοῦ δηλουμένου χωρίσαι; οὔτε γὰρ περιγραφικοί, ἐπεὶ οὐ πάντες, οὔτε ἐναντιωματικοί, ὡς πρόκειται. ὑγιῶς ἄρα ἀπὸ τοῦ πεπλεονακότος σχήματος . . . κοινῶς κατὰ πάντων ἡ ὀνομασία ἐτέθη. Καί μοι δοκεῖ παραπλήσιόν τι ἀναδεδέχθαι τῷ καλουμένῳ παρωνύμῳ ὀνόματι. τὰ μὲν γὰρ ἄλλα εἰδικά, ἔχοντα ἓν τὸ δηλούμενον, ἔλαβε τὴν θέσιν τοῦ ὀνόματος ἀπὸ τοῦ δηλουμένου, τὰ πατρωνυμικὰ ἀπὸ τοῦ τὸν πατέρα δηλοῦν, τὰ κτητικὰ τὰ ὑπὸ τὴν κτῆσιν πεπτωκότα, καὶ ἔτι τὰ συγκριτικὰ καὶ τὰ ὑπόλοιπα. καὶ ἐπεὶ τὰ καλούμενα παρώνυμα ἐν πλείστοις σημαινομένοις κατεγίνετο, πάλιν εἰς μίαν ὀνομασίαν μετετίθετο, λέγω τὴν κοινῶς πᾶσιν ἀκολουθήσασαν, καθὸ πάντα παρηγμένα ἦν. ἕνε-

θεν ἀπὸ τῆς φωνῆς ἡ θέσις τοῦ ὀνόματος. Καὶ τοσαῦτα μὲν τὰ περὶ ἐννοίας τῆς τῶν παραπληρωματικῶν. ἰτέον ἑξῆς ἐπὶ τὰς φωνάς.

Ποιητικὸν ὄντα τὸν ΑΥ καὶ ἔτι τὸν ΤΑΡ θεματικοὺς ἂν παραδεξαίμεθα. τινὲς γάρ φασι τὸν αὐτάρ σύνδεσμον ἀποκοπέντα μὲν εἶναι αὖ, ἀφαιρεθέντα δὲ τάρ. ἦν δὲ τὸ τοιοῦτον οὐκ ἀληθές. τί γὰρ οὐχὶ ὁ αὐτάρ τοῦτ' ἀνεδέχετο, ἐντελέστερος ὤν; ἀλλ' εἰ οὐ καθολικὰ τὰ πάθη, ἐκεῖνό γε συνελέγξει τὸν λόγον. τὰ πάθη τῶν φωνῶν ἐστίν, οὐ τῶν σημαινομένων. τὸ δῶ δηλούμενον μὲν ἔχει τὸ δῶμα, οὐ μὴν λεγόμενον· τῆς γὰρ λεγομένης φωνῆς ἦν τὸ πάθος. καὶ ἔτι τὸ λῶ ἀφῃρημένον ἐκ τοῦ θέλω, ἢ καὶ τὸ βῆ ἐκ τοῦ ἔβη, πάλιν τὸ αὐτὸ ἔχει δηλούμενον. ἔστι γοῦν καὶ ἐπὶ μιᾶς λέξεως τὸ αὐτὸ παραστῆσαι. τὸ ἄβαλε ἐντελές ἐστι, καὶ σαφὲς ἐκ τῆς ἐκτάσεως τοῦ ᾱ. καὶ ἀφαιρεθὲν γὰρ τὸ αὐτὸ δηλοῖ,

βάλε δή, βάλε κήρυλος εἴην.

ἀλλὰ μὴν καὶ ἀποκοπὲν τὸ ᾱ. . . . . .

ὅπερ πάλιν μέγιστον τεκμήριόν ἐστι τοῦ τὸ ἄβαλε μὴ πεπλεονακέναι τῷ ᾱ. οὐ γὰρ εἰς τὸν πλεονασμὸν καταντῶσιν ἀεὶ αἱ ἀποκοπαί, οὐδ' οἱ πλεονασμοὶ τὸ δηλούμενον ἔχουσιν, ἐπεὶ οὐκέτι πλεονασμοί. τὸ γοῦν ἀλαλητός οὐ διὰ τοῦ κατ' ἀρχὴν ᾱ τὸ λαλητός ποτε δηλώσει, οὐδὲ ἄλλο τι τῶν οὕτως πεπλεονακότων. εἴπερ οὖν ὁ αὐτάρ σύνδεσμός ἐστι συμπλεκτικός, καὶ ὁ τάρ συμπλεκτικὸς γενήσεται καὶ ὁ αὖ· εἰ δὲ παραπληρωματικὸς ὁ αὖ καὶ ὁ τάρ, τμῆμα ὄντες τοῦ αὐτάρ, καὶ ὁ αὐτάρ παραπληρωματικός. ἐπὶ γοῦν τοῦ ἄρα οὐκ ἔστιν ἄντικρυς οὕτως ἀπώσασθαι τὸν λόγον, καθὸ οὐ μόνον ἐπιφορικὸς π[αραλαμβάνεται,] ἀλλ' ἀπειράκις καὶ παραπληρωματικός,

ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε,

καὶ

τὸν δ' ἄρα [πάντες] λαοὶ ἐπερχόμενον.

φασὶ γὰρ καὶ ἐπὶ τούτων τὸν μὲν ῥᾶ ἀφαιρεθῆναι τοῦ ᾱ, τὸν δὲ ᾶρ ἀποκοπῆναι. καὶ ἦν ἡ ἀποκοπὴ νομική, εἰς ἡμίφωνον καταντῶσα. καὶ πάνυ γε [πιθανόν] παραδεξασθαι τὴν τοῦ ῥ μονὴν ἐπ' ἀμφοτέρων τῶν συνδέσμων] αὕτη γὰρ ἦν διακριτικὴ τῆς ἀφαιρέσεως καὶ τῆς ἀποκοπῆς, ἐπεί, εἰ συναπεκέκοπτο τὸ ῥ ἢ συναφῃρῆτο, ἄδηλον τὸ πάθος. 5

Η. Ἐν ἀρχῇ τιθέμενος περισπᾶται, ἐν δὲ ὑποτάξει ἐγκλίνεται,

ἢ μεγάλ' ἐβρόντησας, 10

μεγάλα δὴ ἐβρόντησας·

τιὴ δὲ σὺ νόσφιν ἀπ' ἄλλων·

ἐν ἴσῳ γὰρ ἐστι τῷ τί δή. φησὶν ὁ Τρύφων τὸν λόγον ψευδῆ εἶναι, ἐπεὶ οὐκ ἔστιν ἐπ' ἄλλων μερῶν λόγου τὸ τοιοῦτον ἐπιδεῖξαι. τὰ γὰρ οὕτω καὶ . . . . . 15 ἐγκλιτικά ἐστι μόρια, καὶ οὐ πάντως τῷ δηλουμένῳ παρήλλακται, ὡς ἔχει τὰ ἀντωνυμικά, ἐμοῦ ἥρπασεν, ἥρπασέ μου· σοῦ ἥρπασεν, ἥρπασέ σου. προσθείημεν δ' ἄν καὶ τὰ πυσματα οὕτω λεγόμενα ποῦ ἀπῆλθες; ἀπῆλθές που· πῶς ἀπῆλθες; 20 ἀπῆλθές πως. παρείπετο οὖν καὶ τῷ ἤ ταὐτόν. τῷ αὐτῷ λόγῳ πλέον ἐπεμέμφετο τοὺς ἐγκλίνοντας μὲν κατ' ἀρχὴν τὸ ὡς, ἐν δὲ μέσῃ τῇ φράσει περισπῶντας,

ἀλλ' οὐδ' ὡς ἑτάρους ἐρρύσατο.

πάλιν τῷ αὐτῷ λόγῳ, ὅτι μὴ τῶν ἐγκλιτικῶν τὸ ὡς, καὶ 25 ὡς τὸ ἐναντίον ἀνεδέξατο, ὅπου γε τὰ μὲν μεσαζόμενα ἀποβάλλει τὴν περισπωμένην, τὰ δὲ ἐν ἀρχῇ παραλαμβανόμενα, εἰ ἐπιδέχοιτο τὴν περισπωμένην, πάντως τὴν αὐτὴν παραλαμβάνει, ὡς ἔχει ποῦ ἀπῆλθεν; ἀπῆλθέ που, καὶ τὰ ἄνω προκείμενα. κἀκεῖνο δὲ προσθήσομεν, ὡς καὶ ὁ ἰσοδυναμῶν αὐτῷ δή, κἂν ὑπὸ ποιητικῆς ἀδείας ἐν ἀρχῇ παραλαμβάνηται, οὐ μετατίθεται τοῦ τόνου, 30

δὴ τότε μητιόωντο · . .

τὸ γὰρ αὐτὸ τῷ τότε δή. ᾗν οὖν φησὶ πλεονασμὸς τοῦ ῆ ἐν τῷ τιή, ᾧ λόγῳ καὶ τὸ λεγοίη, φεροίη πλεονάζουσι τῷ ῆ, καὶ ὡς ἀπὸ τοῦ ἐγών τὸ ἐγώνη παρὰ Ταραντίνοις, καὶ ἐν μέσῃ λέξει τὸ πολεμήϊα, πολιήτης, μυθιήτης, καὶ ἐν ἀρχῇ τὸ ἠβαιόν. καὶ ἦν συγκαταθέσθαι τἀνδρί, εἰ μὴ τὸ ἀπ᾽ αὐτοῦ ἀναφορικῶς παραλαμβανόμενον, λέγω τὸ ὅτιή, πρὸς πάντων συμφώνως ἀνεγνώσθη ἐν ὀξείᾳ τάσει τοῦ ο. ὅπερ οὐκ ἂν παρείπετο, εἰ ἓν μέρος λόγου ἦν τὸ τιή. 1

Καὶ περὶ ἐκείνου δὲ διαληπτέον, εἰ ἐν τῷ

ἦ δὴ πολλὸν ἀποιχομένου [Ὀδυσῆ]ος

τοῖς τε παραπλησίοις πλεονασμός ἐστι τοῦ ῆ, καθώς τισιν ἔδοξεν, οἷς καὶ παρείπετο τὸ ἐγκλίνειν τὴν συλλαβήν, ᾧ λόγῳ καὶ ὁ μέν ἐν τῷ ἠμέν πλεονάσας τῷ ῆ, καὶ 1
ὁ δὲ ἐν τῷ ἠδέ καὶ ἔτι ἰδέ,

ἰδὲ φρεσὶ πευκαλίμῃσιν.

Ἔστιν εἰπεῖν, ὡς ἐπὶ τῶν προκειμένων συνδέσμων ἡ γραφὴ τοῦ ῆ ἢ τοῦ ῖ οὐχ ὑπηγόρευε συνδεσμικὴν θέσιν παράλληλον. οὔτε γάρ ποτε ὁ ἤ σύνδεσμος συμπλεκτικός, οὔτε τὸ ῖ. ἔνθεν οὖν συλλαβαί, καὶ εἰ συλλαβαί, πλεονασμοί. ἔφαμεν δὲ καὶ ἐν τῷ περὶ αὐτῶν, ὡς οὐκ ἄλογος ἐγένετο ὁ πλεονασμός. ἐπὶ μέντοι τοῦ 2

ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος

ὑπήντα καὶ γραφὴ συνδεσμικὴ τοῦ παραπληρωματικοῦ 2
καὶ ἀνάλογος θέσις, ὡς εἰ καὶ κατ᾽ ἰδίαν ἔλέγετο

ἦ μάλα δὴ τέθνηκεν.

ἀλλὰ μὴν τὸ ἐπάλληλον ὅμοιον καθεστηκὸς τῷ

ἤτοι μὲν Μενέλαος,

ὅτι γὰρ παρεγένετο, 3

καί τε χαλιφρονέοντα.

Οὐδὲ ἐκεῖνο δὲ ὑγιές, καθότι τινὲς πάλιν ὑπέλαβον, ἕνα εἶναι τὸν δή καὶ τὸν ἤ, ὡς εἰ καὶ τὸ μία ἀφαιρεθέντος

τοῦ

τοῦ μ ἐν τῷ ἴα, ἢ τὸ γαῖα ἐν τῷ αἶα. πρῶτον τί μᾶλλον ὁ ἤ πεπλεόνακε τῷ δ; ἀλλ' ἴσως τις φήσειε ταῦτα καὶ πλεονάζειν καὶ λείπειν σύμφωνα, ὅπου γέ φαμεν τὴν ἰωπάς διωπάς εἶναι, καὶ τὴν ἄχερδον ἄχερον οὖσαν, καὶ παρὰ τὸ ὕω ὕδωρ. καὶ ἕνεκα τούτου οὔτε ὁ δή οὔτε ὁ ἤ. ἐκεῖνό τε σαφέστατόν ἐστιν, ὡς τὰ ἀφαιρεθέντα συμφώνου ἢ καὶ προσλαβόντα σύμφωνον τύπου μὴ ἀντικειμένου ὁμότονά ἐστιν. οὔτε οὖν ὁ δή ἤ ἐγένετο, οὔτε κατὰ πρόσθεσιν τοῦ δ ὁ ἤ δή, καθὸ ὃ μὲν περισπᾶται, ὃ δὲ ὀξύνεται. φησὶ δὲ καὶ ὁ Τρύφων ὡς τὰ ἐν πάθει γινόμενα οὐδέποτε παράλληλα τίθεται τοῖς ὁλοκλήροις, γαῖα αἶα, μία ἴα, σῦς ὗς. καὶ κατὰ τοῦτο οὖν τὸ

ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος

οὐκ ἐν ἐπαλληλότητι ἔχει ἕνα σύνδεσμον τὸν δή μόνως ἐπεκτείνεται ἐν τῷ δῆτα.

ΘΗΝ, ΡΑ, ΝΥ, ΠΟΥ. Εἴρηται ὡς ἰσοδυναμοῦσι τῷ δή, καὶ ὡς μᾶλλον ποιητικοί. τῆς μέντοι συντάξεως διαφορὰν ἔχουσιν. ὁ μὲν γὰρ δή καὶ ἤ καὶ αὖ συνεγκλιτικοί, ὁ δὲ θήν καὶ νύ καὶ ῥά ἐγκλιτικοί. εἴρηται δὲ καὶ περὶ τοῦ ποῦ ὡς οὐκ εἴη σύνδεσμος, ἐπίῤῥημα δὲ παρέλκον.

ΠΕΡ. Εἴρηται καὶ ὑπὲρ τούτου, ὡς ἐναντιωματικός ἐστι. διὸ καὶ τοῦτο προστιθέασι καὶ τὸ ἔμπης καὶ τὸ ὅμως. κατ' ἴσην γὰρ δύναμιν τὰ μόρια λαμβάνεται, ποιητικὸν μέντοι τὸ ἔμπης καὶ σύνηθες τὸ ὅμως. λαμβάνεται μέντοι τὸ ἔμπης καὶ ἐπὶ τοῦ ὁμοίως, ὡς ἐπὶ τοῦ

ἔμπης μοι τοιχοὶ μεγάρων καλαί τε μεσόδμαι·
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.

ΟΥΚΟΥΝ. Ὁ οὐκοῦν καλεῖται πρὸς ἐνίων ἐπιλογιστικός, πρὸς [δ' ἑτέρων] ἀνακεφαλαιωτικός, [καθ]ὸ ἐπὶ τοῦ τέλους ἔχων τὴν [περισπωμένην] οὐ μακρὰν πέπτωκε τῶν καλουμένων συλλογιστικῶν. ἔστι γε ἐπ' αὐτοῦ τοῦτο τηρῆσαι, ὡς ὅτε μὲν ἔχει τὴν οὔ ἀπόφασιν ἐγκειμένην καὶ κατὰ τὸ δηλούμενον, παραπληρωματικῷ κέχρηται τῷ

οὖν· ὅτε δὲ τὸ οὖν ἔχει καὶ ἐν δηλουμένῳ, οὐκ ἔχει τὴν οὔ ἀπόφασιν ἔχει. πάρητοῦντο . . ε τὴν ἐπικράτειαν τοῦ ἐπιῤῥήματος καὶ ἡ βαρεῖα κατὰ τέλος πίπτει· ἀπειράκις γὰρ τίθεται ἀντὶ τῆς οὔ ἀποφάσεως. παρὰ δὲ τὴν τοῦ συνδέσμου ἐπὶ τέλους ἴσχει τὸν δέοντα τόνον τοῦ συνδέσμου. καὶ ἕνεκά γε τοῦ τοιούτου σημειώσαιτο ἄν τις τὴν ἐπὶ τέλους βαρεῖαν. τὰ γὰρ μέρη τοῦ λόγου, ἐάν τε δηλοῖ ἐάν τε καὶ παρέλκῃ, τοῦ αὐτοῦ τόνου ἐστὶ παραστατικά. εἴπερ οὖν παρέλκεται ὁ οὖν σύνδεσμος μετὰ τῆς οὔ ἀποφάσεως παραλαμβανόμενος, οὐ δέοντως τὸν τόνον μετατίθησι. ταύτῃ γοῦν καὶ ἡ μή ἀπαγόρευσις, [συν]ταττομένη τῷ οὖν καὶ δηλοῦσα ἀπαγόρευσιν, οὐδὲν ἐξαλλάσσει τοῦ τόνου. φαμὲν γὰρ οὕτως, μὴ οὖν παρέσται; καὶ ἐν προστάξει, μὴ οὖν γράφε, μὴ οὖν διαλέγου. καὶ τὸ τοιοῦτον πάλιν πρός τινων βαρύνεται. δῆλον δὲ ὡς εἰς ταὐτὸ περιστήσεται τὰ [τοῦ] τόνου. ῥητέον οὖν ὡς παράλογοι αἱ τοιαῦται προφοραί. δισσὸς οὖν ἐστὶν ὁ οὖν, περισπώμενος μὲν ἐν συλλογιστικῇ ἐκφορᾷ, ὀξυνόμενος δὲ ὅτε ἐστὶ παραπληρωματικός, καὶ δῆλον ὅτι καὶ τῶν ἐγκλιτικῶν, ἵνα καὶ ὁ τόνος τῆς ἀποφάσεως. καὶ ἐπὶ τοῦ ἄρα συνδέσμου, ὁμοιογράφου καθεστῶτος, τὸ δισσὸν [ἔστιν] ἀναδιξασθαι τοῦ τόνου. ὅτε γάρ ἐστιν ἀπορηματικὸς ἢ κατ' ἐρώτησιν παραλαμβανόμενος, τότε καὶ ἐν ἐκτάσει ἐστὶ τὸ ᾱ· ὅτε μέντοι ἐπιφορητικὸς ἢ παραπληρωματικός, βραχὺ ἔχει τὸ ᾰ.

ΑΠΟΛΛΩΝΙΟΥ

ΑΛΕΞΑΝΔΡΕΩΣ

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΝ.

κειται τῷ μειράκιον, καὶ ἔτι καλεῖται ὄνομα ἐπιθετικόν, καὶ διὰ τοῦτο συγκλίνεται τῷ μειρακίῳ, τοῦ ταχέος μειρακίου, τῷ ταχεῖ μειρακίῳ. ἡνίκα μέντοι οὐ κατηγορεῖ ὀνόματος, τοῦ δὲ συντασσομένου ῥήματος, ὡς ἐν τῷ ταχὺ περιπατεῖ μειράκιον· ἴσον γάρ ἐστι τῷ ταχέως περιπατεῖ τὸ μειράκιον· καὶ καθ' ἕνα σχηματισμὸν ἐκφέρεται, ταχὺ περιπατοῦντος τοῦ μειρακίου, ταχὺ περιπατοῦντι τῷ μειρακίῳ. διὰ τοῦ τοιούτου ὑποδείγματος δεῖ τοὺς διακρίνοντας τὰς τοιαύτας συνεμπτώσεις τῷδε τῷ λόγῳ κεχρῆσθαι. ἀπόδειξις οὖν ἱκανὴ τοῦ καθ' ἕνα σχηματισμὸν ἐκφέρεσθαι τὰ ἐπιῤῥήματα, ὅπου γε καὶ τὰ πτωτικά, σύνταξιν ἐπιῤῥηματικὴν ἀναδεξάμενα, καθ' ἕνα σχηματισμὸν ἐξηνέχθη.

Ὡς δὲ καὶ κατηγορεῖ τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων, σαφὲς πάλιν καὶ διὰ τοῦ προκειμένου λόγου, ἐν οἷς πάντα τὰ πτωτικὰ ἐπιθετικά, κατηγοροῦντα οὐ τῶν ὀνομάτων, τῶν δὲ ῥημάτων, ἐπιῤῥήματα ἐγένετο, καὶ τὴν τούτων ἀκλισίαν ἀνεδέχετο. καὶ ὃν τρόπον ἔστι μὲν ὄνομα κύριον ἢ προσηγορικὸν ἐπινοῆσαι μὴ ἀπαιτοῦν ἐπιθετικὸν ὄνομα, ἐπιθετικὸν δὲ ὄνομα πάντως ἀπαιτοῦν ᾧ ἐπίκειται, ἐξῃρημένων τῶν ἰδίᾳ τεταγμένων, λέγω τοῦ τερπικέραυνος, ἐννοσίγαιος, τὸν αὐτὸν ἀεὶ τρόπον ἔστιν ἐπινοῆσαι ῥῆμα μὲν δίχα ἐπιῤῥήματος συγκλεῖον λόγον, ἐπίῤῥημα δὲ οὐ μὴ δίχα ῥήματος ἢ μετοχῆς, ἤ τις δυνάμει ἰδίωμα ἔχει τὸ τοῦ ῥήματος. καὶ οὐ τοῦτό φημι, ὅτι αἱ μετοχαὶ ἀπαρτίζουσι διάνοιαν, ἀλλ' ὅτι τὰ ἐπιῤῥήματα καὶ ἐπὶ μετοχὰς φέρεται. Ἐντελέστερον μέντοι δεδείξεται ἐν τῷ περὶ συντάξεως, ὡς τὰ μὴ θεματικώτερα [μέρη] τοῦ λόγου ὀνόματά ἐστι καὶ ῥήματα, τὰ δ' ὑπόλοιπα τῶν μερῶν τοῦ λόγου ὡς πρὸς τὴν τούτων εὐχρηστίαν ἀνάγεται, τὰ μὲν ἄρθρα πρὸς τὰ πτωτικὰ ἢ ὡς πτωτικά, τὰ δὲ ἐπιῤῥήματα πρὸς τὰ ῥήματα, αἵ τε προ-

θέσεις πρὸς ἀμφότερα· διὸ καὶ μόναι ἀναστροφῆς τόνου ἔτυχον, καὶ τῇδε δύνανται συντάσσεσθαι, λέγω ὀνόμασι, καὶ τῇδε, λέγω ῥήμασιν. εἰρήσεται δὲ καὶ πότε ἀντωνυμίαι ἀντ' ὀνομάτων παραλαμβάνονται, τίνες τε ἐν τῷ καθόλου σύνδεσμοι συνδέουσιν ὄνομα καὶ ῥῆμα, καὶ τί- 5
νες εἰσὶ μερικοί.

Οὐ μόνον δὲ ῥητοῖς οὖσι τοῖς ῥήμασι κατὰ τὴν σύνταξιν τοῦ λόγου τὸ ἐπίῤῥημα προσφέρεται, ἀλλὰ καὶ σιγωμένοις, εἴγε καὶ αἱ ἐπιφωνήσεις οὐδὲν ἄλλο εἰσὶν ἢ ἐπιῤῥήματα τῶν ῥημάτων ἐπιγινομένων, καθὸ τοῖς εὖ 10
ἀναγινώσκουσι τὸ κάλλιστα ἐπιφωνοῦμεν καὶ τοῖς εὖ διατιθεῖσιν ἡμῖν τὸ ἥδιστα, καὶ τοῖς ἀκριβοῦσι τὰς ἰδίας πράξεις καὶ τέχνας τὸ καλῶς ἐπιφωνοῦμεν. Ἀλλ' ἐκεῖνό τις εἴποι ἄν, ὡς κατὰ τὸν τοιοῦτον λόγον περιγεγράφεται τοῦ κα[τὰ τὰ ἐπιῤ]ῥήματα μερισμοῦ τὸ οἴμοι καὶ τὰ 15
τοιαῦτα τῶν ἐπιῤῥημάτων, λέγω τὰ σχετλιαστικὰ καὶ εὐαστικά. Πρὸς ὃν ἔστι φάναι, ὡς τάχα μὲν καταχρηστικώτερον τὰ τοιαῦτα ἐπιῤῥήματα εἰρήσεται, ᾧ λόγῳ καὶ αἱ μονογράμματοι συλλαβαί, οὐκ οὖσαι συλλήψεις στοιχείων. μή ποτε δὲ καὶ αὐτὰ δυνάμει ἀπὸ διαθέσεως 20
ῥηματικῆς ἀνάγονται· οἱ γὰρ σχετλιάζοντες πεπόνθασι, τὸ δὲ παθεῖν πίστιν τινὰ τῶν ἐκ πράγματος δηλοῖ. παρὸν δὲ καὶ ἐξ ὑποδείγματος πιστώσασθαι τὸν λόγον. πάλιν τὸ Τρύφων ἀναγινώσκει ποιεῖ λόγον, οὐ μὴν τὸ Τρύφων καλῶς, εἰ μὴ προσθείημεν τὸ ῥῆμα. ᾧ 25
λόγῳ καὶ ἐπὶ τοῦ ἄρθρου τὸ κατὰ ἀρσενικὴν προφορὰν ὁ πάλιν οὐ ποιεῖ λόγον ἐν τῷ ὁ ἀναγινώσκει, εἰ μὴ προσλάβοι ὄνομα ἐφ' ὃ φέρεται, τὸ ὁ Τρύφων ἀναγινώσκει. διὸ καὶ ἐν τοῖς ὑποτακτικοῖς ἄρθροις κοινὸν λαμβάνεται τὸ προκείμενον ὄνομα, κατὰ ἀναφορὰν πα- 30
ριστάμενον, ἐπεὶ παρεπόμενόν ἐστι τοῖς ὑποτακτικοῖς τῶν ἄρθρων μετὰ ῥήματος ἀποτελεῖν διάνοιαν, ἄνθρωπος παρεγένετο ᾧ ἐλάλησα, κοινοῦ παραλαμβα-

νομένου τοῦ ἄνθρωπος. εἰ γὰρ μὴ προτεθείη ὄνομα τοῦ τοιούτου ἄρθρου, οὐδ' ἂν ἔτι τὸ ἄρθρον ὡς ἄρθρον ἀκούοιτο, ὡς δὲ ἀόριστον μόριον, εἰ τῇδε ἀποφαινόμεθα, ὃς μεθύει, βλάπτεται· ἴσον γάρ ἐστι τῷ εἴ τις μεθύει, βλάπτεται. τὸν τοιοῦτον λόγον ἀκριβέ- 5
στερον ἐν τῷ περὶ συντάξεως ἐκτεθείμεθα. Καὶ τὸ καταφατικὸν δέ, ἰδίᾳ λεγόμενον, πάλιν πρὸς ἀπαρτισμὸν τοῦ ῥήματος τοῦ λεγομένου παραλαμβάνεται· πρὸς γὰρ τὴν ἔγραψας φωνὴν φαμὲν ναί ἢ οὔ. Ἔτι φαμὲν οὕτως, καλῶς ὁ ἄνθρωπος γράφει, καὶ ἔστι κατάλ- 10
ληλος ὁ λόγος· ἕκαστον γὰρ τῶν μορίων συμφέρεται τῷ ἰδίῳ συντάγματι. ἀλλ' ὁπηνίκα τὸ ἄρθρον ἐμπεριλαμβάνει τὸ ἐπίῤῥημα, οὐκέτι τὸ κατάλληλον σώζεται, ὃ καλῶς ἄνθρωπος γράφει, διὰ τὸ τῆς οἰκείότητος ἀπεσπάσθαι τὸ μόριον· μεταξὺ γὰρ γινόμενον τὸ ἐπίῤῥη- 15
μα δύο πτωτικῶν, λέγω τοῦ ἄρθρου καὶ τοῦ ὀνόματος, οὐκ ἔχει τὴν καταλληλότητα τὴν ἐπὶ τὸ ῥῆμα, ὡςανεὶ ὑπὸ τοῦ γένους συνεχόμενον. καὶ ἔνθεν οὔτε ἐπὶ τὸ ὄνομα δύναται ἐνεχθῆναι, ὅτι ἀλλοτρία ἡ σύνταξις, οὔτε ἐπὶ τὸ ῥῆμα, καθὼς προειρήκαμεν, συνεχόμενον ὑπὸ 20
τοῦ γένους. μεταξὺ οὖν τούτων οὐκ ἄλλο τι πέπτωκε[ν ἢ μόνη ἡ μετοχή,] δυναμένη καὶ τὸ γένος μηνῦσαι καὶ τὸ π . . . . ὅπερ ἐπιζητεῖ τὸ ἐπίῤῥημα. καὶ ἐπί γε πάλιν τῆς τοιαύτης συντάξεως οὐ γίνεται τὸ κατάλληλον ἄλλου του ἐπιφερομένου ἢ μόνης μετοχῆς, μεθ' ἧς 25
πάλιν καὶ ῥῆμα συγγενήσεται ὑπὲρ τοῦ συγκλεισθῆναι τὸν λόγον. ἐφ' ὃ οὐκέτι τὸ προειρημένον ἐπίῤῥημα ἐπιφέρεται. διὸ καὶ προείπομεν, ὡς καὶ ἐπὶ μετοχὰς φέρεται τὰ ἐπιῤῥήματα, τὸ δὲ ὑπόδειγμα τοῦ λόγου τοιοῦτόν ἐστιν, ὃ καλῶς ἄνθρωπος γράψας ἐτιμήθη. πά- 30
λιν ἡ τοιαύτη σύνταξις διὰ πολλῶν παραθέσεων ἐν τῷ περὶ συντάξεως ἀποδίδοται. Καὶ τοσαῦτα μὲν περὶ τοῦ ὅτι κατηγορεῖ τῶν ῥημάτων τὸ ἐπίῤῥημα.

Φαμὲν δὲ ἢ καθολικῶς συνεῖναι τοῖς ῥήμασι τὰ ἐπιῤῥήματα ἢ μερικῶς, ἐπεὶ τινὰ μὲν σύμοιστά ἐστι, σημασίας οὐκ ἀντικειμένης, ἁπάσαις ταῖς ἐγκλίσεσιν, ἅπασι τοῖς προσώποις, ὡς ἕνεκα ὑποδείγματος τὸ καλῶς ἔστι παραλαμβάνειν, τὸ οὕτως, ἄλλα πάμπολλα, τῆς φράσεως, 5 ὡς ἔφαμεν, οὐκ ἀντιπιπτούσης, καθότι πάλιν καὶ ἐπὶ τῶν ὀνομάτων οἷόν τέ ἐστι παραδέξασθαί τινα τῶν ἐπιθετικῶν δυνάμενα συντείνειν ἐπὶ πάντα τὰ ὀνόματα, τινὰ δὲ πάλιν μερικωτέραν ἔχει τὴν σύνταξιν. τό τε γὰρ μέλας ἢ λευκός ἐπὶ πᾶν σῶμα δύναται συντείνειν, οὐ 10 μὴν τὸ λόγιος ἢ συνετός, ὅτι μὴ ἐπὶ τῶν δυναμένων ἀναδέξασθαι σύνεσιν ἢ λόγον, ἅπερ ἂν εἴη λογικὰ ζῶα. τὸν αὐτὸν δὴ τρόπον καί τινα τῶν ἐπιῤῥημάτων εἴρηται τῆς συντάξεως ἕνεκα τοῦ σημαινομένου. τὸ ἄγε παρακελευστικὸν οὐ τετάξεται σὺν ὁριστικῇ προφορᾷ, ἀλλ' οὐ- 15 δὲ εὐκτικῇ ἢ ἄλλῃ τινὶ ἢ μόνῃ τῇ προστακτικῇ, οὕτως ὥστε καὶ τὰ ἀμφίβολα τῶν ῥημάτων τῇ ἰδιότητι τῆς συντάξεως ἀπολύεσθαι τῆς ἀμφιβολίας διὰ τῆς ἰδίας αὐτοῦ παραθέσεως. τὸ λέγετε ὁριστικόν, ἀλλ' οὐ τὸ ἄγε λέγετε, ἄγε τύπτεσθε. τὰ χρονικὰ ἐπιῤῥήματα συμ- 20 φωνοῦσαν τοῖς τοῦ ῥήματος χρόνοις ποιεῖται σύνταξιν. οἷον τὸ ἐχθές παρωχημένῳ συντετάξεται, ἐχθὲς ἔγραφον, ἐχθὲς ἔγραψα. τὸ γὰρ αὔριον ἀντικείμενον τῷ παρωχημένῳ, οὐ συντετάξεται ἢ πάλιν τοῖς ὁμολογοῦσι τὰ [μὴ] παρωχῆσθαι, αὔριον γράφω, αὔριον γράψω, 25 αὔριον ἀναγινώσκω. τὰ μέντοι οὐ διορίζοντα τὸν χρόνον, κοινὴν δὲ παράτασιν δηλοῦντα τοῦ παντὸς χρόνου, συμπαραλαμβάνεται κατὰ πάντα χρόνον, ὡς ἔχει τὰ νῦν ἐφρόνησα, νῦν φρονῶ, νῦν φρονήσω· ἤδη ἔγραψα, ἤδη γράφω, ἤδη γράψω. ὁ αὐτὸς λόγος 30 συντεινέτω ἐπὶ πάντων τῶν τοιούτων. Ἔστιν οὖν πάντα τὰ συγκεχυμένα κατὰ χρόνον ἔν τε μετοχαῖς ἔν τε ῥήμασι διὰ τῆς τούτων παραθέσεως ἀπαλλάξαι τῆς ἀμφι-

βολίας. τὸ λέγων μετάληψίς ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ, τὸ λέγεν ἀπαρέμφατον. ἀλλ' ἡνίκα μέν φαμεν ἐχθὲς λέγων Δίων ἥμαρτεν ἢ ἐχθὲς Δίων λέγων ἐτιμήθη, τὸ τηνικαῦτα τὸ λέγων μόνον παρατατικοῦ ἐστίν. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ λέγειν· τὸ γὰρ μέλλω λέγειν αὔριον παράτασιν οὐ δηλώσει, τὸν δὲ ἐνεστῶτα χρόνον, ὃς συντάσσεται τῷ αὔριον, αὔριον λέγει Τρύφων. πάλιν ἡ αὐτὴ ἔννοια ἐπὶ τὰ ὅμοια διηκέτω. Ἡ οὔ ἀπόφασις, μαχομένη τῇ ναί καταφάσει, τὰ ἐν καταφάσει ῥήματα ἀναιρεῖ, ἅπερ ἐστὶν ὁριστικά, ἔχοντα ἐν αὐτοῖς τὴν κατάφασιν, ἀνθ' ἧς καὶ πολλάκις παραλαμβάνεται, οὐ γράφω, οὐ ποιῶ· ἡ δὲ μή ἀπαγόρευσις τὸ ἐν προστάξει πάλιν καταφατικὸν ἀναιρεῖ, γράφε - μὴ γράφε, λέγε - μὴ λέγε. ἔστι δὲ ὅπου καὶ τὸ μή, παραλαμβανόμενον οὐ μόνον κατὰ ἀπαγόρευσιν ἀλλὰ καὶ κατὰ διαπόρησιν, τοῖς κατ' ἐρώτησιν προοιστοῖς συντάσσεται, μὴ ἔγραψας; μὴ ἐλάλησας; Καὶ ἐν παρῳχημένων δὲ διαφοραῖς πάλιν τὰ ἐπὶ παρῳχημένου χρόνου ἐπιῤῥήματα παραλαμβανόμενα οὐχ οἷόντε διήκειν ἐπὶ ἐνεστῶτος, ὡς ἐπὶ τοῦ πάλαι ἔστιν ἐπινοῆσαι ἢ πρώην. οἷόν τε μὲν γὰρ ἐπὶ τοῦ ὑπερσυντελικοῦ τοῦτο φάναι, πάλαι ἐγεγράφειν, πάλαι ἠριστήκειν, οὐ μὴν ἔτι ἐπὶ τοῦ παρακειμένου, ἐπεὶ τὸ ἅμα νοήματι ἠνυσμένον δὲ αὐτοῦ νοεῖται, τὸ δὲ πάλαι ἠνυσμένης πράξεώς ἐστι παραστατικόν. ὁ γοῦν καλούμενος ἀόριστος, προσλαβὼν τὸ πάλαι, ὑπερσυντελικὸς μᾶλλον ἀκούεται. ἐμπεριέχει γὰρ τὸ παρῳχημένον τοῦ παρακειμένου καὶ τοῦ ὑπερσυντελικοῦ, ὡς γε καὶ ἐπὶ ὀνόματος ἔστιν ἐπινοῆσαι κοινότητα ἀρσενικοῦ καὶ θηλυκοῦ. ἔνθεν καὶ τῆς ὀνομασίας ἔτυχε, κατὰ ἀπόφασιν εἰρημένος τοῦ μὴ ὁρίζειν τὸν παρῳχημένον. διὸ καὶ κατὰ ἀπόφασιν τῶν προειρημένων δύο χρόνων ἐθεματίσθη. ᾧ λόγῳ καὶ τὸ σώφρων τὸ ὁ προσλαβὸν νοεῖται μόνως ἀρσενικόν. Εἰς τὴν αὐτὴν ἔννοιαν

[illegible]

[illegible] 5

[illegible]

[illegible] 10

[illegible]

[illegible] 15

[illegible]

[illegible] 20

[illegible] 25

[illegible]

ἐκ τῆς πολλῆς χρήσεως, νεφεληγερέτα Ζεύς, γλαυκῶπις Ἀθήνη, ποδαρκὴς δῖος Ἀχιλλεύς· ἀλλὰ καὶ δὶ ἀποδείξεως ἔστι τὸ τοιοῦτον παραστῆσαι. ἰδοὺ γὰρ τὸ ἄρθρον, ὅτε μὲν μόνον ἐστὶ τὸ ὄνομα ἢ τὸ προσηγορικὸν ἢ τὸ κύριον, ἀκωλύτως πρόσεισιν, ὁ ἄνθρωπος διαλέγεται, ὁ ἵππος τρέχει· ὁπηνίκα μέντοι τὸ ἐπιθετικὸν σύνεστιν, οὐκέτι πρόσεισιν. οὐ γὰρ φήσομεν ὁ ἄνθρωπος [σεμνὸς διαλέγεται, ὁ ἵππος] λευκὸς τρέχει. εἰ δὲ ἀποκατασταίη εἰς τὸν δέοντα τόπον ἡ τοῦ ἐπιθετικοῦ σύνταξις, τὸ τηνικαῦτα ὁ λόγος καθίσταται, ὁ σεμνὸς ἄνθρωπος διαλέγεται, ὁ λευκὸς ἵππος τρέχει. ἔστι δὲ καὶ ἐπὶ τῶν ἐπιῤῥημάτων, εἰ καὶ μὴ δὶ ἄρθρου ἤ τινος τοιούτου ἔστιν ἀποδεῖξαι, ἀλλ' οὖν γε ἐκ τῆς κατὰ πεῦσιν ἐπιῤῥηματικῆς συντάξεως. δεόμενοι γὰρ τῶν πράξεών φαμεν οὕτως, πῶς ἔγραψας; οὐκ ἀνάπαλιν ἔγραψας πῶς; καὶ ἔτι ἐπὶ τοῦ ποῦ ἀπῆλθες; [οὐ μὴν] ἀπῆλθες ποῦ; Εἰ δέ τις εἴποι· ἀλλ' ἰδοὺ κατὰ τὴν ἀόριστον προφορὰν ὑποτάσσεται τὰ ἐπιῤῥήματα, ἔγραψέ πως, ἀπῆλθέ που, ἴστω ὅτι διὰ φυσικώτερον λόγον τὸ τοιοῦτον ὑπερεβιβάσθη. τὰ γὰρ ἀοριστούμενα ἐγκλιτικά ἐστι, τὰ δὲ ἐγκλιτικά, ἵνα ἐγκλινόμενα γένηται, ὑποτακτικά ἐστιν. ἐπεκράτησεν ἄρα ἡ φωνή, ἐγκλιτικὴ γενομένη, τῆς ἐπιῤῥηματικῆς συντάξεως.

Καὶ τοσαῦτα μὲν περὶ τῆς ἐννοίας τοῦ ἐπιῤῥήματος. Ἐπεὶ δὲ καί τινα ἐν ἀμφιβόλῳ καθέστηκε τοῦ εἰς τὰ ἐπιῤῥήματα παραλαμβάνεσθαι ἢ μή, ἀκολούθως καὶ περὶ τούτων σκεπτέον.

Οὔ φασι τὸ ΟΙΜΟΙ ἢ ΩΜΟΙ ἓν εἶναι, ἐκ δὲ ἀντωνυμικοῦ τοῦ μοί καὶ τοῦ οἴ ἢ ὦ συντάσσεσθαι, πειρώμενοι πρῶτον μὲν ἐκ τῆς φωνῆς, ὡς ἔστιν εἰς μοι περατούμενον, καὶ καθότι διακρίνει πρόσωπον τὸ πρῶτον, ὅπερ ἴδιον ἀντωνυμιῶν, εἴγε, φασί, τὸ μὲν ἐπίῤῥημα, μένον καθ' ἕνα σχηματισμόν, κατὰ παντὸς προσώπου εἴει-

σι, τὸ δὲ ἐν διακρίσει προσώπου πρώτου ἢ ἐν ῥήμασίν ἐστιν ἢ ἐν ἀντωνυμίαις· καὶ εἰ μὴ ῥῆμα τὸ ὤμοι, σαφὲς ὅτι ἀντωνυμία. πρὸς οἷς, ὅτι καί, ὡς ἔφαμεν, τὸ πλῆρες τῆς φωνῆς ἀκούουσιν ὦ ἐμοί, ὡς ἔχει παρὰ Παρθενίῳ

ὦ ἐμὲ τὴν τὰ περισσά· 5

καὶ ἐπίμεμπτον ἡγοῦνται τὸ ὤμοι ἐγώ, προβιβάζονταί τε λέγοντες καὶ ἐν τρίτῳ εἶναι τὸ ὠοιοί. Ἀλλ' ἔστι πρὸς τούτους τοὺς λόγους φάναι. διότι μὲν οὖν τὰ ἐπιῤῥήματα ταῦτα οὐ μέτεισι κατὰ πᾶν πρόσωπον, σαφὲς γενήσεται, καθὸ τὰ τοιαῦτα τῶν ἐπιφθεγμάτων, ἐξ αὐτοπαθείας ἀναπεμ- 10 πόμενα, τὴν περὶ τὸν λέγοντα μόνον πεῖσιν ἀφηγεῖται, καὶ ἔνθεν οὐκ ἐπικοινωνεῖ δευτέροις καὶ τρίτοις. ἔφαμεν δέ, ὅτι οὐδὲ ἐπὶ ῥῆμα φέρεται. καὶ τὸ τοιοῦτον πάλιν ἐπελύετο, ὡς πᾶν πάθος γίνεται ἔκ τινος διαθέσεως, ἴδιον δὲ τῶν ῥημάτων διάθεσις, καὶ ἦν κατὰ τοῦτό γε πά- 15 λιν ἐπίῤῥημα τὸ ὤμοι, ἐπεὶ διάθεσιν τὴν ἐκ ῥήματος ἀναπεμπομένην εἶχε. καὶ ὡς μὲν οὐ δίεισι κατὰ πᾶν πρόσωπον, σαφές. Οὐδέποτε ἀντωνυμίαι διπλασιάζονται, τὰ δὲ σχετλιαστικὰ τῶν ἐπιῤῥημάτων· τοῦ γὰρ πάθους ἐπιμένοντος ἐπεκτείνεται, αἴ αἴ αἴ, οἴ οἴ οἴ. ἐπὶ μὲν οὖν 20 θρήνου αἰαί, οἰοί. τοιοῦτον δέ ἐστι καὶ τὸ οἴ μοί μοι. Ἡ οἴ δίφθογγος μακρά ἐστιν ἐν ἀπτώτοις, ὡς ἐπεδείχθη ἐν τῷ περὶ χρόνων, καὶ διὰ τοῦτο ἐπίῤῥημα μὲν τὸ ὤμοι ὂν παροξύνεται, ὄνομα δὲ προπερισπᾶται. εἴπερ ἄρα δύο μέρη λόγου τὸ ὤμοι ἦν, καὶ πάντως ἡ τοῦ ὦ περισπω- 25 μένη ἐσώζετο, εἴγε ἀμετάθετοι αἱ περισπώμεναι, κἂν ἐγκλιτικὸν ἐπιφέρηται κἂν ἀνέγκλιτον. ὡς ἂν οὖν ἡνωμένου τοῦ σχήματος ἡ ὀξεῖα πρὸ τέλους ἐστὶν ἐν τῷ ὤμοι. Πῶς δ' οὐχὶ καὶ γελοῖον ἐν τῷ ὠοιοί ἐκ τρίτου ἀντωνυμικοῦ παρακεῖσθαι; πῶς πάλιν δεδιπλασίασται; 30 ποῦ ἡ δασεῖα τῆς ἀντωνυμίας, ἢ ποῦ ἡ περισπωμένη; ἡνίκα γὰρ οὐκ ἐγκλίνεται, περισπᾶται. καθάπερ οὖν τῷ πόποι τὸ παπαί παράκειται καὶ τῷ ὀτοτοί τὸ ἀταταί,

οὕτως καὶ τῷ ὠοιοί τὸ ὠαιαί, ὅπερ συναλειφθὲν καὶ ἐν βαρείᾳ τάσει γινόμενον παρ' Αἰολεῦσίν ἐστιν ᾤαι· διότι καὶ τὸ ῑ πρόσκειται, κράσεως γενομένης καὶ προσλήψεως. Οὐδέποτε ἀπ' ἀντωνυμιῶν τῶν κατὰ τὸ πρῶτον ἢ δεύτερον ῥήματα παράγεται — προστέθεικα δὲ δεύτερα, ἐπεὶ καὶ τὸ ἀπὸ τοῦ τρίτου παραγόμενον σύναρθρόν ἐστι καὶ ταύτῃ ἄλογον, λέγω τὸ σφετερίζω· — ἀπὸ μέντοι ἐπιῤῥημάτων, ὡς παρὰ τὸ αἰαί τὸ αἰάζω καὶ λίαν λιάζῳ. τάχα δὲ καὶ παρὰ τὸ οἰοί τὸ οἴζω ἐστί, καὶ καθ' ἑτέραν παραγωγὴν καὶ διαίρεσιν τῆς διφθόγγου τὸ οἴζω 1
οἰζύω. ἔστι δὲ καὶ παρὰ τὸ οἴμοι οἰμώζειν, ὅπερ ἴδιον ἐπιῤῥημάτων.

Καὶ τὸ ΧΡΗ δὲ καὶ τὸ ΔΕΙ ἀκριβοῦς ἐπιστάσεως δεῖται, ἐπεὶ τὸ πλέον γε πρὸς ἁπάντων ὑπελήφθη ἐπιῤῥήματα. Καὶ ἔστι γε ἀφορμὴ πλείστη ὑπὲρ τοῦ κατατάσσεσθαι αὐτὰ εἰς τὸν τῶν ἐπιῤῥημάτων ἀριθμόν. Ἐκ μὲν οὖν συντάξεως γένοιτο ἂν ἐπιῤῥήματα τῇδε, ὅτι ἐπίκειται τὰ ἐπιῤῥήματα τοῖς ῥήμασιν, ὡς ἐν τοῖς προκειμένοις ἀπεδείξαμεν, καὶ ὅτι μετὰ πτωτικῆς συντάξεως καὶ τῶν συνόντων ῥημάτων λόγον ἀποτελεῖ, πῇ μὲν προτασσόμενον κατὰ 2
παράθεσον, πῇ δὲ ὑποτασσόμενον, ὀρθῶς μεταμέλει Διονυσίῳ, [μεταμέλει ὀρθῶς Διονυσίῳ] καλῶς ἀναγινώσκει Δίων, ἀναγινώσκει καλῶς Δίων. τοιαῦτα δὲ καὶ τὰ προκείμενα ἐν συντάξει τῇ κατὰ τὰ ἀπαρέμφατα, Ἀπολλώνιον χρὴ γράφειν, Διονύσιον χρὴ περιπατεῖν, Διονύσιον δεῖ διαλέγεσθαι. καὶ μερικώτερόν γε, καθότι καὶ τὸ ἄγε ἐπίῤῥημα τοῖς προστακτικοῖς καὶ τὸ εἴθε τοῖς εὐκτικοῖς. Ἔτι τὰ ἐν προσώποις ἀντωνυμικοῖς [καθ' ἕνα] σχηματισμὸν ἐκφερόμενα κατὰ τὰ τρία πρόσωπα, ἐπιῤῥήματά ἐστιν. ἡ γὰρ 3
ἐν ῥήμασι σύνταξις μετὰ ἀπαρεμφάτου συσχηματίζει κατὰ τὸ πρῶτον καὶ δεύτερον καὶ ἔτι τὸ τρίτον, βούλομαι ἐγὼ γράφειν, βούλῃ σὺ γράφειν, βούλε-

ται ἐκεῖνος γράφειν· θέλω ἐγὼ διαλέγεσθαι, θέλεις σὺ διαλέγεσθαι, θέλει ἐκεῖνος διαλέγεσθαι· μέλω ἐγὼ Σωκράτει, μέλεις σὺ Σωκράτει, μέλει ἐκεῖνος Σωκράτει· τύπτομαι ἐγὼ ὑπὸ Διογένους, τύπτῃ σὺ ὑπὸ Διογένους, τύπτεται ἐκεῖνος ὑπὸ Διογένους. τὰ δὲ ἐπιῤῥήματα καθ᾽ ἕνα σχηματισμόν, ἑλληνιστὶ λέγω ἐγὼ, ἑλληνιστὶ λέγεις σύ, ἑλληνιστὶ λέγει ἐκεῖνος. καὶ εἰ καθ᾽ ἕνα τὸν σχηματισμὸν ἤδη φαμὲν ἐμὲ δεῖ γράφειν, σὲ δεῖ γράφειν, ἐκεῖνον δεῖ γράφειν· ἐμὲ χρὴ γράφειν, σὲ χρὴ γράφειν, ἐκεῖνον χρὴ γράφειν, σαφὲς ὅτι καὶ κατὰ τὴν τοιαύτην ἔννοιαν ἐπιῤῥήματά ἐστιν. Ἔτι ἐγκλίσεις διάφοροι κατὰ τὸ αὐτὸ οὐ παραλαμβάνονται, ὅτε μὴ τὰ ῥήματα προαιρετικά ἐστιν, οἷς παρακολουθεῖ τὸ μετὰ ἀπαρεμφάτων συντάσσεσθαι, βούλομαι γράφειν, θέλω ἀναγινώσκειν, βούλομαι φιλολογεῖν. ἄλλη γὰρ ἔννοια ῥημάτων οὐκ εὐπαράδεκτος· οὐ γάρ φαμεν γράφω τύπτεσθαι ἤ τι τῶν οὕτως λεγομένων. τὰ δὴ οὖν προκείμενα εἰ μὲν ῥήματά ἐστιν, ὀφείλει προαιρετικὰ εἶναι· εἰ δὲ οὐ προαιρετικά, οὐ ῥήματα, συντασσόμενα ἀπαρεμφάτοις.

Ὅτι δὲ ῥήματά ἐστι τὰ προκείμενα μόρια, σαφὲς ἐντεῦθεν. Πᾶν ἀπαρέμφατον ὄνομά ἐστι πράγματος, καὶ εἰ ἔστιν εἰπεῖν, αὐτὸ τὸ γενικώτατον ῥῆμα τὸ παρυφιστάμενον, τὸ οὐκ ἐγγινόμενον ἐν προσώποις, τουτέστιν ὃ δηλοῖ τὸ ἀπαρέμφατον. ὅθεν καὶ κατὰ τοὺς δέοντας λόγους ἄρθρου ἐστὶ προσδεκτικά, ἐπεὶ ἅπαξ παρυφίσταται ὀνοματικῇ κατηγορίᾳ τοῦ πράγματος. κἀκεῖνο δέ ἐστιν ἀληθές, ὡς τὰ ῥήματα θέλει συντάσσεσθαι τοῖς πτωτικοῖς ἢ ὡς πτωτικοῖς. καὶ δὴ τὰ προκείμενα τῶν μορίων, ῥήματα καθεστῶτα, σύνταξιν ποιεῖται τὴν εἰς τὰ ἀπαρέμφατα ὡς πτωτικά, ὅτε λέγομεν οὕτως, δεῖ περιπατεῖν· σημαίνει γὰρ τὸ τοιοῦτον,

λείπει ὁ περίπατος. διὸ καὶ δοκεῖ μοι διὰ τοῦτο ἐπ' αἰτιατικὴν φέρεσθαι ὁ σχηματισμός. ὅσα γὰρ ἐπ' εὐθείας νοεῖται μετὰ ῥήματος τοῦ συνόντος, ταῦτα τὴν ἐνέργειαν μετατίθησιν ἐπὶ τὴν αἰτιατικήν, τύπτει Διονύσιος Ἀπολλώνιον· ἔστι γὰρ ἡ διάθεσις ἀπὸ τοῦ τύπτειν ἐπ' αἰτιατικὴν μετιοῦσα τὴν Ἀπολλώνιον. κἂν ἐν δοτικῇ δέ ποτε ὁ σχηματισμὸς γένηται ἢ γενικῇ, πάλιν ἔστιν ἐπινοῆσαι τὴν κατ' αἰτιατικὴν ἔσωθέν τινα δρᾶσιν γινομένην, ὡς ἔχει τὸ Διονύσιος τέμνει Ἀπολλωνίῳ· τοιοῦτον γάρ τί ἐστι, τέμνει τι εἰς περιποίησιν Ἀπολλωνίου. καὶ ἡ διάθεσις οὖν ἡ τοῦ δεῖ ἐλλειπτικὴ μετὰ τοῦ ἀπαρεμφάτου εὐθείᾳ συντασσομένη, μέτεισιν ἐπὶ τὴν αἰτιατικήν, δεῖ γράφειν Ἀπολλώνιον, ἵνα ᾖ τι τοιοῦτον, λείπει τὸ πρᾶγμα τὸ ἐκ τοῦ γράφειν Ἀπολλώνιον. ὅπερ ὁ βίος ὡς ἐπιτατικὸν μᾶλλον ἀνεδέξατο, ὅπερ οὐκ ἦν, ἀλλὰ ἔλλειψις τοῦ πράγματος, ὃ καὶ δέον ἦν ποιεῖν· καὶ ἐντεῦθεν ἡ δόκησις τῆς ἐπιτάσεως. ἔστι γοῦν καὶ τὸ ῥῆμα ὅτε φθάνει ποτὲ ἐπὶ τὴν εὐθεῖαν τοῦ ὀνόματος, καὶ τὸ τηνικαῦτα καταλαβέσθαι τὸ ἀπαρέμφατον, ὡς οὐκ ἔστιν εὐθείας, ἀντιμετειλημμένον δὲ εἰς αἰτιατικήν. καὶ δὶ ἑτέρου δὲ ὑποδείγματος σαφὲς γινέσθω. ἀπολείπει Ἀπολλώνιος τὸν περίπατον. ἀλλὰ καὶ ὁ περίπατος ἐν τῷ ῥήματι γινόμενος αἰτιατικὴν μεταποιεῖ τὴν Ἀπολλώνιον, ὡς εἰ καὶ αὐτὸ τὸ δεῖ ἀντιμεταλάβοι ἀντὶ τοῦ λείπειν, δεῖ Ἀπολλώνιος τὸν περίπατον, ὡς εἰ καὶ ἔλεγεν οὕτως, δέεται τοῦ περιπάτου Ἀπολλώνιος, καὶ ἀνάπαλιν. ἔστιν οὖν ὅτε μὲν ἐν εὐθείᾳ τὸ ἀπαρέμφατον, τὸ συνὸν πτωτικὸν πάλιν ἐν αἰτιατικῇ οὕτως, ἢ ἀνάπαλιν, δεῖ Ἀπολλώνιος τὸ γράφειν, ἐν οἷς αἰτιατικῆς γίνεται τὸ γράφειν. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ χρή, συνωνυμοῦντος τῷ δεῖ.

Ἀλλὰ πῶς ἄκλιτον, εἰ ῥῆμα; πῶς οὐ συσχηματίζεται

ται τοῖς προσώποις; Ὅτι ἡ γινομένη αὐτοῦ σύνταξις οὐκ ἐπὶ τὰ πρόσωπά ἐστιν, ἐπὶ δὲ τὸ πρὸς ᾧ ἀπαρέμφατον, ὅ ἐστι μονοπρόσωπον, καὶ ἔνθεν μονοσχημάτιστον τὸ ἐμὲ δεῖ γράφειν. τὸ γὰρ δεῖ ἐπὶ τὸ γράφειν φέρεται, ὅπερ οὐ προσώπου ἐστὶ δεκτικόν. καὶ ἔνθεν, συντεῖνον εἰς αὐτό, τὸ γράφειν καὶ τὸν ἕνα σχηματισμὸν ἀναδέχεται. Πρόδηλον δὲ γινέσθω καὶ ἐκ ῥήματος τοῦ λείπει. οὐ γὰρ ἔστιν ὅστις ὀλίγον διστάσειεν, ὅτι τὸ λείπει ῥῆμά ἐστι· καὶ οὐ παρὰ τοῦτο οὐχὶ ῥῆμα γενήσεται, ἐὰν μονοσχημάτιστον γένηται μετὰ τῆς τοῦ ἀπαρεμφάτου συντάξεως. ἔχει γὰρ τῇδε τὰ τῆς συντάξεως, λείπει ἐμὲ τὸ γράφειν, λείπει σὲ τὸ γράφειν, λείπει ἐκεῖνον τὸ γράφειν. καὶ ἐπεὶ οὐκέτι μεταπεποίηται πρὸς τὸ πρῶτον ἢ δεύτερον ἢ τρίτον, οὐχὶ πάντως οὐ ῥῆμα. πάλιν γὰρ καθ' ἕνα σχηματισμόν ἐστι διὰ τὴν σύνταξιν τὴν τοῦ ἀπαρεμφάτου, ὅπερ τρίτον ὂν ἀμίριστον ἦν κατὰ τὴν προσωποποιίαν. καὶ σαφές, ὅτι κατὰ τὴν τοιαύτην σύνταξιν καὶ τὸ γράφειν ὀρθῆς ἔσται πτώσεως διὰ τὸ λείπει. Καὶ ὡς μὲν καθ' ἕνα σχηματισμὸν ἐκφέρεται τὸ χρή καὶ δεῖ, ἐν διαφόροις προσώποις ἐγγινόμενον, ἀπεδείχθη.

Ἔφαμεν δὲ καὶ τὰ ἐπιῤῥήματα συνηθέστερον πρὸς τὰς ἐγκλίσεις ἐπάγεσθαι, τὸ ἄγε καὶ τὸ εἴθε. καὶ κατὰ τὸ τοιοῦτον τὸ χρή καὶ τὸ δεῖ ὑπελαμβάνοντο ἐπιῤῥήματα. Ἀλλὰ καὶ τοῦτο ἀπεδείχθη, ἐν οἷς ψυχικῆς παρεμφάσεως ἦν ἐμφατικὰ τὰ ἀπαρέμφατα, οὐδὲ ῥήματα ἐγκλίσεως μεμοιραμένα, ὀνόματα δὲ τῶν πραγμάτων. τοῖς δὲ ὀνόμασι μᾶλλον τὰ ῥήματα σύνοιστά ἐστιν, ὡς ἐν ταῖς ἐγκλίσεσι τῶν ῥημάτων τὰ ἐπιῤῥήματα. τὸ δὴ λέγοι καὶ λέγε ἐγκλίσεις ῥημάτων εἰσί, καὶ διὰ τοῦτο αἱ ἐοικυῖαι ἐπιῤῥηματικαὶ συντάξεις συμφέρονται. καὶ κατὰ τὴν τοιαύτην ἄρα σύνταξιν δέδεικται, ὅτι μᾶλλον ῥήματά ἐστι, συντασσόμενα ὡς ὀνόμασι. ταύτῃ γὰρ καὶ τὰ προαιρετικὰ τῶν ῥημάτων συντάσσεται τοῖς ἀπαρεμφάτοις, καθὸ

προαίρεσιν δηλοῦντα ἐλλέλοιπε τῷ πράγματι. τὸ γὰρ θέλω καὶ τὰ ὅμοια ῥήματά ἐστιν ἐλλείποντα πράγματι, ὅθεν τὸ λεῖπον τοῦ πράγματος κατὰ τὴν ἰδίαν ὀνομασίαν συντασσόμενον, ἀπαρεμφάτῳ πάλιν προφορᾷ συν-
τάσσεται, θέλω γράφειν, προαιροῦμαι ἀναγι- 5
νώσκειν, ὡς προαιροῦμαι τὴν ἀνάγνωσιν. καὶ σαφές ἐστι πάλιν, ὅτι καὶ κατὰ τοῦτο δείκνυται τὰ ἀπαρέμφατα ὀνοματικῆς ἐχόμενα συντάξεως, τῷ λείποντι πράγματι τὴν ὀνομασίαν προσδιδόντα, βούλομαι γράφειν,
κἂν μετὰ ἄρθρου, προηρούμην τὸ φιλολογεῖν ἤπερ 10
τὸ ῥαθυμεῖν. τὴν τοιαύτην σύνταξιν ἀκριβέστερον ἐν τῷ περὶ συντάξεως ἀποδώσομεν. Καὶ κατὰ τοῦτο ἄρα ἐδείχθη, ὡς οὐκ ἐπιῥῆματικῆς συντάξεως ἔχεται τὰ προκείμενα, ῥηματικῆς δέ.

Ἴδιον ῥημάτων ἐστὶ τὸ ἐν παρωχημένῃ προφορᾷ, εἰ 15
ἀπὸ συμφώνων ἄρχοιτο, τὸ ε̄ προσλαμβάνειν ἔξωθεν. καὶ οὐκ ἄλλῳ τῳ μέρει λόγου τοῦτο παρεπόμενον ἐστι. πῶς οὖν κἂν κατ' ὀλίγον τις διστάσειε τὸ δεῖ ὅτι ῥῆμά ἐστι, καὶ οὕτως ὥστε τὸ συγκεχυμένον τῶν χρόνων διαστέλλειν; ἐνεστῶτος γὰρ χρόνου γενήσεται τὸ δεῖ γρά- 20
φειν, λέγω τὸ γράφειν· παρατατικοῦ δὲ τὸ ἔδει γράφειν, προσλαβὸν ἔξωθεν τὸ ε̄, ὅπερ ἴδιον ῥήματος, ὡς εἰ καὶ τὸ θέλω γράφειν εἴη ἐνεστῶτος διὰ τὸ θέλω, παρατατικοῦ δὲ ἐν τῷ ἔθελον γράφειν. τὸ δὲ αὐτὸ παρεπόμενόν ἐστι καὶ τῷ χρή. 25

Καὶ κατὰ τὸ λῆγον δὲ ῥῆμά ἐστι τὸ δεῖ, εἴγε αἱ τοιαῦται προφοραὶ ἐν συναιρέσει εἰσί, πνέει πνεῖ, χέει χεῖ, ῥέει ῥεῖ. καὶ οὕτως δέει καὶ δεῖ καὶ ἔδει. οὐδὲ γὰρ ἔστιν ἐπινοῆσαι ἐπίῥῆμα εἰς ει λῆγον ἐν περι- 30
σπασμῷ, κατὰ τὸ κοινὸν ἔθος, διὰ τὸ παρὰ Δωριεῦσι πεῖ γὰρ ἁ ἄσφαλτος καὶ εἶ τὰ τῶν χοιραγχᾶν. τὸ μὲν γὰρ σὺν τῷ ν̄ λεγόμενον πάλιν ἑτέρας ἐννοίας ἐστί, λέγω τὸ δεῖν, ἐκ μετοχικοῦ τοῦ δέον συνῃρημένον

Ἀττικώτερον, καθὸ καὶ τὸ πλέον πλεῖν φασίν. Ἡ μέν-
τοι χρή φωνὴ τῇδε πάλιν καταστήσεται. τὸ δέω καὶ τὸ
χρέω συνωνυμεῖ, οὐκ ἀγνοοῦντός μου ὅτι καὶ τὸ δέω
πλείονα σημαίνει καὶ τὸ χρέω· ἀλλὰ καὶ αὐτὸ τὸ ἐν-
δεῖν σημαίνει τὸ χρέω. σαφὲς ἐκ τοῦ παρακειμένου οὐ- 5
δετέρου, λέγω τοῦ χρέος, ὡς καὶ ἐν τῷ ἔπω ἔπος παρά-
κειται. καὶ ἐξ ὑπομνήσεως τὸ τοιοῦτον δεῖ παραλαβεῖν,
ὅτι παραγωγή τίς ἐστιν ἡ τοῦ χρῆμι, ἧς τὸ τρίτον πρόσ-
ωπόν ἐστι χρῆσι, καθότι καὶ παρὰ τὸ φημί φησί. καὶ
ὃν τρόπον παρὰ Ἀνακρέοντι τὸ φησίν ἀποκοπὴν φή ἐγέ- 10
νετο, σὲ γάρ φη ταργήλιος, τὸν αὐτὸν τρόπον καὶ
τὸ χρῆσι χρή ἐγένετο ἀποκοπέν. ὅπερ ἐπίμεμπτον ἐν τῇ
κατὰ τὸν παρατατικὸν προφορᾷ κατὰ τάσιν, ἐχρῆν, ὅτι
καὶ σὺν τῷ ν λέγεται ἐχρῆν. καὶ πάλιν οὐ κατὰ τὴν ἑτέ-
ραν παράθεσιν, καθότι καὶ τὸ ἦν ἐν τρίτῳ ἐνοεῖτο. καὶ τὸ 15
συνὸν δὲ ἀπαρέμφατον χρῆναι ἐπιμαρτυρεῖ τῷ σχηματισμῷ.

Ἐχομένως σκεπτέον περὶ τοῦ ἔκητι, περὶ οὗ καὶ
ἐν τῷ περὶ συνδέσμων ἐξεθέμεθα, πότερον αὐτὸ καταρι-
θμητέον εἰς τοὺς αἰτιολογικοὺς συνδέσμους, ὡς ἴσην ἔχον
δύναμιν τῷ ἕνεκα, ὥς γε ἔστι σημειώσασθαι ἐκ τῆς ἐπὶ αὐτὸ 20
φερομένης συντάξεως, ἔκητι σέθεν, ὡς ἔχει καὶ τὸ ἕνε-
κα σοῦ, καθότι καὶ ὁ σύνδεσμος ἐπὶ γενικὴν φέρεται καὶ
τοιοῦτόν τι σημαίνει, ἑκόντος σοῦ, ὡς ἐθέλοντος σοῦ. ᾧ
παράκειται τὸ ἐθελοντί, καθότι καὶ ἄλλοις τὰ τοιαῦτα
παράκειται, ἀθεωρητί, ἀκλαυτί. ἐντελέστερον μὲν 25
οὖν, ὡς εἴπομεν, ἠκριβώθη ὁ περὶ αὐτοῦ λόγος ἐν τῷ
περὶ συνδέσμων· καὶ νῦν δὲ δι' ὀλίγων ἀποδεικτέον, ὡς
μᾶλλον ἔχεται τοῦ μερισμοῦ τῶν ἐπιρρήματων. Ὅτι οἱ
σύνδεσμοι τὰς ἀποφατικὰς φωνὰς ἢ τὰς στερητικὰς οὐ
δύνανται ἀναδέχεσθαι, δῆλον ἐντεῦθεν. ἐπὶ καταφάσει 30
τινῶν τὰ τοιαῦτα μόρια παραλαμβάνεται εἰς ἀναίρεσιν
τῆς καταφάσεως. οἱ δὲ σύνδεσμοι οὔποτε κατ' ἰδίαν ση-
μαίνουσί τι, συνδέουσι δὲ τοὺς λόγους, ἐξετάζοντες καὶ

οὕτως ἐπισυνδέοντες καὶ ἑνοῦντες. οὐκ ἔνδεκτον οὖν, τὸν ἔκητι σύνδεσμον ὄντα . . πει στερήσεως γεγενῆσθαι ἐν τῷ ἀ ἔκητι. οὔτε γὰρ ὁ ἕνεκα τὸ τοιοῦτόν ποτε ἀνεδέξατο, οὔτε ἄλλος τις τῶν προκειμένων. ἔστιν οὖν καὶ οὕτως φάναι. εἰ ὅλως κατὰ ἀπόφασιν τὴν τῶν συνδεομένων παραλαμβάνοιτο, συνόντων καὶ συνδέσμων, οὐκ ἐν στερήσει τὸ τοιοῦτόν ποτε γενήσεται, ἐν δὲ παραθέσει τῆς οὐ ἀποφάσεως, ὅτι φιλῶ σε παραγίνομαι, οὐχ ὅτι φιλῶ σε παραγίνομαι· ἔγραψεν Ἀπολλώνιος, οὐ μὴν ἔγραψεν Ἀπολλώνιος, ἀνέγνω δὲ ἕνεκα σοῦ παρεγενόμην, οὐχ ἕνεκα σοῦ παρεγενόμην. εἰ δὲ τοῦτο ἀληθές, σαφὲς ὅτι καὶ τὸ ἔκητι μόνον ἂν τὴν οὐ ἀπόφασιν ἀνεδέχετο ἐν τῷ οὐχ ἔκητι, οὐχὶ καὶ στέρησιν. ἔστι δὲ ἐπινοῆσαι ἐν ἐπιρρήμασι καὶ παράθεσιν τῆς οὐ ἀποφάσεως καὶ σύνθεσιν τῆς ᾱ στερήσεως, οὐ φίλως – ἀφίλως, οὐ σεμνῶς – ἀσέμνως· τῆδε ἂν ἔχοι καὶ τὸ ἀέκητι.

Ἀλλ᾽ ἴσως καὶ τὸ τοιοῦτον ἔχοι ἂν πάλιν ἐπίστασιν, ὡς οὐ τὰ ἐν στερήσει τῶν ἐπιρρημάτων γινόμενα ἰδίᾳ ἐγένετο, ἐν μεταλήψει δέ ἐστι συνθέτων· τὸ γὰρ ἀφίλως παρὰ τὸ ἄφιλος, καὶ τὸ ἀσέμνως παρὰ τὸ ἄσεμνος. ἔνθεν καὶ μένει ὁ τόνος ἐν τῷ ἀψευδῶς καὶ ἀσαφῶς, εἴτε καὶ τὸ ἀψευδής καὶ ἀσαφής συνέμεινε κατὰ τάσιν.

Τρύφων φησὶ καὶ διὰ τὸ ἀκατάστατον τοῦ τόνου μὴ ἔχεσθαι αὐτὸ τοῦ κατὰ τὰ ἐπιρρήματα μερισμοῦ. τὰ γὰρ τοιαῦτά φησιν ὀξύνεσθαι, ἀναιμωτί, ἀκονιτί, ἀδακρυτί, κἂν ᾖ σὺν τῷ σ, ἑλληνιστί, δωριστί, αἰολιστί. Πάνυ δὲ ἀπόβλητος ὁ λόγος. οὐ γὰρ τὰ παρὰ πνεύματα ἢ τόνον ἤ τι τῶν παρεπομένων ταῖς φωναῖς ἐκφερόμενα περιγράφεται τοῦ δέοντος μερισμοῦ. οὐ γὰρ ἐπεὶ μὴ δεόντως τὸ πούς ὀξύνεται, οὐκ ὄνομα· ἢ ὅτι τὸ ἅπαξ βαρύνεται καὶ πέριξ, τῶν ἄλλων ὀξυνομένων, οὐκ ἐπιρρήματα. πρὸς οἷς καὶ δεδείξεται, ὅτι κατὰ τὸν τόνον ἀνάλογόν ἐστι.

Καταστατέον οὖν τὰ τοῦ σχηματισμοῦ τῇδε. ἀπὸ ῥήματος τοῦ ἀεκάζω, ᾧ συνήθως Ὅμηρος κέχρηται,

πόλλ' ἀεκαζομένη,

ἔπιπτεν ἐπίῤῥημα τὸ ἀεκαστί, καθότι τῷ ἰάζω παράκειται τὸ ἰαστί, ἑλληνίζω ἑλληνιστί. καὶ ἡ μὲν ὁλόκληρος προφορὰ τοιαύτη. ἐνδεήσαντος δὲ τοῦ $\overline{\tau}$, καὶ Ἰωνικώτερον μετατεθέντος τοῦ $\overline{\alpha}$ εἰς $\overline{\eta}$, καθότι καὶ τὸ διπλάσιον διπλήσιον, ἀναγκαίως καὶ τὰ τοῦ τόνου συνανεβιβάζετο, καθ' ὃν τρόπον καὶ ἄλλα μόρια, ἐνδεήσαντα τοῦ $\overline{\sigma}$, ἀνεβίβαζε τὸν τόνον, δεσποστής-δεσπότης, ἐργαστής-ἐργάτης, οὐτασμένοι - οὐτάμενοι, συνεληλασμένοι - συνεληλάμενοι. αἴτιον γὰρ τὸ $\overline{\sigma}$ τῆς ὀξύτητος ἐγένετο, ἐπεὶ τοῖς ἀπὸ ῥημάτων παραχθεῖσιν ἐπιῤῥήμασι καὶ ὀξυνομένοις σύνεστι τὸ $\overline{\sigma}$, δωρίζω - δωριστί, αἰολίζω - αἰολιστί. τὸ δὴ οὖν αἴτιον τῆς ὀξύτητος $\overline{\sigma}$ ἐν πάθει ὑπεστίλλετο, καὶ ἐπεὶ οὐκέτι ὅμοιον ἐγίνετο τοῖς προκειμένοις, εἰς τὸν κοινὸν τῶν ἄλλων ἐπιῤῥημάτων τόνον μετῄει, ἅπερ ἐβαρύνετο, ὡς τὸ ὕψι, ἶφι, αὖθι. τὸ τοιοῦτον ἐντελέστατα ἐπιδεδείξεται, ὡς πᾶν σχῆμα λέξεως, τὴν ὁμοιότητα τῶν προκειμένων μορίων ἀποβαλὸν ἐν πάθει, εἰς τὸν τόνον μεταβάλλεται τὸν δυνάμενον τὴν ὁμοιότητα τοῦ πάθους ἀναδέξασθαι. ὥς γε ἔστιν ἐκ τῶν προκειμένων μορίων ἐκθέσθαι. τὰ εἰς $\overline{\sigma\tau\eta\varsigma}$ ῥηματικά, ὅτε ἐστὶν ὑπὲρ δύο συλλαβάς, ὀξύνεται, εἰλαπινάστης, λιθαστής, θεριστής· τα δὲ διὰ μόνου τοῦ $\overline{\tau\eta\varsigma}$ ἐκφερόμενα μετὰ βραχείας τῆς παρεδρευούσης βαρύνεται, οἰκέτης, ἀρότης, ἐλάτης· ἔνθεν οὐ συμμένει ἡ ὀξεῖα ἐπὶ τοῦ ἐργάτης ἡ τοῦ ἐργαστής, ἀλλ' ἅπαξ, ἂν ἀποβάλῃ τὸ $\overline{\sigma}$, ὅμοιον γενόμενον τῷ ἐλάτης καὶ ἀρότης, σὺν ἐκείνοις καὶ βαρύνεται. Καὶ ὡς μὲν παρῆκται κατὰ λόγον τῶν ἐπιῤῥημάτων, σαφὲς ἐγένετο.

Καταστατέον δὲ καὶ πῶς τὸ ἕκητι ἐγένετο. δόκησιν μὲν ἔχει προϋπάρχουσαν τοῦ ἀέκητι, καθὸ τὰ ἁπλᾶ προϋφέστηκε τῶν συνθέτων. ἀλλ' ἔστι γε ἀποδεῖξαι πάμ-

πολλα ἁπλᾶ ἀπὸ συνθέτων γεγονότα, ὡς ἔστί γε ἐπινοῆσαι, καὶ ἐκ τῶν κατὰ σύμπηξιν σωμάτων ἀποβολάς τινων μερῶν, ἁπλότητος μὲν ἐχομένας, δηλούσας δὲ τήν ποτε γενομένην αὐτοῖς σύμπηξιν, ὡς εἰ κλινιδίου ποὺς ἤ τι τοιοῦτον μερικόν. τὸ ὑπόδειγμα ἐπὶ πολλὰ συντείνει. ἔστιν οὖν τις τρόπος καὶ τοιοῦτος ἐν λέξέσιν, ὃς δοκεῖ μὲν ἁπλοῦς εἶναι, ὑπόμνησιν δὲ ἔχει τοῦ ἐκπεπτωκέναι ἐκ συνθέτου λέξεως. καὶ ἕνεκά γε ὑποδείγματος ἔν ποτ καὶ δεύτερον παραληπτέον. Τὸ ἠνορέα, ἁπλοῦν νοούμενον ἁπάντοτε, οὐ καταστήσεται. πόθεν γάρ; παρὰ τὸ ἀνήρ ἢ τὴν ἀνέρος γενικήν, ἢ τὴν συγκεκομμένην ἀνδρός, τὸ ἠνορέα συστήσεται. ἢ ἀνερία, ὡς αἰθέρος αἰθερία· τῆς δὲ ἀνδρός, ὡς καὶ ἔστιν, ἡ ἀνδρία. ἀλλὰ καὶ τὰ τοῦ λόγου τῇδε ἔχει. τὸ ἀνήρ συντιθέμενον τὸ ᾱ εἰς ῑ μεταβάλλει, τὸ δὲ ῑ εἰς ῱. ἀνήρ - ἀντήνωρ, ἀγαπήνωρ, εὐήνωρ, Ἐλεφήνωρ· φαμὲν δὲ καὶ διὰ τοῦτο καὶ τὸ Νικάνωρ, Εὐφράνωρ Δωρικά. ἦν οὖν καὶ τὸ

εὐήνορα οἶνον,

ἀφ' οὗ γέγονεν ἡ εὐηνορία καὶ εὐηνορέα, καὶ ἔλλείψει τῆς ᾱυ διφθόγγου, ἠνορέα. καὶ γὰρ σαφές, ὅτι τὸ

δόμοις ἔνι ποιητοῖσιν

ἐν ἔλλείψει ἐστὶ τοῦ εὖ· ἔστι γὰρ [ἐν τοῖς εὖ] πεποιημένοις. καὶ τὸ

κρητῆρα τετυγμένον

σημαίνει τὸν εὖ τετυγμένον. καὶ ἄλλα δὲ πολλά ἐστιν, ἅπερ ἁπλῶς μὲν λέγεται, συνθέτως δὲ νοεῖται·

ἀλλ' ὑμεῖς ἔρχεσθε

ἀντὶ τοῦ ἀπέρχεσθε, καὶ

πικρὰς ὠδῖνας ἔχουσαι

ἀντὶ τοῦ ἐπέχουσαι, καὶ τὸ

οἵ σφιν γείτονες ἦσαν

ἀντὶ τοῦ ἀστυγείτονες. καὶ ἀνάπαλιν παρὰ προθέσεις ἔλλείποντα ῥήματα,

πάρα δ' ἀνήρ, ὃς καταθήσει·

ἀλλ' ἄνα, εἰ μέμονάς γε.

Ἀλλ' οὐδὲ τὸ φρονῶ πάλιν ῥῆμα συστήσεται. παρὰ γὰρ τὸ φρήν καὶ τὴν τούτου γενικὴν φρενός ἀπετελεῖτό τι φρενῶ, καθὸ καὶ παρὰ τὴν ἑνὸς φωνὴν ἑνῶ που γίνεται. οὐ δὴ οὖν ἔστι θαῤῥῆσαι, ὡς κατὰ πάθος τὸ ᾱ εἰς τὸ ᾱ μετετέθη ἐν τῷ φρονῶ. οὐ γὰρ ἦν ἡ αὐτὴ ἔννοια, εἴγε τὰ πάθη οὐ τῶν λεκτῶν, τῶν δὲ φωνῶν. ἄλλως τε τὸ μετατίθεσθαι τὸ ᾱ εἰς τὸ ᾱ ἐν βαρυτόνοις ῥήμασίν ἐστι, φέρω φορῶ, πέρθω πορθῶ, νέμω νομῶ. ἔχει οὖν τὰ τῆς καταστάσεως τῇδε. τὸ φρὴν πάλιν συντιθέμενον τὸ ῑ εἰς τὸ ῶ μεταβάλλει, φρὴν - ἄφρων, σώφρων. ἐγίνετο δὲ πάμπολλα πάλιν τοιαῦτα ῥήματα ὀνοματικά, ὡς παρὰ τὴν εὐδαίμονος γενικὴν γίνεται τὸ εὐδαιμονῶ, παρά τε τὴν ἀγνώμονος τὸ ἀγνωμονῶ. παρὰ τὴν ἄφρων οὖν εὐθεῖαν ἐγίνετο ἀφρονῶ, κατὰ στέρησιν τοῦ φρονεῖν. ἐπεὶ δὲ τὰ ἐν στερήσει παραλαμβανόμενα καὶ ἐν καταφάσει παραλαμβάνεται, ἀφαιρουμένης τῆς στερήσεως, τὸ φρονῶ ἐγίνετο εἰς κατάφασιν τοῦ ἀντικειμένου τοῦ ἀφρονεῖν. Εἰ δέ τις καὶ τὸ ἀκριβὲς ἐπιστήσειε, καὶ τὸ ἀψευδής καὶ ἔτι τὸ ἀσαφής πρότερα ἂν εὕροι τοῦ ψευδής καὶ σαφής. ἀλλὰ φήσει τις ὅτι, εἴπερ δοίημεν παρὰ τὸ ψευδῶ καὶ σαφῶ τὰ ὀνόματα ἐγίνετο, τὰ δὴ ἐν ὀξείᾳ προσῳδίᾳ καὶ ἐν κλίσει τῇ διὰ τοῦ ευς ἐκ ῥημάτων ἀναγόμενα κατὰ σύνθεσιν παραλαμβάνεται. παρὰ τὸ σεβῶ εὐσεβής, παρὰ τὸ πήσσω πρωταπαγής, καὶ ἴσως παρὰ τὸ ψεύδομαι ἤν τι ἀψευδής, καὶ εἰς κατάφασιν πάλιν τοῦ ψευδεσθαι ψευδής ἐγίνετο. Τούτων οὖν τῇδε ἐχόντων, προϋπαρχοντος ῥήματος τοῦ ἀεκάζω, προϋπάρχει τὸ ἐπίῤῥημα τὸ ἀεκαστί, ἀφ' οὗ τὸ πεπονθὸς τὸ ἀέκητι. καὶ . . . συνήθως πάλιν ἐκ συνθέτων ἁπλᾶ ἐγίνετο, καὶ μάλιστα ἐν λέξει τῆς ᾱ στερήσεως, πιστούμεθα ὅτι καὶ ἐκ παρασυνθέτου τοῦ ἀέκητι ἁπλοῦν κατελαμβάνετο τὸ ἔκητι. οὐκ ἄρα ἄπορον τὸ σχῆμα, δόκησιν ἔχον συνθέσεως ἐκ τοῦ ἀέκητι.

Ἑξῆς ῥητέον καὶ περὶ τοῦ ΤΠΟΔΡΑ, περὶ [οὗ Τρύφων] ἐν τῷ περὶ ἐπιῤῥημάτων φησίν, ὡς οὐ δεόντως . . . ἀνεδέδεκτο. τὴν γὰρ ἀποβολὴν φησι φυλακτ[ικὴν εἶναι] τοῦ τόνου. τὸ ἄναξ, ἀποβαλὸν τὸ ξ̄, φυλάσσεται κ[ατὰ τὴν] αὐτὴν τάσιν,

Ζεῦ ἄνα Δωδωναῖε·

καὶ κατὰ κλητικὴν τὸ γύναιξ, ἐν τῷ ὦ γύναι· ἔτι τὸ γάλαξ, ἀφ᾽ οὗ γενικὴ ἡ γάλακτος, ὅτε γίνεται πάλιν γάλα. ὅθεν εἰ καὶ τὸ ὑποδράξ ἐν ὀξείᾳ τάσει ἐστί, σαφὲς ὅτι καὶ τὸ ἐν ἀποβολῇ τοῦ ξ̄ πάλιν τὸν ἐπόντα τόνον φυ- 10
λάξει. Τὸ τοιοῦτόν τινες ἐπιλύονται, φάμενοι μὴ ἐν ἀποβολῇ τοῦ ξ τὸ ὑπόδρα γεγενῆσθαι, συνδεσμῶν δὲ παραπληρωματικῶν ἐν ὑποστολῇ τοῦ η̄ παράθεσις, τοῦ ἐντελοῦς ὄντος ὑπὸ δή ῥα ἰδών. οὐδὲ γὰρ πιθανόν, παρακειμένου τοῦ ἰδών, τὸ ὑποδράξ παραλαμβάνειν· ἐν γὰρ 15
τῷ ὑποδράξ ἔγκειται τὸ ὑπιδών. ὥστε κατ᾽ αὐτοὺς μηδ᾽ ἐπίῤῥημα εἶναι τὸ ὑπόδρα, παράθεσιν δὲ προθέσεως καὶ παραπληρωματικῶν συνδέσμων, ὥστε τὴν ὑπὸ τῷ ἰδών συντάσσεσθαι, καὶ εἶναι τὸ ἑξῆς ὑπιδών, τοῦ ῥά καὶ τοῦ δή μίαν καὶ τὴν αὐτὴν ἐχόντων δύναμιν. Ἀλλ᾽ ἔστι 20
γε πρὸς ἀμφοτέρους τοὺς λόγους φάναι. Καὶ πρὸς μὲν τὸν πρότερον, ὡς οὐκ ἔστιν ἀληθές, ὡς τὰ ἐν ὑποστολῇ τῶν συμφώνων, ἵνα μὴ μερικώτερόν τις ἐπὶ τοῦ ξ̄ διαλάβοι, πάντοτε φυλακτικά ἐστι τοῦ τόνου, εἰ μὴ ὁ τύπος ὁ ὑπολειπόμενος παραδέχοιτο τὸν τόνον. τὸ πολλάκις ἢ δεκάκις ἢ τὰ τοιαῦτα ἐν ἀποβολῇ τοῦ σ̄ οὐ κωλύεται μένειν κατὰ τὸν αὐτὸν τόνον, εἴγε ἄπειρα τὰ εἰς ῑ λήγοντα ἐπιῤῥήματα κατὰ βαρεῖαν τάσιν, τά τε ὀξυνόμενα εν τηνι τηρήσει ἔστι κατὰ τὴν ὀξύτητα, περὶ ὧν ἐκτεθείμεθα καὶ ἐν τῷ περὶ τοῦ ἕκητι. τούτῳ γὰρ τῷ 30
λόγῳ καὶ τὸ χωρίς, ἀποβαλὸν τὸ σ̄, οὐκ ἐφύλαξε τὴν ἐπὶ τοῦ τέλους ὀξεῖαν, ἀνεβίβαζε δέ, οὐχ ὑποπίπτον τῇ ὀξύτητι τῶν εἰς ῑ ληγόντων ἐπιῤῥημάτων, ἐν τῷ

χῶρι διατμήγουσιν.

ἔφαμεν δὲ καὶ αὐτὸ τὸ ἕκητι εὐλόγως ἀναβεβιβακέναι τὸν τόνον. ἀλλὰ καὶ ἐπὶ τοῦ οὕτως, ἡνίκα ἀποβάλλεται τὸ σ̄ ἐν τῷ οὕτω, οὐκ εἴργεται τῆς βαρύτητος τῆς κατὰ τὰ εἰς ῶς, ἐπεὶ πάμπολλα τὰ ἐν βαρείᾳ τάσει. καὶ ἐπ' ὀνομάτων δὲ ἔστι τὸ αὐτὸ παραστῆσαι, καὶ ἐπ' ἄλλων μερῶν λόγου, εἴγε, ὡς ἔφαμεν, τὸ συνεληλασμένοι, ἐνδεῆσαν του σ̄, ἀναγκαίως ἀνεβίβαζε τὸν τόνον, τὸ δεσπότης, τὸ ἐργάτης. τό γε μὴν συγχεύας . . . ειν τὸν αὐτὸν τόνον. ἀναγκαίως δὲ καὶ τὸ ἄναξ, [ἀποβαλὸν] τὸ ξ̄, τὸν αὐτὸν τόνον φυλάσσει. πολλαὶ γὰρ αἱ εἰς ᾱ [βαρυνόμενον] κλητικαὶ τῶν ἀρσενικῶν, Ὀρέστα, Θυέστα. καὶ αὐτὸ δὲ [τὸ τοῦ ἄναξ] πάθος ἀνάλογον, ἐν οἷς τῆς μὲν εὐθείας τὸ ξ̄ οὐκ ἀφείλετο, κλητικῆς δὲ τῆς δυναμένης καὶ εἰς ᾱ λῆξαι, ὡς ἀνάπαλιν [οἱ]κείως ἐπὶ τοῦ γάλαξ τὸ ξ̄ ἀπέβαλλεν, ἀνέφικτος οὖσα τῆς εἰς ξ̄ καταλήξεως, ἐπεὶ οὐδὲν οὐδέτερον εἰς διπλοῦν λήγει. ἄπειρος ἡ εἰς τὸ τοιοῦτον παράθεσις. ὅθεν χωρητέον καὶ ἐπὶ τὸν προκείμενον λόγον. Τὸ δὴ ὑπόδρα δύναται μὲν καὶ κατὰ φύσιν εἰς ᾱ λήγειν, δύναται δὲ καὶ κατ' ἔλλειψιν τοῦ ξ̄, ἐξενεχθὲν τάσιν ἀνάλογον ἀναδεδέχθαι. ἐντελὲς μὲν οὖν ἐστὶν ἐν τῇ ληγούσῃ, εἰ τῇδε εἴη ἐσχηματισμένον. τὸ δρῶ σημαίνει καὶ τὸ ὁρῶ, ἀφ' οὗ καὶ τὸ δρωπάζειν, καὶ τὸ δραπέτης ὁ ἐπιβλέπων τοὺς δεσπότας. καὶ σαφὲς ὅτι ἐγένετο ἐπίρρημα εἰς ᾱ περατούμενον, ὅμοιον τῷ ἀντῶ ἄντα, ἠρεμῶ ἠρέμα· ἀφ' οὗ σύνθετον τὸ ὑπόδρα. δύναται δὲ καὶ παρὰ τὸ ὁρῶ εἶναι τὸ ἀκόλουθον ὅρα, καθότι εἴπομεν καὶ τὸ ἀντῶ ἄντα παρακεῖσθαι, σιγῶ σῖγα. ὃ δὴ πλεονάσαν τῷ δ̄, ἐγένετο ὑπόδρα, καθότι καὶ ἐν τῷ μίγα τὸ μίγδα, ὃ δὴ πάλιν παρέκειτο ῥήματι τῷ μίσγω· τῆς συναλοιφῆς Ἰωνικωτέρας γενομένης, καθότι καὶ ἐπὶ τοῦ ἀπηλιώτης. Ἀλλ' εἰ καὶ ἀπὸ τοῦ ὑποδράξ εἴη, ὅπερ πάλιν τῷ δέρκω παράκειται, ὡς ἐν τοῖς ἑξῆς δεδείξεται, δύναι-

το ἄν, καθὼς ἐπεδείξαμεν, καὶ ἐν ἀποβολῇ τοῦ ξ γενόμενον βαρεῖαν τάσιν ἀναδέξασθαι. πρῶτον μὲν γὰρ οὐκ ἀτέφικτον τὸ πάθος, ἐπεὶ οἱόντε καὶ εἰς ᾱ λήγειν ἐπιῤῥήματα. ἀλλ' ἐπεὶ τὰ εἰς ᾱ λήγοντα ὀξυνόμενα ὑποπίπτει λόγοις τοιούτοις, συνέχουσι τὴν ὀξύτητα τοῦ ᾱ, καθὼς ἐν τοῖς ἑξῆς εἰρήσεται, ὡς τὰ μὲν εἰς δᾱ παρακείμενα τοῖς εἰς δυν ὀξύνεται, τά τε ὁμοφωνοῦντα ὀνομαστικῇ πληθυντικῇ οὐδέτερα, καὶ ὥς τινα τῶν εἰς θᾱ· τὰ γὰρ μὴ οὕτως ἔχοντα ἐν βαρείᾳ τάσει εἰσίν, ὥσπερ τὸ αἶψα, τὸ τάχα, ῥίμφα, ὄφρα· δῆλον ὡς καὶ τὸ ὑπόδρα, οὐ πῖπτον ὑπὸ τὸν λόγον τῶν ὀξυνομένων, τὸν τῶν βαρυτόνων ἐπιῤῥημάτων τόνον ἀναδέξεται. πρόκειται αὕτη ἡ ἀπόδειξις ἔν τε τῷ περὶ τοῦ ἀέκητι καὶ τῶν κατειλεγμένων κατὰ τὰς αἰτίας τῶν συμφώνων καὶ ἀναβιβαζόντων τὸν τόνον.

Πρὸς δὲ τοὺς φαμένους μηδὲ ὅλως αὐτὸ ἐπίῤῥημα εἶναι, σύνδεσμον δὲ παραπληρωματικόν, ἔστιν ἀποφήνασθαι ὡς πρῶτον μὲν βιά[ζονται] συγκοπὰς συνδέσμων παραδεχόμενοι, ὅπερ οὐκ ἂν ἔχοιεν ἐπιδεῖξαι. καθόλου γὰρ πᾶν πάθος ἐξ ὁμοίου πάθους κατορθοῦται. ὁ γὰρ λέγων περὶ συγκοπῆς τῆς ἐν ὀνόμασι, συγκοπὴν ἐπιδείξει καὶ ἐν ἑτέροις ὀνόμασι καὶ ἐν ἐπιῤῥήμασιν ῥήμασι. παρὰ γοῦν Αἰολεῦσι συνεχέστερον μὲν αἱ προθέσεις συγκόπτονται, οἱ δὲ σύνδεσμοι οὐκ εὐθετίζονται μὲν εἰς συγκοπάς, εἰς δὲ συναλοιφάς. ὅ τι δέ ἐστι τὸ ἐμποδίζον τὸ τὴν αὐτὴν σημασίαν ἐν παραλλήλοις κεῖσθαι, ὅπου γε καὶ ἄλλα πλεῖστά ἐστι ἐν παραλληλότητι κείμενα, ὡς τὸ·

ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε,

καὶ ἐν ἀντωνυμίαις

κὰδ δέ μιν αὐτόν,

καὶ ἐν συνδέσμοις

καί τε χαλιφρονέοντα,

ἤτοι μὲν Μενέλαος,
καὶ ἐν προθέσει
ἀμφὶ περὶ κρήνην,
προπροκυλινδόμενοι·
καὶ ἐν συνθέτῳ πολλάκις ἁπλᾶ ἐπιφέρεται τὰ αὐτά, 5
οὐδέ τί μοι ποδάνιπτρα ποδῶν,
κατὰ μεγαλήτορα θυμόν.
καὶ σαφὲς ὅτι τοῖς τοιούτοις ὑποπέπτωκε τὸ ὑπόδρα ἰδών.
πρὸς οἷς ὑπάρχει ἡ αὐτὴ σύνταξις τοῦ ὑπιδών τὸ ὑπόδρα, ὡς ἀμφοτέρων τῶν ῥημάτων τὸ αὐτὸ δηλούντων. 10

Καὶ τοσαῦτα μὲν περὶ τοῦ ὑπόδρα, ὡς εἴη ἐπίῤῥημα.

Ὅτι δὲ καὶ τὸ ΠΥΞ καὶ τὸ ΛΑΞ καὶ τὰ τούτοις ὅμοια σχήματα οὐ πάντως διὰ τὴν μετάληψιν τὴν εἰς τὸ πυγμῇ, καθότι τινὲς ᾠήθησαν, ὀνόματα ἂν εἴη, σα- 15 φὲς ἐκ τοῦ ἐπὶ ῥῆμα φέρεσθαι πάντοτε τὰς φωνάς, καθότι καὶ τὰ ἄλλα τῶν ἐπιῤῥημάτων, καὶ ἐκ τῆς παρεπομένης ἀκλισίας ἐπὶ τὰς πτώσεις καὶ τοὺς ἀριθμούς, ὅπερ παρεπόμενον ἦν, ὡς πρόκειται, τῷ ἐπιῤῥήματι. καὶ γὰρ ἂν τὰ ὀνόματα ἐπὶ τὰ ῥήματα φέρηται, ἀλλ' οὐ 20 κατὰ τὴν αὐτὴν ἔννοιαν οὐδὲ καθ' ἕνα σχηματισμόν, ἀλλ' οὐδὲ ἐκεῖνο θαρσήσειέ τις φάναι, ὡς καὶ ἄλλα ὀνόματα ἄκλιτα ἂν εἴη, καὶ οὐ παρὰ τοῦτο ἐπιῤῥήματα, εἴγε τῆς ἀκλισίας ἐκείνων λόγον ἔστιν εὑρέσθαι, λέγω τοῦ πέντε ἢ ἕξ καὶ τῶν τοιούτων, [ἢ κα]ὶ τῶν στοιχεί- 25 ων, ὡς κατὰ τὸ δέον ἐκτεθείμεθα· οὐκ ἔστι μέντοι ἐπινοῆσαι ὄνομά τι ἐς διπλοῦν λῆγον, ὃ οὐ πάντως κλίσεως ἔτυχε. καὶ ἕνεκα κλίσεως καὶ συντάξεως τὸ μὲν πτύξ ὄνομά ἐστιν, ἐπεὶ καὶ πτυχός καὶ πτύχες· τὸ δὲ πύξ ἐπίῤῥημα καὶ τὸ λάξ, συντασσόμενα τοῖς ῥήμασι 30 καὶ οὐκ ἔχοντα τὴν ἄλλην σύνταξιν ἢ τὴν ῥηματικήν.

Ἀκολούθως διαληπτέον καὶ περὶ ἐπικρίσεως τοῦ πέντε καὶ τῶν τοιούτων, μὴ ἄρα καὶ αὐτὰ διὰ τὴν παρε-

πομένην ἀκλισίαν ἐπιῤῥήματα ὑπολάβῃ τις ἀριθμοῦ δηλωτικὰ εἶναι. Διότι μὲν οὖν, ὀνόματα ὄντα, ἄκλιτά ἐστιν, ἐντελέστερον μὲν εἴρηται ἐν τῷ περὶ ἀντωνυμιῶν, ἔνθα καὶ ἐπεδείκνυμεν, καθ᾽ ὃν λόγον αἱ ἀντωνυμίαι ἄκλιτοι, ὡς ἕνεκά γε τῶν παρεπομένων φωνῶν. ἦν δὲ τὰ συνεκτικὰ τῶν λόγων, ὡς τὰ διὰ μιᾶς φωνῆς τριγένειαν ὑπαγορεύοντα οὐκ ἐφικτὰ εἰς κλίσεις. καὶ ἕνεκά γε τούτου τὸ μὲν τρεῖς καὶ τέσσαρες καὶ εἴ τις τοιοῦτος ἀριθμὸς μοναδικὸς κατὰ τριγένειαν ἐκλίνετο, τὰ δὲ πέντε καὶ τὰ ὅμοια οὐκέτι. ἄλλως τε καὶ οἱ κανόνες τῶν ὀνομάτων ἀρχὴν ἔχουσι τὴν θέσιν τῆς λέξεως, ὅτε φαμὲν τὰ εἰς ῶ λήγοντα ἢ εἰς υξ ἢ εἰς αξ, ἢ ὅτε φαμὲν τὰ πληθυντικὰ εἰς αι λήγειν ἢ εἰς ες ἢ εἰς οι, ἐφ᾽ ὧν τὸ δέον παρελαμβάνετο κατὰ τὰς κλίσεις. τὸ δὲ πέντε καὶ ἓξ οὐκ ἔχεται ἀρχῆς κανονικῆς· ποῖον γὰρ πληθυντικὸν εἰς εξ λήγει; ποῖον δὲ πληθυντικὸν εἰς ε λήγει; καὶ τὸ τοιοῦτον ἐντελέστερον ἐπιδειχθήσεται ἐν ἑτέροις. ἔνθεν οὖν ὑπεχώρησαν οἱ κανόνες, οὐ δυνάμενοι κατὰ τῶν ἰδίων παραλαμβάνεσθαι λημμάτων. φαμὲν κἀν τοῖς προκειμένοις, ὅτι ἑτέρα μὲν σύνταξίς ἐστιν ἡ τῶν ἐπιῤῥημάτων πρὸς τὰ ῥήματα, ἑτέρα δὲ ἡ τῶν πτωτικῶν ὡς πρὸς τὰ ῥήματα. τῇδε οὖν τούτων ἐχόντων, φαμὲν οὕτως, πεντάκις παρεγένετο, τετράκις παρεγένετο, οὐ μὴν οὕτως, πέντε παρεγένετο, ὅπερ εἰ μὴ ὀνοματικὸν εἴη, κἂν καθ᾽ ἕνα σχηματισμὸν εἶχε τὸ πέντε ὡς πρὸς τὴν τῶν ῥημάτων σύνταξιν. φαμὲν δὲ τὰ πέντε παρεγένοντο, συμπληρουμένου τοῦ ῥήματος ὡς πρὸς τὸ ὄνομα, ὡς εἰ καὶ ἄνθρωποι παρεγένοντο.

Τὸ ὈΦΕΛΟΝ οἱ μὲν κατὰ συνεκδρομὴν ῥήματός φασι κεκλίσθαι παρὰ τῷ ποιητῇ εἰς πρόσωπα, εἴγε καὶ τὸ δεύτερον ὄφελες καὶ τὸ τρίτον ὄφελεν· οἱ δὲ ἐκ ῥήματος ὑποσυγκεκόφθαι τοῦ ὤφειλον, διὸ καὶ τὴν τοῦ ἀπαρεμφάτου σύνταξιν ἐν παραλληλότητι αὐτο τίθησι

τῷ εἴδε, αὖθ' ὥφ . . . . Φαίνεται δὲ ὅτι καὶ τὸ ΔΕΥΡΟ, ὁμοίως ὂν ἐπίῤῥημα, ἐχόμενον δὲ ὡς προστακτικῆς ἐννοίας, κατὰ συνεκδρομὴν πάλιν ὡς ἀριθμὸν ἀνεδέξατο ἐν τῷ

δεῦτε, φίλοι· τὸν ξεῖνον ἐρώμεθα. 5

ᾧ λόγῳ καὶ τὸ ἄγε ἄγετε.

Τὰ εἰς ων ληγοντα, ὀνόματα μὲν ὄντα, παρασχηματισμὸν ἔχει ἡποι ἐν κοινότητι ὡς ὁ σώφρων - ἡ σώφρων, ὁ γείτων - ἡ γείτων, ἢ ἐν καταληξει τῇ εἰς να, Λάκων Λάκαινα, δράκων δράκαινα· οἷς μέντοι παρά- 10 κειται θηλυκὰ εἰς ᾱ ληγοντα, τούτοις παρέπεται τὸ εἶναι μετοχάς, λέγων λέγουσα, φρονῶν φρονοῦσα. καὶ διὰ τούτου γε τοῦ λόγου δεικνυται, ὅτι τὸ κρείων μετοχή, ἐκ τοῦ

κρείουσα γυναικῶν. 15

ὁμολόγως οὖν τὸ ΑΚΕΩΝ μετοχή· ἰδοὺ γὰρ παράκειται θηλυκὸν,

ἀλλ' ἀκέουσα κάθησο.

Ἔστι δὲ πρὸς τὸ τοιοῦτον φάναι, ὡς ταῖς μετοχαῖς πολὺ πρότερον προϋφέστηκε ῥήματα, φέρω φέρων, φρο- 20 νῶ φρονῶν. εἴπερ οὖν τὸ ἀκέων μετοχή, σαφὲς ὅτι καὶ ῥῆμα προϋποστήσεται τὸ ἀκέω. ἀλλ' οὐδεμία ὑπόμνησις τοῦ ῥήματος. ἀλλ' ἀσύστατον τὸ ῥῆμα· βαρυνόμενα γὰρ οὐκ ἔστιν ἐπινοῆσαι ὑπὲρ δύο συλλαβὰς τῷ ε παρεδρευόμενα, δισύλλαβα μέντοι, πλέω, ῥέω, κέω, ἢ τὰ παρ' Ἴωσι 25 διῃρημένα, φιλέω, νοέω. εἰ δὲ μὴ τὸ τοιοῦτον μὴ παρέπεται, οὐ μετοχὴ τὸ ἀκέων· οὐ γὰρ ἔχει ῥῆμα. Τὸ δὲ μεῖζον· τὰ πτωτικὰ συμμετασχηματίζεται τοῖς ἀριθμοῖς, τὰ δὲ ἐπιῤῥήματα καθ' ἕνα σχηματισμὸν ἐκφέρεται. τοῦ μὲν προτέρου, ἄνθρωποι ὄντες διαλέγεσθε, ᾄδον- 30 τες ὑμνεῖτε, διαχεόμενοι ᾄδετε· τοῦ δὲ δευτέρου, κρύβδην ᾄδετε, βοτρυδὸν παραγίνεσθε. εἴπερ οὖν καὶ τὸ ἀκέων μετοχή, σαφὲς ὅτι πρὸς μὲν τὸ

εἴπερ οὖν καὶ τὸ ἄνεφ, ἐκ κοινοῦ γεγονὸς τοῦ ἄναος ἢ ἄνιος, ἐπιθετικῶς παραλαμβανόμενον παράκειται ἐπίῤῥημά τι, σαφὲς ὅτι οὐκ εἰς ῶ περατούμενον, εἰς δὲ ὡς. δεδείξεται γάρ, ὡς ἔφην, καὶ ἐν τοῖς ἑξῆς, ὡς αὖ τοῖς τοιούτοις πάλιν τριγενέσιν οὖσι παράκειται ἐπίῤῥημα εἰς ῶ περατούμενον, ἀνώτερος ἀνωτέρω, ἐσώτερος ἐσωτέρω.

ΔΕΥΤΕΡΑ ΔΙΑΛΥΣΙΣ, ΔΙΕΡΜΗΝΕΥΟΥΣΑ ΚΑΙ ΔΙΑΛΥΟΥΣΑ ΤΑ ΤΩΝ ΦΩΝΩΝ ΣΧΗΜΑΤΑ ΤΩΝ ΕΠΙΡΡΗΜΑΤΩΝ. Η ΓΑΡ ΠΡΩΤΗ ΠΕΡΙ ΤΗΣ ΕΝΝΟΙΑΣ ΑΥΤΩΝ ΔΙΕΛΕΧΘΗ.

Ἐχομένως σκεπτέον καὶ περὶ τῶν ἐν ταῖς φωναῖς σχημάτων. Τὰ δὴ ἐπιῤῥήματα καὶ πρωτότυπά ἐστι καὶ παραγωγά. καὶ τὰ τούτων παραγωγὰ ἃ μὲν ἀπὸ ἐπιῤῥημάτων, ὡς παρὰ τὸ ἄνω ἀνωτέρω, ἢ παρὰ ὀνόματα, ὡς παρὰ τὸ βότρυς βοτρυδόν, ἢ παρὰ ῥήματα, ὡς παρὰ τὸ κλέπτω κλεβδην, ἢ παρὰ ἀντωνυμίαν, ὡς παρὰ τὸ ἐκεῖνος ἐκείνως, οὗτος οὕτως, αὐτός αὐτόθεν, ἢ παρὰ μετοχάς, ὡς παρὰ τὸ ἐπιστάμενος ἐπισταμένως καὶ ἐῤῥωμένος ἐῤῥωμένως, ἢ παρὰ προθέσεις, ὡς ἔξ ἔξω καὶ παρὰ τὸ ἔν ἔνδον. ὡς ἔστιν ἐπινοῆσαι καὶ τὰς τοῦ ὀνόματος παραγωγὰς ἢ καὶ ῥήματος παρὰ τὰς αὐτὰς ἰδέας τῶν λέξεων παραγομένας, εἴγε ἀπὸ μὲν ὀνόματος ὄνομα, ὡς λίθος λίθινος, ἢ καὶ ῥῆμα, ὡς παρὰ τὴν εὐδαίμονος εὐδαιμονῶ, ἢ καὶ παρ' ἐπίῤῥημα, ὀψέ ὀψίζω, αἰαῖ αἰάζω, καὶ παρὰ πρόθεσιν, ὑπέρ ὑπέρτερος, πρό πρότερος, πάλιν καὶ τῆς τῶν ῥημάτων παραγωγῆς, ὡς πρόκειται, εἰς ταῦτα παραγομένης.

ΈΧΘΕΣ ἢ χθές ῥητέον. Τρύφων φησὶν ἐν τῷ περὶ ἐπιῤῥημάτων τὸ ἐχθές ἐντελέστερον εἶναι τοῦ χθές Ἀττικοῦ, παρατιθέμενος τὴν ἐν τοῖς μονοσυλλάβοις ἐπιῤῥήμασιν ἀναλογίαν, ὡς εἴη ἐν μακραῖς συλλαβαῖς ἑκάστοτε,

ποτε, ναί, μή, πού, πῶς, οὔ, καὶ τὰ τοιαῦτα, μηκυνόμενα διὰ τοῦ διπλοῦ, γνῦξ, πῦξ. πιστοῦται δὲ καὶ ἐνταῦθεν μὴ ἐντέλῃ εἶναι τό τε δίς καὶ τρίς, ἐκ δὲ τοῦ δυάκις καὶ τριάκις συγκεκόφθαι, ἐπειδὴ τὰ εἰς σ ἰήγοντα μετὰ βραχείας ἐκφορᾶς ἐστιν ὑπὲρ μίαν συλλαβήν, 5 ἀκός, ἐγγύς, ἐκτός, ἅλις, ἄχρις, πάρος· ἐξ οὗ πάλιν συνῆπε τὸ ἐχθὲς ἀναλογώτερον. ἀφῃρῆσθαι δὲ χρὸς τῆς Ἀττικῆς χρήσεως τὸ ε. Οὐ γὰρ πάσυ ἐκεῖνο ὑγιές, τὸ τὰ εἰς ες ἰήγοντα φάσαι ῥήματα, σχές, σπές, ἕς, οἷς συνεκφθήσεται καὶ τὸ χθές, εἰ ἦν ἐντελές. ἀλλ' οὗτός γε 10 ὁ ἰόγος οὐ συστήσει οὐδὲ τὴν ἕς προθεσιν οὐδὲ τὴν εἰς, ἐπὶ ἀμφοτέροις τοῖς ῥήμασι σύνεσι ῥηματικὴ καταλῆξις. καὶ γὰρ τὸ ευς,

αἴμασός εἰς ἀγαθοῖο,

καὶ τὸ εἰς ες ὁμοιον τῷ θές. τὴν τοιαύτην οὖν παράθεσιν εἰς κατόρθωσιν λέξεων παραιτητέον, ἐπεὶ πολλὰ μέρη ἰόγου, διάφορα ὄντα, ἔσθ' ὅτε ταῖς λέξεσι συνκεκοῦνται. Ἀμεινον οὖν ἐκεῖνον τὸν ἰόγον παραθέσθαι, ὡς τὸ πλεοναζον ε ὑπείληται λέξεσι ταῖς ἀπὸ φωνήεντος ἀρχομένοις, ὥστε τὸ ἀναιρούμενον λείπειν ἐθέλει λέξιν ἀπὸ συμφώνου ἀρχομένην. ἔχει δὲ τὰ ὑποδείγματα τῆδε. τὸ ἴδια πλεοναζει τῷ ε, τὸ ἔλιπον ἀρχομένου τοῦ ε ἀπὸ φωνήεντος, τὸ ἐώρων, καὶ εἰ μὴ διαίρεσις τοῦ ἠδὲ τὸ ἔαδον, ἀπὸ δὲ τοῦ

ἀδε δ' Ἕκτορι μῦθος

ἔπεν, ἔως· τοῦ δὲ ἐτέρου ἔφη, φῆ, ἔβη, βῆ, ἐθέλω θέλω, οἱ ἐρωτῆς φωτῆς· ἔνια δὲ καὶ τὴν χεῖρα παρὰ τὸ ἔχειν φασὶν ἐσχηματίσθαι. τοῦτο γὰρ τῷ ἰόγῳ δείκνυται καὶ ἐν τῷ περὶ ἀντωνυμιῶν, ὡς οὐ πλεοναζει τὸ ε ἐν τῷ ἐκείνος, τοιοῦτον δὲ λείπει ἡ πλέος φωνὴ τῷ ε ἐπίθετα καὶ περὶ τοῦ ονόματος ἐντελέστερον δείκνυται. κατὰ δὴ τοῦτο τὸν ἰόγον πάλιν ἐντελέστερον τὸ ἐχθὲς τοῦ χθὲς σταθεὶς καὶ ἡ τοῦ ἐτέρου προφορά, ἔστι

παρὰ τὸ ἐκτὸς τοῦ χρόνου πεπτωκέναι τὸ κατάστημα ἐσχημάτισται, τῶν ψιλῶν ἀντιστοίχων εἰς τὰ δασέα μεταπεσόντων, καθὼς ἔστιν ἐπινοῆσαι καὶ ἐπὶ τοῦ ἔχθος· τὸ γὰρ ἀπόβλητον καὶ ἐκτὸς ἡμῶν τοιοῦτον.

Ἐχομένως σκεπτέον περὶ τοῦ ΕΥΤΕ καὶ ηὗτε, καθώς τινες ἐπεχείρησαν τὸ

εὖτ' ὄρεος κορυφῆσι,

διὰ τοῦ ε̄ καὶ τοῦ ῡ γράφειν, τοῦ κατὰ φύσιν σχήματος ἀπαιτοῦντος τὴν διὰ τοῦ η̄ καὶ ῡ γραφήν. ἐγένοντο δὲ αἱ φωναὶ τῇδε. ἡ μὲν ηὗτε κατὰ τὸ ἀκριβὲς τὸ λόγου ὡς 1
οὐδεμία λέξις ἐστὶν ἁπλῆ, ἀλλ' οὐδὲ σύνθετος, ἐν παραθέσει δὲ τοῦ τέ συνδέσμου, νῦν παραπληρωματικοῦ καθεστῶτος. τό γε μὴν εὖτε ἓν ἁπλοῦν ἐστί, γενόμενον οὕτως· χρονικὸν ἐπίῤῥημα καὶ ἀναφορικὸν ἦν τὸ ὅτε, ὃ δὴ πλεονασμῷ τοῦ ῡ, κατὰ μετάθεσιν τοῦ ο̄ εἰς τὸ ε̄, εὖ- 1
τε ἐγένετο, καθότι τὸ ῡ ἐπεντιθέμενον ψιλοῦ πνεύματος αἴτιον γίνεται, ὥςπερ ἔχει τὸ ἕκηλος

εὔκηλος φορέοι·

τό τε εὖνις παρὰ τὴν ἑνός παρωνόμασται. τῇδε εἶχε καὶ τὸ προκείμενον ἐπίῤῥημα. Τοῖς εἰς ως περατουμένοις ἐπιῤ- 3
ῥήμασι συνυπάρχει ἐπιῤῥήματα εἰς α̅ λήγοντα, ὀξύτονα ἢ καὶ ἔτι βαρύτονα, περὶ ὧν τοῦ τόνου κατὰ τὸ ἑξῆς εἰρήσεται. οἷον τῷ πυκνῶς παράκειται τὸ πυκνά, ὅπερ καὶ ὁμοφωνεῖ πληθυντικῇ ἐκφορᾷ οὐδετέρᾳ, τῷ καλῶς τὸ καλά, τῷ καλλίστως τὸ κάλλιστα, σαφῶς σάφα, 4
ταχέως τάχα. καὶ δὴ τῷ ὡς παρακείσεται τὸ ά, τὴν αὐτὴν ἔχον σημασίαν τῷ ὡς, καὶ σχεδὸν τὴν αὐτὴν σύνταξιν. ὃν γὰρ τρόπον κατὰ πλεονασμὸν τῆς κατά προθέσεως λέγομεν καθώς, οὕτω καὶ καθά. ἀλλὰ μὴν καὶ

ὥςτε λέων ἐχάρη

φαμέν· τῇδε ἔχει καὶ τὸ

ἅτε παρθένος.

ὅτι γὰρ πάλιν ἐν δυσὶ μέρεσι λόγου, σαφὲς καὶ ἐκ τῆς

μεταλήψεως καὶ τοῦ πνεύματος, εἴγε τὸ ᾱ πρὸ τοῦ τ̄ καθ' ἓν μέρος λόγου ψιλοῦται, ἀτιμν, ἀτμν, ἀτμρός. οὐ μὴν ἀλλὰ καὶ παρὰ τοῦτο τὸ ἄ ἀποτελεῖταί τι ἕτερον τὸ ῇ, κατὰ μετάληψιν τοῦ ᾱ εἰς τὸ η̄. πάλιν γὰρ τῆς αὐτῆς συντάξεως ἐχόμενόν ἐστι τὸ

ἥτε ξείνων θέμις ἐστί,

καὶ δίχα τοῦ τέ συνδέσμου

ἢ θέμις ἐστίν,

ἐν ἴσῳ τῷ ὡς θέμις ἐστί. καὶ οὕτως φαμὲν τοῖς εἰς ως λήγουσιν ἐπιῤῥήμασι συνυπάρχειν τινὰ εἰς η̄ λήγοντα, συντονούμενα τούτοις, οὐδαμῶς οὐδαμῇ, πάντως παντῃ, ἄλλως ἄλλῃ, διχῶς διχῇ. ὀξυνομένῳ ἄρα τῷ ὡς [συν]οξυνθήσεται τὸ ῇ, ὅπερ, ὡς ἔφαμεν, ἐν τῷ

ἢ θέμις ἐστί.

τοῦτο ἐν πλεονασμῷ τοῦ ῡ ηὗτε, πάλιν ἀναγκαίως τοῦ η̄ ψιλωθέντος, καθ' ὃν εἴπομεν λόγον καὶ περὶ τοῦ εὖτε. καὶ σαφὲς ὅτι ὁ ἐγγενόμενος πλεονασμὸς ὡς ἕνωσιν τοῦ σχηματισμοῦ ἀπετέλει. ἔσθ' ὅτε γὰρ τὰ ἐπισυμβαίνοντα πάθη . . . [ἕνω]σιν τῶν μορίων ἀπετέλει, ὅτε καὶ τὸ τί ποτε ὑπὸ συγκοπὴν πεσόντα ἡνωται ἐν τῷ

τίπτε σὺ δὴ δείδοικας.

τούτῳ οὖν τῷ λόγῳ δοκεῖ καὶ τὸ ηὗτε ὡς ἡνῶσθαι. Ἀλλὰ κἀκεῖνο ἐπιλυθήσεται, τί δήποτε τὸ μὲν ηὗτε καὶ ἠῦτε λέγεται ἐν τρισὶ συλλαβαῖς,

ἠῦτε περ κλαγγὴ γεράνων πέλει,

πάλιν ἀναγκαίως τοῦ η̄ ψιλουμένου διὰ τὸ προηγεῖσθαι φωνήεντος· οὐ μὴν ἔτι τὸ εὖτε. πρὸς ὃ ἔστι φάναι, ὡς ἕνεκα μὲν τῆς τοῦ ῡ ἐπενθέσεως ἀναγκαία ἡ δισύλλαβος προφορά. τὸ γὰρ ῡ καὶ τὸ ῑ πλεονάζοντα μετὰ φωνήεντος εἰς μίαν συλλαβὴν συνδεῖ, ἔαδεν εὔαδεν, ἔκηλος εὔκηλος, καὶ παρὰ Αἰολεῦσι ναός ναυός, καὶ παρ' Ἴωσι νόσος νοῦσος, καὶ ἐπὶ τοῦ ἔρια εἴρια, ἕως εἴως. ἀναγκαίως οὖν καὶ τὸ ηὗτε ἀπὸ τοῦ ἥτε τὰς ἴσας συλλαβὰς τηρεῖ.

τῆς δὲ διαστάσεως ἀφορμή ἐστιν ἥδε. οὐκ ἔστιν ἐπινοῆσαι [τὸ η̄] καὶ τὸ ῡ ἐν μιᾷ συλλαβῇ, ὅτι μὴ ἐν κλίσει ῥήματος, αὐλῶ ηὔλουν, αἴχῶ ηὔχουν. ἀναγκαία ἄρα ἡ διάστασις τοῦ ἠῦτε. ἔγθεν γοῦν φαμὲν ἕνεκα μὲν μεταλήψεως τοῦ ᾱ εἰς η̄ κατωρθῶσθαι τὸ γρηῦς, ἕνεκα δὲ τοῦ τὴν τοιαύτην σύλλαβὴν μὴ εὑρίσκεσθαι διαστατικώτερόν φαμεν τὸ

γρηῦς ἀπηραιη·

ὅτι γὰρ ἐκ μονοσυλλάβου διήρηται, προῦπτον, διδάσκει δὲ καὶ ἡ γενική, δισυλλαβήσασα ἐν τῷ

γρηὸς ὀδυρομένης.

ἡ γὰρ εἰς η̄υς εὐθεῖα δισύλλαβος γενικὴν τρισύλλαβον ἀποτελεῖ, καθάπερ ἡ γένυς τῆς γένυος. ἀποτελεῖ δὲ δισύλλαβον γενικὴν τὴν γρηός· ὅπερ παρείπετο ταῖς μονοσυλλάβοις εὐθείαις. ἀπειράκις δὲ ἐδείχθη, ὅτι οὐ πρὸς τὰ παθη αἱ κλίσεις ἀπαρτίζονται, πρὸς δὲ τὰ ὁλόκληρα. Βραχεῖα δὲ ἀφορμή ἐστι τοῦ καὶ τὸ εὖτε παραλαμβάνεσθαι ἀντὶ τοῦ ἠῦτε. ὃν γὰρ τρόπον τὸ ὥς ἀντὶ τοῦ ὅτε,

Ἕκτωρ δ' ὡς Σκαιάς τε πύλας,

κατὰ τὸν αὐτὸν δὴ τρόπον οὐδὲν κωλύει καὶ τὸ εὖτ' ὄρεος, σημαῖνον τὸ ὅτε, παρειληφθαι ἀντὶ τοῦ ὡς.

Τρύφων φησὶν ὡς τᾷ εἰς ᾱ λήγοντα ἐπιῤῥήματα βραχυκατάληκτά ἐστιν· οὐ γεγράψεται ἄρα τὸ ΙΔΙΑ καὶ ΔΗΜΟΣΙΑ σὺν τῷ ῑ. Ἔστι δὲ πρὸς τὸ τοιοῦτον ὑπαντῆσαι, ὡς οὐ κατά τινα νόμον τὰ ἐπιῤῥήματα πάντως εἰς βραχὺ θέλει λήγειν. τί γὰρ ἐμποδὼν τοῦ καὶ εἰς μακρὰν λήγειν καὶ εἰς βραχεῖαν; καὶ γάρ τινα βραχυκατάληκτά ἐστιν, ὡς τὸ τῆλε καὶ ὀψέ, καὶ μακροκατάληκτα, ὡς τὸ ἔσω καὶ ἔξω· καὶ τῷ ῑ βραχεῖ, ὡς ἑλληνιστί, ἰαστί, ἀλλὰ καὶ εἰς μακρὸν τὸ ῑ, ἀκονιτί, ἀναιμωτί. οὐκ ἄρα ἀπόδειξις τοῦ ὅτι τὸ ἰδία σὺν τῷ ῑ οὐ γεγράψεται τὸ τἆλλα εἰς βραχὺ ᾱ λήγειν. καὶ γὰρ ἐπ' ὀνομάτων ἐνὸν τὸ τοιοῦτον εὑρέσθαι. μοῦσά φαμεν, ἀλλὰ καὶ

Ἀθηνᾶ καὶ σοφία. Ῥητέον οὖν ἑτέρῳ λόγῳ καὶ περὶ γραφῆς τῆς διὰ τοῦ ῑ. ἡ ἀπὸ τῶν ὀνομάτων σύμπτωσις εἰς τὰ ἐπιῤῥήματα, καθ᾽ οὓς λόγους ἐδείξαμεν ἐν ἀρχαῖς, πάντως μετὰ τῶν παρεπομένων ἔχει καὶ τὰς γραφὰς συνυπαρχούσας, καθάπερ τὸ ἀτρεκές, συνεμπεσὸν ὀνόματι, καὶ γραφὴν καὶ τόνον ἀπηνέγκατο, τὸ καλόν, τὸ εὐρύ, τὸ κάλλιστα, τὸ πυκνά· σχεδὸν ἐπὶ πάντων ὁ λόγος συμφωνεῖ, περὶ ὧν καὶ κατὰ τὸ ἑξῆς εἰρήσεται. ἔστιν οὖν τι δημόσιος, ᾧ παράκειται θηλυκὸν τὸ δημοσία, οὗ σύνταξις ἐπιῤῥηματικὴ ἐγίγνετο, δημοσία ἀπήχθη, ὡς εἰ δημοσίως τις ἀπήχθη. καὶ τοῦτο εἰ μὲν ἀπὸ τῆς εὐθείας τὴν σύνταξιν ἀνεδέξατο, δίχα τοῦ ῑ γεγράψεται· εἰ δὲ παρὰ τὴν δοτικήν, σὺν τῷ ῑ. εἰς ἐπίκρισιν οὖν τοῦ τοιούτου παραληπτέον λόγον ἀποδεικνύντα, πότερα παρὰ δοτικὰς ἢ εὐθείας τὰ τοιαῦτα. τὸ τοιοῦτον γὰρ παρέπεται οὐ μόνον τοῖς εἰς ᾱ λήγουσιν ὀνόμασιν, ἀλλὰ καὶ τοῖς εἰς ῃ λήγουσι μορίοις θηλυκοῖς. ἔστι τι ὄνομα οὐδαμός, ᾧ παράκειται ἐπίῤῥημα τὸ οὐδαμῶς καὶ οὐδαμόθεν, ᾧ ἀπὸ θηλυκοῦ πάλιν σχήματος ἐπίῤῥημα παράκειται τὸ οὐδαμῇ. καὶ εἰ μὲν ἀπὸ τῆς εὐθείας, ἐν ὀξεῖ τόνῳ καὶ δίχα τοῦ ῑ· εἰ δὲ οὐκ ὀξὺς ὁ τόνος, ὁ δὲ περισπώμενος, ὅς ἐστιν ἐν δοτικῇ, ὁμολόγως καὶ τόδε σὺν τῷ ῑ γεγράψεται, καθότι πάλιν συντονούμενον τῷ θηλυκῷ παράκειται καὶ τὸ ἄλλῃ. Ἔστι δὲ καὶ ἄλλως ἐπιδεῖξαι. παρὰ ἀντωνυμικὸν τὸ αὕτη γίνεται ἐπιῤῥηματική τις προφορά, ἣν οὔ φαμεν οὕτως, αὕτη ἄγωμεν, ταύτῃ δέ. καὶ προφανὲς ὡς ἡ πρόσθεσις τοῦ ῑ τὴν δοτικὴν ὁμολογεῖ, ᾧ λόγῳ καὶ τὸ τῇδε ἄγωμεν. Δέδεικται ἄρα ὅτι παρὰ δοτικὰς αἱ τοιαῦται ἐπιῤῥηματικαὶ προφοραί· εἰ δὲ παρὰ δοτικάς, δῆλον ὡς καὶ γεγράψεται σὺν τῷ ῑ. καὶ εἰ τοῦτο, καὶ τὸ ἰδίᾳ ἄρα καὶ δημοσίᾳ παρὰ δοτικάς, καὶ οὕτως τὰ ἐπιῤῥήματα γεγράψεται σὺν τῷ ῑ, οὐχ ὡς φησι Τρύφων διὰ τὸ μακρὸν ᾱ.

Τὰ εἰς ᾱ λήγοντα ἐπιῤῥήματα ἢ ὀξύνεται, ὡς δη-

θά, καναχηδά, πυκνά, ἢ βαρύνεται, ὡς τάχα, λίγα, ἄντα, πρῶτα. τὰ πρωτότυπα μόνως βαρύνεται, αἶψα, αὐτίκα, ὄφρα, ῥίμφα, μάλα, μέσφα, καὶ ὅσα παρ' ἐνεστῶτας τῶν ῥημάτων ἀποτελεῖται, ἠρεμῶ ἠρέμα, μίσγω μίσγα, ἀντῶ ἄντα, μινύθω μίνυθα καὶ μετὰ περισσοῦ τοῦ $\overline{\nu}$ μίνυνθα, ῥέω ῥέα· τὰ γὰρ εὐχερῶς γινόμενα ῥύσει ἔοικε. καὶ σαφὲς ὅτι τὸ 5

ῥέα μὲν γὰρ βριάει

ὁλόκληρον γέγονε, τὸ δὲ ῥεῖα ἐν πλεονασμῷ ἐστὶ τοῦ $\overline{\iota}$. σιγῶ σῖγα, ἀτρεμῶ ἀτρέμα. παραιτητέον οὖν τοὺς ἠξιωκότας ὀξύνειν τὸ 10

μίγδα ἄλλοισι θεοῖσιν,

ἐπεὶ τὰ εἰς $\overline{\delta\alpha}$ φασὶ λήγοντα ἐπιῤῥήματα ὀξύνεται, ὡς ἔχει τὸ

καναχηδὰ ῥέοντες 15

καὶ τὸ χανδά. ἔστι γὰρ πρὸς τὸ τοιοῦτον φάναι, ὡς ἰδού τινα. εἰς $\overline{\delta\alpha}$ λήγοντα καὶ βαρύτονά ἐστιν, ὡς τὸ ληκίνδα, ὀστρακίνδα, ὀνόματα παιδιῶν. ὡς καὶ τὰ ὀξυνόμενα συνυπάρχει τοῖς εἰς $\overline{\delta o\nu}$ περατουμένοις, καναχηδόν καναχηδά, αὐτοσχεδόν αὐτοσχεδά, χανδόν χανδά· τῷ 20 μέντοι μίγδα οὐ παράκειται ὁ τοιοῦτος σχηματισμός. ἢν οὖν ἐν πλεονασμῷ τοῦ $\overline{\delta}$, καθὼς καὶ ἡ ἄχερδος πλεονάζει καὶ ὁ δαίδαλος τῷ $\overline{\delta}$, παρὰ τὸ δαίω. καὶ ἐν ἐπιῤῥήματι δὲ τῷ ὑπόδρα δύναται πλεονασμὸς εἶναι τοῦ $\overline{\delta}$. εἰ γὰρ μὴ παραδεξαίμεθα ὅτι ἔνδειά ἐστι τοῦ $\overline{\xi}$, δύναιτο 25 ἂν παρὰ τὸ ὁρῶ ἀποτελεῖσθαί τι ὅρα καὶ ὑπόδρα μετὰ περισσοῦ τοῦ $\overline{\delta}$, ὅπερ οὐ πάντως ἐπιζητήσει τὸ $\overline{\varphi}$· καὶ γὰρ ἄλλα ἔστι τινά, ἃ οὐ μετέβαλε κατὰ συναλοιφὴν τὸ $\overline{\pi}$ εἰς $\overline{\varphi}$, ὡς ἥλιος - ἀπηλιώτης, ὡς τὸ

ἐπ' Ἡφαίστοιο θύρησιν, 30

ὡς

ἐπίστιόν ἐστιν ἑκάστῳ.

ἐν τοῖς προκειμένοις εἴρηται ἱκανῶς περὶ τοῦ ὑπόδρα.

τούτῳ γὰρ τῷ λόγῳ καὶ τὸ ληκίνδα ἐν βαρεῖ τόνῳ ἐστίν, οὐ συνυπάρχον τῷ εἰς δον λήγοντι ἐπιῤῥήματι.

Βαρύνεται καὶ ὅσα οὐκ ἐν ὁμοφωνίᾳ γίνεται πληθυντικῇ οὐδετέρων ὀνομάτων. παρὰ τὸ ταχύς ἐστιν ὄνομα πληθυντικὸν ταχέα, ἀφ᾽ οὗ ἐπίῤῥημα οὐχ ὁμόφωνον τὸ τάχα. λιγύς λιγέα λίγα, κρατύς κρατέα κράτα καὶ κάρτα. ὠκύς ὠκέα ὦκα. Διὸ καὶ σημειωτέον παρὰ τὸ θαμύς, ἀφ᾽ οὗ καὶ τὸ θαμέες καὶ πληθυντικὸν τὸ θαμέα, ὡς τὸ θ . . ταχέα τάχα. ὅπερ πάλιν διελέγχεται καὶ ἐκ τοῦ ἅμα, εἴγε δύναται ἐν ἐνδείᾳ εἶναι τοῦ θ· τὸ γὰρ πυκνῶς γινόμενον ὑφ᾽ ἕνα καιρὸν γίνεται. Τρύφων μέντοι τοὐναντίον φησίν, ὡς τὸ ἅμα ἐπλεόνασε τῷ θ, τῇ αὐτῇ ἐτυμολογίᾳ ἀρκούμενος. ἐπιστούμεθα δὲ τὸ θαμέα ἐντελέστερον διὰ τῆς τοῦ ὀνόματος παραθέσεως.

Βαρύνεται καὶ ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικῶν βαρυτόνων ὀνομάτων· ἡδύτατος, καὶ πληθυντικὸν ἡδύτατα, ἀλλὰ καὶ ἐπιῤῥηματικῶς τὸ ἡδύτατα. ὀρθῶς ἔχει τὸ κάλλιστα, ἔσχατα, ἥδιστα, πρῶτα.

Βαρύνεται καὶ ὅσα ἐκ μεταλήψεώς ἐστι τῶν εἰς θεν, ὅπερ ἐστὶ παρ᾽ Αἰολεῦσι καὶ Δωριεῦσι, περὶ ὧν καὶ τῆς μεταλήψεως ἐντελῶς ἐκτεθείμεθα. οὐ γὰρ ἐφικτὴ πᾶσα μετάθεσις τῶν εἰς θεν ληγόντων τοπικῶν εἰς τὸ ᾱ. οὐ γὰρ τὸ οὐρανόθεν οὐρανόθα φασίν, οὐδὲ τὸ ἄλλοθεν ἄλλοθα, τὸ δὲ ἔμπροσθεν ἔμπροσθα, ἔνερθεν ἔνερθα, ὄπισθεν ὄπισθα·

ὁ δ᾽ ἐξύπισθα κασταθείς·

πρόσθε πρόσθα· καὶ παρ᾽ Ἀλκμᾶνι οὕτω δεκτέον τὴν συναλοιφήν,

πρόσθ᾽ Ἀπόλλωνος Λυκήω.

Σαφές ἐστιν ὅτι καὶ τὸ ΈΝΘΑ τῇδε ἔχει, εἴγε τὰ μὴ οὕτως ἔχοντα τῶν εἰς θα ληγόντων ὀξύνεται, δηθά οι παρακείμενον εἰς θεν, τριχθά μέντοι καὶ τετραχθά. ἀλλὰ καὶ τὰ τῆς σημασίας ὧδε ἔχει. τὰ παρὰ πρόθεσιν πα-

ραγόμενα τῶν εἰς θεν ληγόντων κοινῇ χρῆται σημασίᾳ κατὰ τὴν τοπικὴν ἐκφοράν, εἴγε τὰ μὲν ἄλλα τὴν ἐκ τόπου σχέσιν σημαίνει, λέγω τὸ οἴκοθεν, οὐρανόθεν, ἃ δὲ ἔχει τὰς τρεῖς διαστάσεις. ὡς γὰρ καὶ ἐπ' ὀνομάτων ἔστι κοινότητα γένους παραδέξασθαι, οὕτω καὶ ἐπὶ τῶν προκειμένων ἐπιῤῥημάτων κοινότητα τὴν τόπων ἔστιν ἐπιδέξασθαι· [καὶ] καθάπερ ἔστιν ἐπινοῆσαι τῇ παραθέσει τῶν ἄρθρων διαστελλόμενα τὰ κοινά, οὕτω καὶ τῇ παραθέσει τῶν προθέσεων τὰ προκείμενα διαστέλλεται. φαμὲν γὰρ ἐκ τοῦ ἔμπροσθεν-εἰς τὸ ἔμπροσθεν, ἐκ τοῦ ὕπερθεν - εἰς τὸ ὕπερθεν, τῶν ἄλλων ἐπιῤῥημάτων τὸ τοιοῦτον οὐκ ἀναδεχομένων. καὶ δὴ παρὰ τὴν ἔν πρόθεσιν ἦν τι ἐπίῤῥημα ἔνθεν, ὃ δὴ ὤφειλε τρεῖς ἔχειν διαστάσεις τοπικάς. καὶ ἐπειδὴ ἅπαξ Δωρικώτερον τὸ ἔνθεν εἰς τὸ ᾱ μετετίθετο, καὶ ἦν κοινότερον διαλαμβανόμενον τὸ ἔνθεν, ἐμερίζετο μὲν τῇ συνεκδρομῇ τῶν εἰς θεν ληγόντων τὸ ἔνθεν εἰς τὴν ἐκ τοῦ τόπου σχέσιν, εἶχε δὲ τὰς ὑπολοίπους δύο σημασίας ἐγκειμένας ἐν τῷ ἔνθα. διὰ τοῦτο τὸ ἔνθα καὶ εἰς τὸν τόπον σημαίνει καὶ ἐν τόπῳ,

ἔνθα μὲν Αἴας κεῖται,
ἔνθα κατεπλέομεν.

δέδεικται ἄρα ἀναλόγως βαρυνόμενον τὸ ἔνθα.

Βαρύνεται καὶ ὅσα ἀντιμεταλαμβάνεται ἑτέροις ἐπιῤῥήμασι, σχεδὸν ὑπὸ τὸν λόγον τῶν πρωτοτύπων παραλαμβανόμενα. τῷ ἔμπης παράκειται τὸ ἔμπα,

ἔμπα γε μὴν ἴθι δεῦρο.

ὅτι γὰρ καὶ σύνδεσμός ἐστιν ἐναντιωματικὸς τὸ ἔμπης καὶ ἐπίῤῥημα, δείκνυται ἐν τῷ περὶ συνδέσμων· ᾧ λόγῳ καὶ ἄλλα συνεμπίπτει ἐν συνδέσμοις καὶ ἐπιῤῥήμασι. τὸ ὄφρα σύνδεσμος, ἀλλὰ καὶ ἐπίῤῥημα. οὕτως ἔχει καὶ τὸ ὅπως. καὶ τὸ ἵνα δὲ τοπικὸν ἐπίῤῥημά ἐστιν,

ἵνα τ' ἔτραφεν ἠδ' ἐγένοντο,

καὶ σύνδεσμος αἰτιολογικός, καὶ ἔτι ἀποτελεστικός. καὶ τῷ μάλα δὲ τὸ μᾶλλον ἀντιπαράκειται. ἴσως δὲ καὶ τὸ ἦκα, τὴν αὐτὴν ἔχον ἀντιμετάληψιν, ἐν ὑπερβατῷ ἐστὶ τοῦ φωνήεντος, ἀναγκαίως τοῦ ν̄ ἀποστάντος, καθότι καὶ ἐπὶ τοῦ πρόσθεν πρόσθα, ἔνερθεν ἔνερθα. 5

Τῇ αὐτῇ ἀκολουθίᾳ σκεπτέον καὶ περὶ τοῦ ΟΥΔΑΜΑ. Ὀξύνεται τὰ εἰς ᾱ λήγοντα ἐπιῤῥήματα, ὡς πρόκειται, εἰς θᾱ λήγοντα. οὐκ ἐκ μεταθέσεως ὄντα τοῦ θεν. ὀξύνεται καὶ τὰ ἐν ὁμοφωνίᾳ οὐδέτερα πληθυντικά. παρὰ τὸ πυκνός πληθυντικὴ προφορὰ γίνεται οὐδετέρα 10 πυκνά, ᾧ σύνεστι πάλιν ὁμόφωνον ἐπίῤῥημα τὸ πυκνά. οὕτως ἔχει καὶ τὸ δεξιά καὶ ἀριστερά, σημαίνοντα τὸ δεξιῶς καὶ ἀριστερῶς. τοιοῦτόν ἐστι καὶ τὸ καλά, ὃ δὶ ἑνὸς μὲν ἰ̄ γράφεται κατὰ τὸ κοινὸν ἔθος, παρὰ Δωριεῦσι δὲ δὶ ἑτέρου ῑ, καὶ οὐχ, ὡς ἔνιοι ὑπέλαβον, κατ' Αἰο- 15 λίδα διάλεκτον· ἐβαρύνετο γὰρ ἄν, πρὸς οἷς οὐδὲ τὸ καλός Αἰολεῖς ἐν διπλασιασμῷ τοῦ ἰ̄ προφέρονται. πίστις δὲ τοῦ τὴν συνέμπτωσιν τοῦ τόνου ἐπικρατεῖν τῶν προκειμένων ἐπιῤῥημάτων τὸ βαρυνθῆναι τὸ πυκνά ἐνδεῆσαν τῷ ν̄, καθὸ ἐξέκλινε τὴν ὁμοφωνίαν. Καὶ οὐ δεῖ 20 ἀπορεῖν, διὰ τί παρὰ τὸ σαφῶς τὸ σάφα ἐβαρύνθη, παρὰ δὲ τὸ καλῶς οὐκέτι τὸ καλά· ὃ μὲν γὰρ τῇ ὁμοφωνίᾳ ἐκρατεῖτο τῇ πρὸς τὸ καλῶς, ὃ δὲ οὐ τῇδε εἶχε. καὶ τὸ οὐδαμά δέ, παρακείμενον τῷ οὐδαμῶς, ἔχοιτο ἂν τοῦ κατὰ τὸ τέλος ὀξέος τόνου λόγῳ [τοιῷδε.] οὐκ ἔστιν ὅμοι- 25 ον τὸ σαφῶς τῷ οὐδαμῶς, ἵνα ὅμοιον τῷ σάφα τὸ οὐδαμά κατὰ τάσιν καθίστηται. παράκειται μὲν γὰρ τὸ σαφῶς τῷ σαφής, οὗ τὸ οὐδέτερον πληθυντικὸν οὐκ ἔχει συνέμπτωσιν ἐν τῷ σάφα· τὸ μέντοι οὐδαμῶς παράκειται τῷ οὐδαμός. πίστις δὲ τὸ τὰ εἰς θεν λήγοντα ἐπιῤῥήματα 30 καὶ τῷ ο̄ παρεδρευόμενα ἢ ἀπ' εὐθειῶν τῶν εἰς ος λη- γουσῶν παρῆχται ἢ γενικῶν τῶν εἰς ος, Λεσβόθεν, οὐ-

ρανόθεν, Διόθεν. ἔστιν οὖν καὶ τὸ ἀμόθεν, καὶ ἔτι τὸ οὐδαμόθεν ἀπὸ τοῦ οὐδαμός. ὁμολόγως οὖν τὸ μὲν οὐδαμῶς περισπᾶται. καὶ ἔτι παρὰ Ἐπίκουρον τὸ ἀμῶς γέ πως, σημαῖνον κατά τινα τρόπον, ἀπὸ ὀξυτόνου τοῦ ἀμός. ἐπεὶ καὶ πόθεν περιεσπᾶτο [τὸ] ἀμῶς, εἰ μὴ παρέκειτο ὀξεῖα τάσις, καθὸ καὶ τῷ καλῶς τὸ καλός παράκειται; τοῖς δὴ τοιούτοις συμπαράκειται ἐπιῤῥήματα ὀξυνόμενα, εἰς ᾱ λήγοντα, πυκνός πυκνῶς πυκνά, καλός καλῶς καλά. ὑγιὴς ἄρα ἡ τάσις κατὰ τὴν ὀξεῖαν ἐν τῷ οὐδαμά. 10

Ἑξῆς ῥητέον ἐστὶ καὶ περὶ τοῦ Ῥ. Ἀλκμάν·

τίς ἄν, τίς ποκα ῥὰ
ἄλλω νόον ἀνδρὸς ἐπίσποι;

ὅπερ ἐν πάθει προφανεῖ ἐστίν· ἡ γὰρ μακρότης τοῦ ᾱ ἀλλοτρία τῆς προλελεγμένης καταλήξεως. οὐδὲ γὰρ ἐκεῖνο 15 ἔστι φάναι, ὅτι διὰ μονοσυλλαβίαν ἐξετείνετο τὸ ᾱ, εἴγε καὶ ἕτερον ἔστιν ἐπινοῆσαι βραχυκατάληκτον μονοσύλλαβον, τὸ ἄ, παρακείμενον τῷ ὡς, ὁμοφωνοῦν τε πληθυντικῇ προφορᾷ τῇ παρὰ τὸ ὅς, ἄ, ὡς πυκνός πυκνά· ὑπὲρ οὗ κατὰ τὸ προκείμενον εἴρηται, ἐν ᾧ διει- 20 λήφαμεν καὶ περὶ τοῦ ηὗτε καὶ πεσατε. οὐδὲ μὴν ἐκεῖνο ἔστι παραδέξασθαι, ὡς ὅμοιόν ἐστι τῷ ἰδίᾳ καὶ δημοσίᾳ, καθ' [οὗ] συνεμπίπτει ὀνόματι, καθάπερ καὶ τὰ προκείμενα. ἔστι γε μὴν περὶ τῆς γραφῆς ἐπιστῆσαι, εἰ καὶ σὺν τῷ ῑ γεγράψεται τὸ ῥά· οὐδὲ γὰρ ἡ τῶν ἀν- 25 τιγράφων παράδοσις ἐξωμάλιστο. ἀφορμὴ μὲν οὖν ἐγίνετο τοῦ δίχα τοῦ ῑ γράφεσθαι τὸ προκείμενον ἐπίῤῥημα ἡ τοῦ ῥέα συναλοιφή, τοῦ ῑ καὶ ᾱ εἰς μακρὸν ᾱ συνηρημένων. ἣν οὐ παραδεξαίμεθ' ἄν, κατὰ πρῶτον μὲν λόγον, καθότι οὐ περισπᾶται, καὶ καθὼς εἴπομεν, 30 ὅτι καὶ πρόσθεσίς ἐστι τοῦ ῑ· κατὰ δὲ δεύτερον διαπορήσειέ τις, ποίῳ λόγῳ Αἰολεῖς τὸ β̄ προσέθηκαν. μήποτε οὖν γραπτέον σὺν τῷ ῑ, τῆς καταστάσεως οὕτως ἐχού-

ῳς. ὃν τρόπον τῷ ὄπισθεν τὸ ὀπισθίδιος παράκειται, ἔμπροσθεν ἐμπροσθίδιος, μαψίδιος, ἀΐδιος, οὕτως παρὰ τὸ ῥέα ἦν τι ῥεΐδιος, ὃ παρὰ τοῖς Ἴωσιν ἐγένετο ῥηΐδιος, ἀφ᾽ οὗ καὶ ἐπίρρημα ῥηϊδίως ὡς μαψιδίως. ἀφ᾽ οὗ ἔπιπτεν, ἐκ μεταθέσεως τοῦ η εἰς τὸ α, ῥαΐδιος καὶ ῥαϊδίως, ἀφ᾽ οὗ κατὰ συναίρεσιν τὸ ῥᾳδίως, καθὰ καὶ ἐν ὀνόμασι τὸ ῥαΐδιος καὶ ῥᾴδιος, καὶ Λάϊος καὶ Λᾷος. καὶ ὃν τρόπον ἦν τι πάλιν ὄνομα τὸ λήϊος, ἀφ᾽ οὗ λάϊος καὶ λάϊον καὶ λάϊα καὶ ἐν συναιρέσει πάλιν τοῦ α λᾷα, τίς μοι τὰ λᾷα ἐκτίλλει, Σώφρων, καὶ σὺν τῷ ι γράφεται, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ προκείμενον σχῆμα ἦν τὸ αὐτὸ πάθος ἀναδεδεγμένον, ἀφ᾽ οἷ τὸ κατὰ ἀποκοπὴν ῥᾷ ἐγένετο, καθὸ καὶ τὸ βριθύως μὲν ἐντελές, παρακείμενον τῷ βριθύς, καὶ ἐν ἀποκοπῇ βρί. ὅτι γὰρ καὶ δύο συλλαβῶν ἀποκοπαὶ γίνονται, ἐν τῷ περὶ παθῶν ἐδείχθη. τό τε γὰρ πρόπαρ οὕτως ἔχει, καὶ τὸ μάκαρ, πηδᾶ, καὶ τὸ ὑμέν παρὰ Καλλιμάχῳ. Καὶ τούτῳ γε τῷ λόγῳ καὶ τὰ τοῦ τόνου εὐκατάστατα γίνεται, καὶ ἔτι τὰ τῆς γραφῆς, καὶ ἔτι τὸ ἠπορημένον πρὸς τῶν Αἰολέων. μὴ γὰρ ἄλλοτε Αἰολεῖς προστίθενται τὸ β τῷ ρ, εἰ μὴ τὸ δ ἐπιφέροιτο κατὰ τὴν ἑξῆς συλλαβήν, ἢ τὸ συγγενὲς ζ, ἢ τὸ συμπαθέστερον τ· ἅπαξ γὰρ τοῦ κ ἐπιφερομένου ἡ πρόσθεσις ἐγίνετο. διὰ τοῦτο βρόδον φασὶ καὶ βρίζα καὶ βρυτῆρες, οὐ μὴν τὸ ῥέω ἔτι βρέω φασίν, οὐδὲ ἄλλο τι τῶν τοιούτων. πρόδηλον οὖν ὡς ὁμόλογος ἥ τε ἀποκοπή — οὐ γὰρ ἡ πρόσθεσις παρείπετο, εἰ μὴ δυνάμει ἐπεφέρετο τὸ δ, εἴγε καὶ ἀποκοπαὶ ὑπομνήσεις ἔχουσι τῶν ἀποκεκομμένων συλλαβῶν — οὐδέν τε ἐμπόδιον ἐπιγινομένου τοῦ βραιδίως τὴν ἀποκοπὴν γενέσθαι δεύτερον. διὰ τῶν προκατειλημμένων λόγων καταλάβοιτο ἄν τις, ὅτι οὐδὲ τὸ α, σημαῖον εὐχὴν ἐν τῷ απα . . . οὐκ ἔστιν ὁλόκληρον. ὡς γὰρ ἔφαμεν, οὐκ ἔστιν ἐν μα[κρῷ τῷ α] τὰ εἰς α ληγοντα ἐπιῤῥήματα. ἰδοὺ γὰρ καὶ τὸ

ἅ . . . . ἐν μονοσυλλαβίᾳ ἐφύλαξε τὴν βραχύτητά, λεγόμε[νον] ὁτὲ μὲν μετὰ συνδέσμου,

ἅτε παρθένος,

ὁτὲ δὲ μετὰ προθέσεως, καθά, καθάπερ, καθότι καὶ τὸ ἰσοδυναμοῦν,

ὥστε λέων ἐχάρη,

καθώς. ἔστιν οὖν ἐν ἀποκοπῇ τοῦ βάλε. ὅτι δὲ καὶ δύο συλλαβῶν ἀποκοπὴ γίνεται, ἐντελῶς ἐν τῷ περὶ παθῶν παρεστήσαμεν. ἐντεῦθεν γὰρ ἂν καὶ τεκμήραιτό τις, ὡς οὐδ' ἐντελές ἐστι τὸ βάλε,

βάλε δή, βάλε κηρύλος εἴην,

καθώς τινὲς ᾠήθησαν, ὅπερ ἐπλεόνασεν ἐν τῷ ἄβαλε, καθὸ οὐδέποτε πλεονασμὸς λέξεως λείπεται εἰς τὸ δηλούμενον τῆς λέξεως, οὐδὲ γὰρ τοῦ ἀσταφὶς εἰς τὸ ᾱ ποτὲ μεταληφθὲν σημαίνει τὸ τοιοῦτον, οὐδὲ τῷ ἔειπε τῷ ε̄. τὰ μέντοι ἐντελῆ ὄντα, καὶ ἀποκοπτόμενα καὶ ἀφαιρούμενα, φυλάσσει τὸ δηλούμενον· τῶν γὰρ φωνῶν τὰ πάθη, καὶ οὐ τῶν σημαινομένων. ἀποκοπὲν τὸ δῶ σημαίνει τὸ δῶμα· ἀφαιρεθὲν τὸ ἐθέλω τοῦ ε̄, τὸ αὐτὸ σημαίνει τὸ θέλω, καὶ ἔτι προσαφαιρεθὲν ἐν τῷ λῶ. ὁ λόγος καθολικός, χωρὶς εἰ μὴ ὑπ' ἀμφιβολίαν πέσοι, δι' ἣν καὶ τὰ λοιπὰ τῶν λέξεων ἀπολύεται διὰ τῶν συμφερομένων. τὸ ἄρα ἄλφα ἀπεκόπη διὰ τὸ ἐν αὐτῷ δηλούμενον, καὶ τὸ βάλε ἀφαίρεσιν διὰ τὸ ἐν λεκτῷ καταλιμπάνεσθαι τὸ ᾱ.

Τὰ εἰς ᾱν λήγοντα ἐπιῤῥήματα ἐν μακρῷ ἐστὶ τῷ ᾱ, τάσει δὲ βαρείᾳ, ὡς ἔχει τὸ λίαν, ἄγαν, πέραν. δεδείξεται γὰρ τὸ ὅταν, ὅτι δύο μέρη λόγου ἐστίν, ἔκ τε τοῦ ὅτε ἐπιῤῥήματος καὶ τοῦ ἄν συνδέσμου, ἐν ᾧ δεδείξεται, πότε καὶ ἀνταποδοτικῷ χρῆται ὁ ποιητὴς τῷ τότε, καὶ πότε ἔγκειται ὁ ἄν σύνδεσμος, λέγω ἐν παραπληρωματικῷ, καὶ πότε οὔ. Ἀλλ' οὐδὲ τὸ πάμπαν ἄλογον ἂν εἴη διὰ τὴν συστολὴν τοῦ ᾱ· ἅπαντα γὰρ τὰ ἐξ

ὀνομάτων μεταλαμβανόμενα εἰς ἐπιῤῥηματικὴν σύνταξιν, τὴν φωνὴν τοῦ ὀνόματος φυλάσσει, ὡς ἔχει τὸ εὐρύ, τὸ ἀτρεκές, τὸ πυκνά, τὸ καλά, τὸ ἰδία, τὸ δημοσίᾳ, ἄλλα πάμπολλα. ᾧ λόγῳ οὐδὲ τὸ πρόπαν ὠλιγώρηται ἢ σύμπαν· πάλιν γὰρ ἀπὸ ὀνοματικῆς συντάξεως εἰς ἐπιῤῥη- 5 ματικὴν ἐχώρησεν. ἔτι τὸ πᾶν μονοσύλλαβον μὲν ὂν ἐν ἐκτάσει τοῦ ᾱ ἐστίν, ὑπὲρ μίαν δὲ συλλαβὴν καθεστηκός, εἴτε καὶ κατὰ σύνθεσιν εἴτε καὶ . . . ειαν τοῦ ἐλλείποντος ᾱ ἐν συστολῇ. σύμπαν, πρόπαν, ἅπαν· ὅπερ ἀνεδέδεκτο καὶ τὸ ἐπίῤῥημα ἐν τῷ πάμπαν. 10

Ὁ αὐτος λόγος παρακολουθήσει, ὡς ἕνεκά γε τοῦ τόνου, καὶ ἐπὶ τοῦ ὤΤΑΝ, τὴν μὲν μακρότητα τοῦ ᾱ φυλάξαν, οὐ μὴν τὴν τάσιν. καὶ κατ᾽ ἄλλον δὲ λόγον ἐπιστάσεως ἔτυχε, καθὸ διτονεῖ. γεγενῆσθαι δὲ οἱ μὲν παρ᾽ ἑταιρικὴν ἐκφώνησιν, ὡς Δίδυμος ἔφη, καὶ παρα- 15 λαμβάνει αὐτὸ παρὰ τὸ ἔτης μετὰ μορίου τοῦ ὦ κλητικοῦ. Πρὸς ὃν φησι Τρύφων, ὡς τὰ τῆς κλητικῆς οὐ κατασταίη· βραχὺ γὰρ καὶ βαρὺ τὸ ᾱ ἀπαιτεῖ, ὥσπερ καὶ τῷ δώτης τὸ δῶτα παράκειται, θύτης θῦτα. αὐτός γε μήν φησιν, ὡς τὸ ὦ μόριον ἐπεκταθὲν διὰ τοῦ τα 20 ἐποιεῖτο καὶ κλητικὸν ἐπίφθεγμα, καθότι καὶ τῷ δή τὸ δῆτα παρέκειτο· καὶ διὰ τὴν ἀντέμφασιν τὴν πρὸς τὰ ὦτα τὸ ν προσεληλύθει. Δῆλον δὲ ὅτι οὐδὲ αὐτὸς κατέστησεν οὔτε περὶ χρόνου οὔτε περὶ τόνου. οὐ γὰρ περὶ συστελλομένου τοῦ ὦταν ἡ ζήτησις, περὶ δὲ τοῦ [ἐκ-] 25 τείνοντος τὸ ᾱ καὶ περὶ τοῦ διτονοῦντος. πῶς δὲ οὐ γελοῖον αἰτεῖσθαι διὰ τὰς συνεμπτώσεις προσθέσεις συμφώνων ἢ ἀφαιρέσεις, ὅτε σχεδὸν πᾶσα λέξις ὑπὸ ἀμφίβολον πίπτει, καὶ οὐ πάντως διὰ τὰς συνούσας ἀμφιβολίας δεῖ προσνέμειν ἢ ἀφαιρεῖν σύμφωνα ἢ φωνήεντα. οὐδὲ γὰρ 30 αἰτησάμενος τὸ μὴ διδόμενον, κατέστησε τὸ ἐπίῤῥημα. Ἔνιοι μὲν οὖν ἀξιοῦσι τὸ ὠτᾶν Δωρικώτερον εἶναι γενικῆς πληθυντικῆς, νοουμένης ἐπὶ τῶν συνήθων, ὡς εἴ τις

καὶ ταῦτα πάντα εἰς ζῶ περατούμενα. καὶ καθὼς ἀπὸ μιᾶς συζυγίας τῶν ῥημάτων μία σχεδὸν καὶ ἡ συζυγία τῶν ἐπιῤῥημάτων. εὔλογόν τε καὶ τὸ διηλλαγμένον τοῦ ἐπιῤῥήματος συνδιηλλάχθαι τῷ πρωτοτύπῳ. οὐ γὰρ πιθανὸν παρὰ τὸ Ἕλλην τὸ ἑλληνιστί, μᾶλλον δὲ παρὰ τὸ ἑλληνίζω· παρὰ γοῦν τὸ Θρᾷξ πάλιν, διάφορον κατὰ τὴν κατάληξιν ὄν, οὐκ ἂν τὸ αὐτὸ παρακολουθήσειε, θρᾳκιστί, παρὰ δὲ τὸ θρᾳκίζω, τῆς αὐτῆς πάλιν ἐχόμενον συζυγίας. οὕτως ἔχει παρὰ τὸ δωρίζω δωριστί καὶ αἰολιστί, βαρβαριστί, μηδιστί, συριστί, σκυθιστί. καὶ ἐπεὶ ἅπαξ τὸ ἰάζω συνεκόπη ἐκ τοῦ ἰωνίζω, ἦν καὶ τὸ συνὸν ἐπιῤῥῆμα συμμετειληφὸς τοῦ πάθους, ἰαστί. καὶ σαφὲς ὅτι πάλιν τὸ ἰωνιστί τῷ ἰωνίζω παρέκειτο. Τούτοις δὴ ἐπιστήσας ὁ Τρύφων ἐζήτει περὶ τοῦ μεγαλωστί, ἱρωστί παρὰ Ἀνακρέοντι, καὶ ἔτι τοῦ παρὰ Ἀθηναίοις νεωστί, ὅπερ οὐκ ἀπιθάνως τῇ παρὰ Ἀθηναίοις συνήθει ἐπεκτάσει ἐξέτεινε τὸ ῑ. ἔδει γάρ φησι παρὰ τὸ μεγαλίζω μεγαλιστί, νεανίζω νεανιστί· καὶ δῆλον ὅτι καὶ τὸ ἱρωστί παρά τι τῶν εἰς ζῶ ληγόντων ῥημάτων. Πρὸς ὃν ἔστι φάναι, ὅτι πολλάκις καὶ ἐκ διαφόρων μερῶν λόγου αἱ αὐταὶ παραγωγαὶ γίνονται. παρὰ ῥῆμα τὸ αἰτῶ γίνεται τὸ αἰτίζω, καὶ παρ᾽ ὄνομα τὸ βάρβαρος τὸ βαρβαρίζω· ἔστι δὲ ὅτε καὶ παρ᾽ ἐπιῤῥήματα, ὡς αἰαί αἰάζω. οὐδὲν οὖν κωλύει καὶ τὰ προκατειλημμένα τὰ μὲν παρὰ ῥῆμα εἶναι, τὰ δὲ ὡς ἠλογημένα ἀπὸ ἐπιῤῥημάτων παρῆχθαι τῶν εἰς ῶς περατουμένων, ὥστε ἐν προσθέσει τοῦ τι ἀποτελεῖσθαι, μεγάλως μεγαλωστί, νέως νεωστί, ἱερῶς ἱερωστί.

Ἐδείξαμεν ἐν τοῖς περὶ τοῦ ἀέκητι, ὡς τὰ μὴ ὑποπίπτοντα ὑπὸ τόνδε τὸν λόγον πίπτει ὑπὸ βαρεῖαν τάσιν, αὖθι, ἶφι. διὰ τοῦτο εὐμαρῶς τὰ τοιαῦτα καὶ τ . . . πολλάκις, τετράκις. τὸ δὲ δίς καὶ τὸ τρίς οὐκέτι ἐπ . . . εἰς ὀξεῖαν προάγεσθαι. ἕνεκα τούτου

μοι

μοι δοκεῖ καὶ τὸ χωρίς, ἀποβαλὸν τὸ σ̄ οὐ δεόντως, ἀνα-
λόγως βεβαρύνθαι ἐν τῷ

χῶρι διατμήγουσιν·

ἀναλογώτερά τε τὰ τοιαῦτα εἴη ἐν βαρείᾳ τάσει, ἦχι,
ναίχι, τοῦ οὐχί ὀξυνομένου, 5

οὐχὶ μεθίει.

τούτῳ γὰρ τῷ λόγῳ καί τινες ἀνέγνωσαν τὸ

πρωῖ δ' ὑπ' ἠοίῃ

ἐν βαρείᾳ τάσει. ἀνάλογος γὰρ καὶ ἡ παρ' Αἰολεῦσι βα-
ρεῖα τάσις, λέγω δὲ τοῦ 10

ὄψι γὰρ ἄρξατο,

ἀφ' οὗ τὸ ὀψιμαθής· οὐ γὰρ ὑγιὴς ἡ τοῦ ὀψέ τάσις, ὡς
δεδείξεται ἐν τῷ περὶ τῶν εἰς ε̄ ληγόντων ἐπιῤῥημάτων.

Βαρύνεται καὶ ὅσα συνυπάρχει τοῖς εἰς θ̄εν λήγουσιν
ἐπιῤῥήμασιν, οἴκοθεν οἴκοθι, οὐρανόθεν οὐρανόθι, αὐτό- 15
θεν αὐτόθι, πόθεν πόθι, ἀγχόθεν ἀγχόθι· ἅπερ φυλάσσει
τὸ θ̄, συνόντος τοῦ ο̄ κατὰ τὴν παρεδρεύουσαν ἢ τοῦ σύ-
νεγγυς ω̄, ὡς ἑτέρωθι, ἑκατέρωθι. τὰ γὰρ μὴ τῇδε ἔχοντα
πάλιν μὲν βαρύνεται, ἀντί γε μὴν τοῦ θ̄ τὸ σ̄ παρα-
λαμβάνεται, Ἀθήνηθεν Ἀθήνησιν, Θήβηθεν Θήβησιν, 20
Πιτάνηθεν Πιτάνησιν. Διὸ καὶ σημειώσαιτο ἄν τις τὸ
ΚΕΙΘΙ. ἀλλ' ἦν γε ὑπὲρ τούτου φάναι, ὡς τὰ πεπονθότα
οὐ τῷ ἐγγινομένῳ πάθει τὸ ἀκόλουθον ἀποτελεῖ, τῇ δὲ
τοῦ ὁλοκλήρου προφορᾷ, ὡς ἐπ' ὀνομάτων τὰ συνῃρημέ-
να κατὰ τὰς εὐθείας οὐ τῷ συνῃρημένῳ κατὰ τὰς κλί- 25
σεις ἀκολουθεῖ, τῷ δὲ ὁλοκληροτέρῳ· ὡς ἐν διαλέκτοις τὸ
χαρίης καὶ τὰ τοιαῦτα οὐ τῇ λέξει τῶν εἰς ης̄ ληγόν-
των ἠκολούθησεν, τῇ δὲ πρωτοτύπῳ προφορᾷ· ὡς ἐν
πρωτοτύποις πλεονασμοῖς, ἡνίκα τὸ β̄ σύνεστι τῷ ρ̄
παρ' Αἰολεῦσι συνεχέστερον ἐπιφερομένου τοῦ δ̄ ἢ τοῦ 30
τ̄ καὶ ἔτι τοῦ κ̄, καὶ ἕνεκα τούτου τὸ ῥά τὸ β̄ προς-
ιλάμβανεν, οὐ τῷ πάθει ἀρκούμενον τοῦ σχήματος,
τῷ δὲ ἐντελεῖ ῥᾳδίως. τὸ τοιοῦτον ἐπ' ἄλλων ἀπείρων

ἔστι παραστῆσαι. καὶ δὴ καὶ τὸ κεῖθι οὐκ ἔχει φύσει τὴν παρεδρεύουσαν διὰ τοῦ η, διὰ δὲ τοῦ $\overline{\text{νο}}$. ὡς γὰρ παρὰ τὴν τούτου τουτόθεν τι γίνεται καὶ παρὰ τὴν αὐτοῦ αὐτόθεν, οὕτως καὶ παρὰ τὴν ἐκείνου ἐκεινόθεν. ἔφαμεν δὲ τὸ ō αἴτιον γίνεσθαι τῆς μονῆς τοῦ $\overline{\vartheta}$, καὶ εἰ οὐκ ἐπικρατεῖ τὰ πάθη, ἀναγκαία ἡ μονὴ τοῦ $\overline{\vartheta}$.

Ὁμοίως καὶ τὰ διὰ τοῦ $\overline{\varphi\iota}$ παραχόμενα βαρείας ἔχεται τάσεως, λέγω περὶ τοῦ ἦφι βίηφι, οὐρανύφι, ἅπερ ἔσθ' ὅτε καὶ σὺν τῷ $\overline{\nu}$ λέγεται, πασαλόφιν, ἀριστερόφιν, δεξιόφιν . . . ἔτι ἄλλα πλεῖστα μόρια τοιαῦτά ἐστι, καὶ Αἰολικαὶ ἀντωνυμίαι, ἄμμι - ἄμμιν, τὰ τρίτα πρόσωπα, ἔχουσι - ἔχουσιν, λέγουσι - λέγουσιν, αἱ δοτικαὶ πληθυντικαί, παισί καὶ παισίν.

Τὰ δὴ προκείμενα παρὰ πᾶσιν ὑπείληπται ὡς ἐπιῤῥήματα εἶη, ὧν ἐστι καὶ Τρύφων. διὸ καὶ αὐτοί φαμεν, ὡς ἕνεκα τῆς παραγωγῆς εἶναι τὴν βαρεῖαν· ὡς ἕνεκα δὲ τῆς ἀκριβοῦς παραδόσεως, μήποτε παραγωγαί εἰσι κατὰ τοῦ αὐτοῦ δὴ δηλουμένου παραλαμβανόμεναι. Φησὶν οὖν ὁ Τρύφων τὸ τηνικαῦτα αὐτὰ παράγεσθαι εἰς τὴν ταυτότητα, ἐπὰν ἡ φωνὴ ἡ τοῦ πρωτοτύπου ὁλόκληρος καθεστήκῃ, ὡς ἐν τῷ ἦφι βίηφι· εἰ δὲ μὴ τῇδε ἔχει, τὸ τηνικαῦτα ἐπιῤῥηματικῆς ἔχεσθαι συντάξεως τὰ μόρια, ὡς ἐπὶ τοῦ χαλκόφι χαλκός. ἰδοὺ γάρ φησιν αἱ παραχθεῖσαι γενικαὶ ἔχουσι τὸν ἀριθμὸν εὐδιάκριτον, ἡ καλοῖο, ἡ Ἀτρείδαο· τὸ δέ φησι κατ' ὄρεσφι τί μᾶλλον κατ' ὄρους ἢ κατ' ὀρῶν; ἴδιον δὲ τὸ μὴ διακρίνειν ἀριθμὸν ἐν συντάξει ἐπιῤῥήματος. κατὰ δὴ ταύτην τὴν ἔννοιαν ἀπεφαίνετο τὰ τοιαῦτα ἐπιῤῥήματα εἶναι. Ἔστι μέντοι, ἀναλαβόντα τὸν λόγον, ἐκεῖνο φάναι, ὡς πρῶτον παρὰ Σικυωνίοις ἐν γενικῇ ἀπειράκις παραλαμβάνεται· καὶ ὡς τὸ ἀπὸ χαλκόφι τὴν ἀπὸ χαλκοῦ γενικὴν σημαίνει, οὐχὶ χαλκῶν, οὕτω καὶ τὸ κατ' ὄρεσφιν οὐκ ἄλλο τι σημαίνει ἢ τὴν κατ' ὄρους. πρός τε τὸν

ἀπὸ τῆς φωνῆς λόγον, ὡς πάνυ ἐστὶ βέβαιον τὸ διὰ τῆς μονῆς τῆς τῶν πρωτοτύπων φωνῶν παραδέξασθαι τὴν ταυτότητα τοῦ πρωτοτύπου, διὰ δὲ τῆς ἐλλείψεως παραδέξασθαι ἐπιρρηματικὴν παραγωγήν. καὶ γὰρ κατὰ τὸ ἐναντίον φωναὶ μένουσαι ἐν συντάξει ἐπιρρήματα γί- 5 νονται, ὡς τὰ ὀνοματικὰ ἅπαντα οὐδεμιᾶς παραφθορᾶς γινομένης ἐν ταῖς φωναῖς — τὰ δὲ ὑποδείγματα πρόκειται, ἄπειρα ὄντα —· καὶ αἱ φωναὶ παραχθεῖσαι καὶ παραφθαρεῖσαι τὰ τέλη μένουσιν ἐν ταῖς ἐννοίαις τῶν πρωτοτύπων. οὐ γὰρ ἐπεὶ τὸ χαϊκόφιν ἀπίβαιε τὸ ῡ κα- 10 τὰ τὴν παραγωγήν, παρὰ τοῦτο οὐ γενική. ἐπεὶ οὐδὲ τὸ ἐμεῦ, ἀποβαλὸν τὸ ῡ ἐν τῷ ἐμέθεν, οὐκ ἀντωνυμία. οὐκ ἄρα πάντως παρὰ τὰς ἀποβολὰς τῶν στοιχείων ὁ μερισμός, παρὰ δὲ τὰς γινομένας συντάξεις, ὡς γε καὶ ἐντελῶς παραστήσομεν περὶ τῶν εἰς ϝεν ληγόντων ἐπιρ- 15 ρημάτων, τίνα τε ὄντως ἐστὶν ἐπιρρήματα, καὶ τίνα αὐτὸ μόνον παραγωγῇ κέχρηται τῇ διὰ τοῦ ϝεν, φυλάσσει δὲ τὴν τῶν πρωτοτύπων ἔννοιαν. Ἔτι ἡ γινομένη παραγωγὴ ἐν ἐπιρρήμασι κατὰ μίαν ἐστὶ σύνταξιν, ὡς ἡ διὰ τοῦ ϝι ἐν συντάξει ἐστὶ τῇ κατὰ ὀπικήν, οἴκοϝι ἐν 20 οἴκῳ, Ἀϊδόϝι ἐν Ἀϊδόϝῳ, ἡ τε διὰ τοῦ δε ἐν συντάξει τῇ κατ' αἰτιατικήν, οἴκαδε εἰς οἶκον, ἀγρόϝδε εἰς ἀγρόν, καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος· ἡ δὲ προκειμένη παραγωγὴ οὐκ ἔχει τῆδε, ὡς οὐκ ἂν ἐπιρρηματικὴ γινομένη. καὶ γὰρ κατὰ γενικὴν ἐστιν. ὡς τὸ χαϊκόφιν καὶ 25 ποσαϊόφιν. καὶ ἐν ὀπικῇ, ὡς ποτίφιν, καὶ ἐν αἰτιατικῇ, δεξιόφιν. ὑστερόφιν καὶ κατὰ τοῦτο ὅμοια τὰ τρόπαιόφιν μόνα οὐκ ἔχεται ἐπιρρηματικῆς παραγωγῆς. ἔστι δὲ καὶ παρὰ Δωριεῦσι καὶ κατὰ κίνησιν τὸ ὁμοιόφιν. τῶν τοιούτων σύνταξιν οὐ κατανοοῦντες τὴν 30 τάξιν. καὶ γὰρ τὸ τοιόφιν καὶ τὸ τοιόδε καὶ τὸ οὗ, τελευταῖα ἔχοντα τὴν ἐν τῷ ϝεν, ὡς εἰ ἦν τὸ ἐπιρρηματικὴ παραγωγή, κατὰ μίαν πάντα ἦν. Πρω-

[illegible] καὶ τὸ λαβεῖν ὅτι ἐν τῷ ἦφι βίηφιν ὁλόκληρος ἡ [illegible]. εἰ γὰρ αὐ ἡ παραγωγὴ στοιχείου γίνεται [illegible]κῆς, ὡς ἐπὶ γενικῆς τοῦ ῡ, πασσαλόφι καὶ χαλκόφιν, ὡς ἐπ' αἰτιατικῆς τοῦ ν̄, δεξιόν δεξιόφιν, ἀριστερόν ἀριστερόφιν, δοθήσεται ὅτι καὶ κατὰ τὸν λόγον [illegible] δοτικῆς ὑφιᾶσι τὸ ῑ, καὶ τὰ τῆς ὀρθογραφίας οὕτως καταστήσεται δίχα τοῦ ῑ γραφόμενα. καὶ σαφὲς ὅτι τὰ προκείμενα, ἀκουόμενα ἔχοντα στοιχεῖα, πρόδηλον ἔσχε καὶ τὴν ἀφαίρεσιν· τὰ δὲ ἐν τῇ δοτικῇ οὐκ ἐξεφώνει τὸ ῑ· σαφὲς γοῦν ὅτι, κἂν ἐλλείψῃ τὸ ῑ, οὐ πρόδηλον ἕξει τὴν ὑποστολήν.

Τὰ εἰς ῶ λήγοντα βαρύνεται, ἔσω, κύκλῳ, τόνῳ, πόῤῥω, πρόσω, ἑκαστάτω, ἀνωτέρω, ἀνωτάτω, περαιτέρω. ὥστε ἕνεκα τούτου σημειοῦσθαι τὸ ἐπισχερῶ καὶ

112. Ἀλλ' ἴσως ἡ μὲν προκατειλεγμένη τῶν εἰς ῶ βαρεῖα τάσις ἔχει τὴν ὁμοείδειαν συνῳδὸν τοῦ τόνου· ἦν γὰρ ἅπαντα ἐν παραγωγῇ, ὡς εἰ καί τις οὕτως εἴποι· τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα παραγωγὰ ἐν βαρείᾳ τάσει ἐστί. καὶ εἰ μὲν ἀπὸ προθέσεων γέγονεν, ἰσοσυλλαβοῦντα μὲν ταῖς προθέσεσιν, εἰ καὶ δισύλλαβοι εἶεν αἱ προθέσεις· περισσοσυλλαβοῦντα δέ, εἰ ἀπὸ μονοσυλλάβων προθέσεων εἴη ἡ παραγωγή. διότι δὲ τὸ τοιοῦτον παρέπεται, ἐν ἄλλῳ τόπῳ καθολικώτερον εἰρήσεται. τὰ δὲ ὑποδείγματα ἐκκείσθω· παρὰ τὴν ἀνά ἄνω, κατά κάτω, πρό πρόσω, ἔς ἔσω. τό τε τόνῳ καὶ κύκλῳ πρὸς ὁμοφωνίαν τὴν ἀπὸ τοῦ τόνος καὶ κύκλος ἐν δοτικῇ πτώσει. ἦν οὖν καὶ ταῦτα ἐκ προκειμένου γεγονότα. ἀλλὰ μὴν καὶ τὸ ἑκαστάτω καὶ ἑκαστέρω ἦν ἐν συγκριτικῇ παραγωγῇ. τὰ γοῦν προκατειλεγμένα δέδεικται ὡς εἴη παραγωγά. ἦν οὖν τὰ προκείμενα, λέγω τὸ ἐπισχερώ καὶ ἰώ, οὖν ἐνεχόμενα τῇ δοτικῇ παραγωγῇ, καὶ ἕνεκα τούτου [illegible] τῇ ταυτότητι τῆς τάσεως ἐχρήσατο. ὅτι [illegible] γωγῇ τινὰ γινόμενα διαλλάσσει κατ[illegible]

πρωτοτύπων ἢ τῶν μὴ κατὰ τὸ αὐτὸ γενομένων, ἐδείξαμεν περὶ τῶν εἰς ῑ ληγόντων ἐπιῤῥημάτων, εἴγε ἃ μὲν αὐτῶν πάλιν ὀξύνεται, ἃ δὲ βαρύνεται ἐν διαστολῇ τῇ δεούσῃ· οὐ γὰρ τὸ νόσφι καὶ τὸ ἶφι ὁμοίως εἰρήσεται τῷ ἑλληνιστί. καὶ εἰ δίδοται τὸ παρηλλαγμένον τοῦ εἴδους ἐν διαφόρῳ τόνῳ, σαφὲς ὅτι οὐδὲ ἐπὶ τοῦ τοιούτου βίαιον καὶ τὸ ἐπισχερῶ ὀξύνεσθαι καὶ τὸ ἰώ, ἐν παραλλαγῇ καθεστῶτα τοῦ πρόσω καὶ τόνῳ καὶ τῶν ὁμοίων. 5

Ἔτι τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα παροξύνεται, καθὼς ἔχει τὰ προκατειλεγμένα, πρόσω, ἔσω, κάτω, ἐγγυτέρω. σαφὲς οὖν ὅτι, καθὼς προείπομεν, εἰ ἐπίῤῥημα τὸ ΆΝΕΩΙ, σεσημειώσεται. καὶ εἰ παρεστήσαμεν ὡς τὰ συνεμπίπτοντα ὀνοματικῇ πτώσει ἐπιῤῥήματα τὴν τάσιν τῶν ὀνομάτων φυλάσσει, σαφὲς ὅτι προπαροξυνόμενον ἕνεκα τοῦ τόνου κατώρθωται. ἐδείκνυτο γὰρ τὸ προκείμενον, ὡς ἀπὸ Ἀττικῆς γραφῆς τῆς ἄνεως ἐσχηματιστο· ἣν δὲ τὸ παρὰ Ἀττικοῖς ἄνεως τρίτην ἀπὸ τέλους ἔχον τὴν ὀξεῖαν. ὅθεν εὐλόγως τὰ μὲν ἄλλα βαρυνόμενα τὴν ὀξεῖαν πρὸ τέλους ἔχει, οὐ δυναμένης τῆς ὀξείας τρίτης ἀπὸ τέλους πίπτειν. 10 15 20

Ἔτι τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα βραχεῖα κέχρηται τῇ παρεδρευούσῃ, ὡς ἔχει τὸ ἑκαστέρω καὶ τὸ τονῶ, ἄνω. καὶ οὐκ ἀντίκειται τὸ εἴσω· δέδεικται γὰρ καὶ ἡ ἐς πρόθεσις ὁλοκληροτέρα καὶ τὸ ἔσω. Τὸ ἄρα ΠΟΡΓΩ ἐκτέταται ὡς Ἀττικώτερον, καθὸ καὶ τὸ προπέρυσι πρω πέρυσίν φασι, καὶ ὅτι μᾶλλον μηκυντικοί εἰσι κατὰ τὰ φωνήεντα. περισσοσυλλάβου πάσης γενικῆς κατάληξίς ἐστι βραχεῖα, ἀλλὰ Ἀθηναῖοι πόλεως φασι καὶ τὰ τούτοις ὅμοια. κτητικῶν τῶν εἰς ΟΥΣ ληγόντων ἡ παρεδρεύουσα βραχεῖά ἐστιν, ἀλλὰ κτεανικός φασι καὶ ἠοικός. τὸ ᾱ [illegible] ΔΙΩ ΙΙ συστέ[illegible] πάλλω, φάλλω, [illegible] πάλλος [illegible] κατὰ τοῦτο τὸ [illegible] ος ἡ [illegible] παράθεσις. 25 30

λὲς δὲ καὶ τὸ λαβεῖν ὅτι ἐν τῷ ἦφι βίηφιν ὁλόκληρος ἡ παραγωγή. εἰ γὰρ αὖ ἡ παραγωγὴ στοιχείου γίνεται ἀφαιρετική, ὡς ἐπὶ γενικῆς τοῦ ῡ, πρσσαλόφι καὶ χαλκόφιν, ὡς ἐπ' αἰτιατικῆς τοῦ ν̄, δεξιόν δεξιόφιν, ἀρωστερόν ἀριστερόφιν, δοθήσεται ὅτι καὶ κατὰ τὸν λόγον τῆς δοτικῆς ὑφιᾶσι τὸ ῑ, καὶ τὰ τῆς ὀρθογραφίας οὕτως καταστήσεται δίχα τοῦ ῑ γραφόμενα. καὶ σαφὲς ὅτι τὰ προκείμενα, ἀκουόμενα ἔχοντα στοιχεῖα, πρόδηλον ἔσχε καὶ τὴν ἀφαίρεσιν· τὰ δὲ ἐν τῇ δοτικῇ οὐκ ἐξεφώνει τὸ ῑ· σαφὲς γοῦν ὅτι, κἂν ἐλλείψῃ τὸ ῑ, οὐ πρόδηλον ἕξει τὴν ὑποστολήν.

Τὰ εἰς ῶ λήγοντα βαρύνεται, ἔσω, κύκλῳ, τόνῳ, πόῤῥω, πρόσω, ἑκαστάτω, ἀνωτέρω, ἀνωτάτω, περαιτέρω. ὥςτε ἕνεκα τούτου σημειοῦσθαι τὸ ἐΠΙΣΧΕΡΩ καὶ ἰΩ. Ἀλλ' ἴσως ἡ μὲν προκατειλεγμένη τῶν εἰς ῶ βαρεῖα τάσις ἔχει τὴν ὁμοείδειαν συνῳδὸν τοῦ τόνου· ἦν γὰρ ἅπαντα ἐν παραγωγῇ, ὡς εἰ καί τις οὕτως εἴποι· τὰ εἰς ῶ λήγοντα ἐπῤῥήματα παραγωγὰ ἐν βαρείᾳ τάσει ἐστί. καὶ εἰ μὲν ἀπὸ προθέσεων γέγονεν, ἰσοσυλλαβοῦντα μὲν ταῖς προθέσεσιν, εἰ καὶ δισύλλαβοι εἶεν αἱ προθέσεις· περισσοσυλλαβοῦντα δέ, εἰ ἀπὸ μονοσυλλάβων προθέσεων εἴη ἡ παραγωγή. διότι δὲ τὸ τοιοῦτον παρέπεται, ἐν ἄλλῳ τόπῳ καθολικώτερον εἰρήσεται. τὰ δὲ ὑποδείγματα ἐκκείσθω· παρὰ τὴν ἀνά ἄνω, κατά κάτω, πρό πρόσω, ἐς ἔσω. τό τε τόνῳ καὶ κύκλῳ πρὸς ὁμοφωνίαν τὴν ἀπὸ τοῦ τόνος καὶ κύκλος ἐν δοτικῇ πτώσει. ἦν οὖν καὶ ταῦτα ἐκ προκειμένου γεγονότα. ἀλλὰ μὴν καὶ τὸ ἑκαστάτω καὶ ἑκαστέρω ἦν ἐν συγκριτικῇ παραγωγῇ. τὰ γοῦν προκατειλεγμένα δέδεικται ὡς εἴη παραγωγά. ἦν οὖν τὰ προκείμενα, λέγω τὸ ἐπισχερώ καὶ ἰώ, οὐκ ἐνεχόμενα τῇ δοτικῇ παραγωγῇ, καὶ ἕνεκα τούτου οὐδὲ τῇ ταυτότητι τῆς τάσεως ἐχρήσατο. ὅτι δὲ καὶ ἐν παραγωγῇ τινὰ γινόμενα διαλλάσσει κατὰ τὴν τάσιν τῶν

πρωτοτύπων ἢ τῶν μὴ κατὰ τὸ αὐτὸ γενομένων, ἐδείξαμεν περὶ τῶν εἰς ῑ ληγόντων ἐπιῤῥημάτων, εἴγε ἃ μὲν αὐτῶν πάλιν ὀξύνεται, ἃ δὲ βαρύνεται ἐν διαστολῇ τῇ δεούσῃ· οὐ γὰρ τὸ νόσφι καὶ τὸ ἶφι ὁμοίως εἰρήσεται τῷ ἑλληνιστί. καὶ εἰ δίδοται τὸ παρηλλαγμένον τοῦ εἴδους ἐν διαφόρῳ τόνῳ, σαφὲς ὅτι οὐδὲ ἐπὶ τοῦ τοιούτου βίαιον καὶ τὸ ἐπισχερώ ὀξύνεσθαι καὶ τὸ ἰώ, ἐν παραλλαγῇ καθεστῶτα τοῦ πρόσω καὶ τόνῳ καὶ τῶν ὁμοίων. 5

Ἔτι τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα παροξύνεται, καθὼς ἔχει τὰ προκατειλεγμένα, πρόσω, ἔσω, κάτω, ἐγγυτέρω. σαφὲς οὖν ὅτι, καθὼς προείπομεν, εἰ ἐπίῤῥημα τὸ ΑΝΕΩΙ, σεσημειώσεται. καὶ εἰ παρεστήσαμεν ὡς τὰ συνεμπίπτοντα ὀνοματικῇ πτώσει ἐπιῤῥήματα τὴν τάσιν τῶν ὀνομάτων φυλάσσει, σαφὲς ὅτι προπαροξυνόμενον ἕνεκα τοῦ τόνου κατώρθωται. ἐδείκνυτο γὰρ τὸ προκείμενον, ὡς ἀπὸ Ἀττικῆς γραφῆς τῆς ἄνεως ἐσχηματιστο· ἦν δὲ τὸ παρὰ Ἀττικοῖς ἄνεως τρίτην ἀπὸ τέλους ἔχον τὴν ὀξεῖαν. ὅθεν εὐλόγως τὰ μὲν ἄλλα βαρυνόμενα τὴν ὀξεῖαν πρὸ τέλους ἔχει, οὐ δυναμένης τῆς ὀξείας τρίτης ἀπὸ τέλους πίπτειν. 10 15 20

Ἔτι τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα βραχεῖα κέχρηται τῇ παρεδρευούσῃ, ὡς ἔχει τὸ ἑκαστέρω καὶ τὸ τόνῳ, ἄνω. καὶ οὐκ ἀντίκειται τὸ εἴσω· δέδεικται γὰρ καὶ ἡ ἐς πρόθεσις ὁλοκληροτέρα καὶ τὸ ἔσω. Τὸ ἄρα ΠΟΡΓΩ ἐκτέταται ὡς Ἀττικώτερον, καθὸ καὶ τὸ προπέρυσι πρωπέρυσιν φασι, καὶ ὅτι μᾶλλον μηκυντικοί εἰσι κατὰ τὰ φωνήεντα. περισσοσυλλάβου πάσης γενικῆς κατάληξίς ἐστι βραχεῖα, ἀλλὰ Ἀθηναῖοι πόλεώς φασι καὶ τὰ τούτοις ὅμοια. κτητικῶν τῶν εἰς κος ληγόντων ἡ παρεδρεύουσα βραχεῖά ἐστιν, ἀλλὰ κεραμεικός φασι καὶ βοεικός. τὸ ᾱ πρὸ τῶν δύο λλ συστέλλεται, σκάλλω, θάλλω, σφάλλω, ἄλλος, μαλλός, φάλλος· ἐδείχθη καὶ κατὰ τοῦτο τὸ μᾶλλον Ἀττικόν. ἄπειρος ἡ εἰς τὸ τοιοῦτο παράθεσις. 25 30

Ἄλλως τε, ὃν τρόπον παρὰ τὴν τόνῳ δοτικὴν τὸ ὁμόφωνον γίνεται ἐπίῤῥημα τόνῳ, οὕτως καὶ παρὰ τὴν πόρῳ δοτικὴν τὸ ἀκόλουθον. ἐγένετο πόρῳ. ἴσως δὲ καὶ ὁ πλεονασμὸς τῆς διαλέκτου. διὸ καὶ ὁ πυῤῥίας· τῇ γὰρ πυρός γενικῇ παρωνόμασται. καὶ ὁ πυῤῥός τῆδε ἔχει. Οὐκ ἀγνοῶ δὲ ὡς ἔνιοι παρὰ πρόθεσιν τὴν πρός φασι γεγενῆσθαι, ὥστε ἐν ὑπερβατῷ τοῦ ῥ̄ γεγενῆσθαι πόρσω, καὶ μεταθέσει τοῦ σ̄ εἰς τὸ ῥ̄ πόῤῥω. οὐκ ἀήθως δὲ καὶ τὸ σ̄ εἰς τὸ ῥ̄ μεταπίπτει, ὡς ἡ μυρσίνη μυῤῥίνη, θαρσεῖν θαῤῥεῖν.

Ἔτι καὶ τὸ ΟΥΤΩ εἰ κατὰ φύσιν εἰς ῶ λήγει, ἕνεκα τοῦ χρόνου τοῦ παρεδρεύοντος σεσημειώσεται· ὅθεν διακριτέον, πότερον ἐν προσθέσει ἐστὶ τοῦ σ̄ τὸ οὕτως ἢ ἐν ἀφαιρέσει τοῦ σ̄ [τὸ οὕτω]. Οὐδὲν τῶν εἰς ῶ ληγόντων ἐπιῤῥημάτων τὸ σ̄ ποτὲ προσλαμβάνει, ἀπειράκις μέντοι τὰ εἰς σ̄ λήγοντα βαρύτονα ἐπιῤῥήματα τὸ σ̄ ἀποβάλλει· δεύτερον ἄρα ἐστὶ τὸ οὕτω τοῦ οὕτως. Τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα δείκνυται ἢ ἀπὸ ὀνομάτων τῶν οὐ τριγενῶν ἐσχηματισμένα ἢ ἀπὸ προθέσεων, ὡς ἔχει τὸ τόνῳ, κύκλῳ, κάτω καὶ τὰ ὅμοια· τὰ δὲ εἰς ῶς περατούμενα πάντως ἀπὸ τριγενῶν πτωτικῶν, κούφως, φίλως, μέσως, ταχέως, εὐσεβῶς, καλῶς. ἔστι δέ γε τὸ οὕτος οὐ μοναδικόν, τριγενὲς δέ. σαφὲς οὖν ὅτι καὶ κατὰ τοῦτο τὸ οὕτως ἐντελέστερον. Ἴσως τίς οἰήσεται τὸ παράδειγμα ἔρχεσθαι πολλοῖς ἀντικειμένοις, πρόληψιν ἔχων τοῦ ὅτι παρὰ τὸ ἐγγύτατος [τὸ] ἐγγυτάτω ἐγένετο, παρά τε τὸ ἐσώτατος τὸ ἐσωτάτω, καὶ ἔτι ἐπὶ τῶν τοιούτων ὑπερθετικῶν. ὅπερ ἐχρῆν καὶ τὸν Τρύφωνα, ἀποφαινόμενον τὸν προκείμενον κανόνα, περὶ τῶν δοκούντων ὡς ἀντικειμένων ἀπολογήσασθαι. τὰ δὴ οὖν προκείμενα ἐπιῤῥήματα οὐ παρὰ τὰ προκείμενα ὑπερθετικὰ ὀνόματα ἐσχηματίσται, ἢν δὲ ὑπερτεθειμένα ἐξ ἐπιῤῥημάτων συγκριτικῶν· τὰ δὲ τῆς ἀποδείξεως ἔχει τῆδε. εἴπερ παρὰ τὸ ἐγγύτατος καὶ

ἀνώτατος τὸ ἐγγυτάτω ἦν καὶ ἀνωτάτω, δῆλον ὡς καὶ παρὰ πάντα τὰ ὑπερθετικὰ τὸ τοιοῦτον ἂν παρείπετο, ὥστε ἀπὸ τοῦ γοργότατος φάναι ἡμᾶς τὸ γοργοτάτω, ταχύτατος ταχυτάτω, ἡδύτατος ἡδυτάτω, γραμματικώτατος γραμματικωτάτῳ. ἀλλ' οὐχ ὡς ἔστι τὰ τοιαῦτα ἐπιῤῥήματα, παντὶ προῦπτον. εἴπερ οὖν τὰ προκείμενα ἐπιῤῥήματα παρ' ὄνομα ἐγεγόνει, ἄπορον ἂν τὸ τοιοῦτον ἦν, παρὰ τί ἡ κακία τῶν τοιούτων ἐπιῤῥημάτων, γενομένη ἐν Ἑλληνισμοῦ παραδοχῇ, λέγω ἢ τοῦ ἀνωτάτω ἢ κατωτάτω. τὰ ἐπιῤῥήματα οὐχ ἅπαντα μὲν τὴν σύγκρισιν ἀναδέχεται, ὅτι μὴ μόνον τὰ ἀναδεχόμενα εἴη τοπικά, ἅπερ ἀπὸ πρωτοτύπων πάλιν ἐπιῤῥημάτων ἐστί, ποιεῖται δὲ διττὴν τὴν ἐπίτασιν, εἰς μὲν ὄνομα, ἡνίκα φαμὲν παρὰ τὸ ἐγγύς ἐγγύτερος, παρά τε τὸ ἄφαρ ἀφάρτερος, ἔσω ἐσώτερος, ἄνω ἀνωτέρος, ἅπερ οὐκ ἐπίτασιν πεποίηται τῶν τόπων ἢ τῶν μετειληφότων προσώπων τῆς τοπικῆς σχέσεως· ποιεῖται δὲ καὶ τοπικὴν ἐπίτασιν, ἅπερ αὐτὴν τὴν τοπικὴν σχέσιν ἀφηγεῖται, ἐγγύς ἐγγυτέρω, ἔσω ἐσωτέρω, ἑκάς ἑκαστέρω. ὥστε διαφέρειν τὰ ἀπὸ ὀνομάτων συγκρινόμενα τῶν ἀπὸ ἐπιῤῥημάτων, τῷ τὰ μὲν ἀπὸ ὀνομάτων εἰς μόνα ὀνόματα συγκρίνεσθαι, κοῖλος κοιλότερος, ταχύς ταχύτερος, τὰ δὲ ἀπὸ ἐπιῤῥημάτων καὶ εἰς ὀνόματος καὶ εἰς ἐπιῤῥήματος ἐπίτασιν, ὡς πρόκειται. τοῖς δὴ οὖν συγκριτικοῖς τῶν ἐπιῤῥημάτων παρεπόμενόν ἐστι τὸ ὑπερτίθεσθαι, ὡς πρόδηλον κἀκ τῆς καταλήξεως, καθὼς καὶ ἐπ' ὀνοματικῆς συγκρίσεως ἡ αὐτὴ πάλιν κατάληξις ἐγγίνεται, γοργότερος γοργότατος, ταχύτερος ταχύτατος. καὶ πάλιν παρὰ τὸ ἀνωτέρω τὸ ἀνωτάτω. σαφὲς οὖν, ὅτι συνυπάρχοντα ταῖς συγκριτικαῖς ἐκφοραῖς τῶν ἐπιῤῥημάτων ὁμολογεῖ τὴν ἀπ' αὐτῶν ἐπίτασιν. οὐ γάρ ἐστιν εὐμαρὴς ἡ εἰς ὧ κατάληξις τῶν ὑπερθετικῶν, εἰ μὴ πρότερον ἡ συγκριτικὴ

γένοιτο κατάληξις. ἐπεὶ γὰρ οὔ φαμεν βραδυτέρω, οὐδὲ βραδυτάτω· οὐδὲ γὰρ τὸ προκείμενον ἦν ἐπίῤῥημα. τῷ ἐγγύς παράκειται καὶ ἐγγύτερος καὶ ἐγγυτέρω, καὶ συνυπάρχει τὸ ἐγγυτάτω. ἀπεδείχθη οὖν, ὡς οὐ παρὰ τὸ ἐγγύτατος ἢ ἀνώτατος ἢ ἀνωτάτω καὶ τὰ τούτοις ὅμοια ἐγίνετο. ἔστι γε μὴν ἀπὸ ὀνομάτων συγκριτικῶν ἐπιῤῥηματικὴ κατάληξις συνεμπίπτουσα. ἐπὶ μὲν οὖν συγκρίσεως ἑνικῷ οὐδετέρῳ, ἐπὶ δὲ ὑπερθέσεως πληθυντικῷ οὐδετέρῳ· ταχύς ταχύτερον, ἀλλὰ καὶ ἐπίῤῥημα ταχύτερον· καὶ πληθυντικὸν ταχύτατα, ἀλλὰ καὶ ταχύτατα. οὕτως ἔχει καὶ τὸ κάλλιστα καὶ ἥδιστα. ἔστι μὲν οὖν παρὰ μὲν ὄνομα τὸ ἐγγύτερος ἐπίῤῥημά τι συγκριτικὸν ὀνοματικὸν τὸ ἐγγύτερον, οὗ ὑπερθετικὸν τὸ ἐγγύτατα· καὶ ἔτι παρὰ τὸ ἀνώτερος ἐπίῤῥημά τι τὸ ἀνώτερον, οὗ ὑπερθετικὸν τὸ ἀνώτατα· ὡς μέντοι πρόκειται, παρὰ τὸ ἀνωτέρω ὁμοιοκατάληκτον πεσεῖται τὸ ἀνωτάτω, ὥστε διαφέρειν τὸ ἀνωτάτω τοῦ ἀνώτατα, ᾗ τὸ μὲν ὀνοματικόν ἐστιν ἐπίῤῥημα, τὸ δὲ ἐπιῤῥηματικόν.

Καὶ τὸ ΄ΑΦΝΩ δέ, ἐν πάθει γενόμενον καὶ οὐ προφανῶς ἐπιδεξάμενον τὴν προκειμένην ὀνοματικὴν τριγένειαν, συνεξῆλθε τοῖς εἰς ῶ λήγουσιν ἐπιῤῥήμασιν. ἔστι μὲν γὰρ αὖ τούτου προκείμενον ὄνομα ἀφανής, καὶ ἔτι τὸ ἀφανῶς, ἡ δὲ συγκοπὴ ἄφνω, πάλιν καὶ τοῦ τόνου εὐλόγως ἀναβιβασθέντος, ᾗ ἀπεδείχθη τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα, μοναδικὰ ὄντα λέγω, κατὰ βαρεῖαν τάσιν. ὅτι δὲ ἔσθ' ὅτε πάθος ἐγγινόμενον ἀμαυροῖ τὰς ἰδιότητας τὸ δεόντως πως σχηματίζεσθαι, ἐντελῶς ἐν τοῖς περὶ παθῶν ἐδείχθη.

Τὰ εἰς ῶς λήγοντα ἐπιῤῥήματα κοινολεκτούμενα δυσὶ τόνοις ὑποπίπτει. ἢ γὰρ βαρύνεται, ὡς κούφως, φαύλως, μετρίως, ἢ περιέσπασται, ὡς τὸ σεμνῶς καὶ εὐσεβῶς. καὶ ἔτι παρὰ Δωριεῦσιν ἔνια] ὀξύνεται,

ὥστε κατ' ἔγκλισιν ἀνεγνώσθη ἤ ῥα κάλως ἀποκαθάρασα ἐξελεπύρωσεν. περὶ ὧν καὶ κατὰ τὸ ἑξῆς εἰρήσεται. ὑπέλαβον ὅτι καὶ κατὰ τὸ ἔθος τὸ Ὦ Σ Δωρικόν ἐστι, περὶ οὗ ἐν εὐτάκτῳ εἰρήσεται ἐν τῷ περὶ τῶν διεψευσμένων τόνων. καὶ νῦν δὲ κεφαλαιωδέστερον ἔστι περὶ αὐτοῦ ἐκθέσθαι, ὡς ἀνήκοντα τόνον ἀνεδέξατο. τὰ προκείμενα τῶν ἐπιῤῥημάτων, ἰδίας παραγωγῆς οὐ τυχόντα, οὐδὲ τὸν ἴδιον τόνον ἔχει, ἀναμένει δὲ τὸν πτωτικὸν τόνον, ὅς ἐστιν ἀπὸ γενικῆς πληθυντικῆς. καὶ ἕνεκα τούτου ἢ περισπᾶται ἢ βαρύνεται, καθὸ πᾶσα γενικὴ πληθυντικὴ ἤτοι περισπᾶται ἢ βαρύνεται. ἅμα καὶ συναποδεικτέον, ὡς παράγεται τὰ ἐπιῤῥήματα· καὶ συνηγορητέον τῷ προκειμένῳ μορίῳ, ὅτι δεόντως ὠξύνθη. Ἔκκειται μὲν οὖν πρῶτος λόγος, ὅτι διὰ τοῦτο ἢ περισπᾶται ἢ βαρύνεται, διὰ τὸν παρεπόμενον τόνον τῇ γενικῇ πληθυντικῇ. καὶ συνυπάρχειν γὰρ θέλει τῇ γενικῇ πληθυντικῇ. τὸ μέγας ἑτερόκλιτον ἔχει τὸ μεγάλου, καὶ τὸ ἐπίῤῥημα οὐ παρὰ τὴν μέγας, ὡς παρὰ τὴν μεγάλων. τὸ παντός ὀξύνεται, ἡ δὲ πάντων γενικὴ βαρύνεται· ἔνθεν καὶ τὸ συνὸν ἐπίῤῥημα συμβαρύνεται. καὶ ὅτι τοῦτο αἴτιον, σαφὲς καὶ ἐκ τοῦ Δωριεῖς συμπεριισπᾷν τὸ ἐπίῤῥημα, ἐπεὶ καὶ τὴν γενικὴν παντῶν φασίν. οὕτως ἔχει καὶ τὸ ἀλλῶς καὶ τηνῶς. τοῦτο γὰρ καὶ ἐνίους ἠπάτησεν ἀποφήνασθαι ὡς τὰ παρ' ἡμῖν βαρύτονα τῶν ἐπιῤῥημάτων περισπῶσι Δωριεῖς. ὅπερ οὐκ ἦν ἀληθές· οὔτε γὰρ τὸ κούφως οὔτε τὸ φίλως οὔτε τὰ τοιαῦτα περισπῶσι. διὰ τί οὖν τὸ παντῶς; ὅτι καὶ τὴν ποιοῦσαν τὸν τόνον γενικὴν περιεσπάκεισαν. διότι δὲ τὴν παντῶν γενικὴν περισπῶσι καὶ ἔτι τὴν ἀλλῶν, ἐν ἑτέροις ἐδιδάξαμεν κατὰ τὰς ἀντωνυμικὰς γενικάς. Ἔτι καὶ τὰ τῆς φωνῆς ἐγγίζει· τοῦ γὰρ ν̄ ἅπαξ μετάθεσις εἰς τὸ σ̄ γίνεται· καὶ τὰ ἐγγινόμενα πάθη. ἕνεκα τίνος τὸ σοφῶς οὐ διαιρεῖται; ὅτι οὐδὲ ἡ σοφῶν γε-

καὶ ταῦτα πάντα εἰς ζῶ περατούμενα. καὶ καθὼς ἀπὸ μιᾶς συζυγίας τῶν ῥημάτων μία σχεδὸν καὶ ἡ συζυγία τῶν ἐπιῤῥημάτων. εὔλογόν τε καὶ τὸ διηλλαγμένον τοῦ ἐπιῤῥήματος συνδιηλλάχθαι τῷ πρωτοτύπῳ. οὐ γὰρ πιθανὸν παρὰ τὸ Ἕλλην τὸ ἑλληνιστί, μᾶλλον δὲ παρὰ τὸ ἑλληνίζω· παρὰ γοῦν τὸ Θρᾷξ πάλιν, διάφορον κατὰ τὴν κατάληξιν ὄν, οὐκ ἂν τὸ αὐτὸ παρακολουθήσειε, θρᾳκιστί, παρὰ δὲ τὸ θρᾳκίζω, τῆς αὐτῆς πάλιν ἐχόμενον συζυγίας. οὕτως ἔχει παρὰ τὸ δώρίζω δωριστί καὶ αἰολιστί, βαρβαριστί, μηδιστί, συριστί, σκυθιστί. καὶ ἐπεὶ ἅπαξ τὸ ἰάζω συνεκόπη ἐκ τοῦ ἰωνίζω, ἦν καὶ τὸ συνὸν ἐπίῤῥημα συμμετειληφὸς τοῦ πάθους, ἰαστί. καὶ σαφὲς ὅτι πάλιν τὸ ἰωνιστί τῷ ἰωνίζω παρέκειτο. Τούτοις δὴ ἐπιστήσας ὁ Τρύφων ἐζήτει περὶ τοῦ μεγαλωστί, ἱρωστί παρὰ Ἀνακρέοντι, καὶ ἔτι τοῦ παρὰ Ἀθηναίοις νεωστί, ὅπερ οὐκ ἀπιθάνως τῇ παρὰ Ἀθηναίοις συνήθει ἐπεκτάσει· ἐξέτεινε τὸ ῑ. ἔδει γάρ φησι παρὰ τὸ μεγαλίζω μεγαλιστί, νεανίζω νεανιστί· καὶ δῆλον ὅτι καὶ τὸ ἱρωστί παρά τι τῶν εἰς ζῶ ληγόντων ῥημάτων. Πρὸς ὃν ἔστι φάναι, ὅτι πολλάκις καὶ ἐκ διαφόρων μερῶν λόγου αἱ αὐταὶ παραγωγαὶ γίνονται. παρὰ ῥῆμα τὸ αἰτῶ γίνεται τὸ αἰτίζω, καὶ παρ᾽ ὄνομα τὸ βάρβαρος τὸ βαρβαρίζω· ἔστι δὲ ὅτε καὶ παρ᾽ ἐπιῤῥήματα, ὡς αἰαί αἰάζω. οὐδὲν οὖν κωλύει καὶ τὰ προκατειλημμένα τὰ μὲν παρὰ ῥῆμα εἶναι, τὰ δὲ ὡς ἠλογημένα ἀπὸ ἐπιῤῥημάτων παρῆχθαι τῶν εἰς ῶς περατουμένων, ὥστε ἐν προσθέσει τοῦ τι ἀποτελεῖσθαι, μεγάλως μεγαλωστί, νέως νεωστί, ἱερῶς ἱερωστί.

Ἐδείξαμεν ἐν τοῖς περὶ τοῦ ἀέκητι, ὡς τὰ μὴ ὑποπίπτοντα ὑπὸ τόνδε τὸν λόγον πίπτει ὑπὸ βαρεῖαν τάσιν, αὖθι, ἶφι. διὰ τοῦτο εὐμαρῶς τὰ τοιαῦτα καὶ τ . . . πολλάκις, τετράκις. τὸ δὲ δίς καὶ τὸ τρίς οὐκέτι ἐπ . . . εἰς ὀξεῖαν προάγεσθαι. ἕνεκα τούτου

μοι

μοι δοκεῖ καὶ τὸ χωρίς, ἀποβαλὸν τὸ σ̄ οὐ δεόντως, ἀνα-
λόγως βεβαρύνθαι ἐν τῷ

χῶρι διατμήγουσιν·

ἀναλογώτερά τε τὰ τοιαῦτα εἴη ἐν βαρείᾳ τάσει, ἦχι,
ναίχι, τοῦ οὐχί ὀξυνομένου, 5

οὐχὶ μεθίει.

τούτῳ γὰρ τῷ λόγῳ καί τινες ἀνέγνωσαν τὸ

πρωῖ δ' ὑπ' ἠοίῃ

ἐν βαρείᾳ τάσει. ἀνάλογος γὰρ καὶ ἡ παρ' Αἰολεῦσι βα-
ρεῖα τάσις, λέγω δὲ τοῦ 10

ὄψι γὰρ ἄρξατο,

ἀφ' οὗ τὸ ὀψιμαθής· οὐ γὰρ ὑγιὴς ἡ τοῦ ὀψί τάσις, ὡς
δεδείξεται ἐν τῷ περὶ τῶν εἰς ε̄ ληγόντων ἐπιῤῥημάτων.

Βαρύνεται καὶ ὅσα συνυπάρχει τοῖς εἰς θ̄εν λήγουσιν
ἐπιῤῥήμασιν, οἴκοθεν οἴκοθι, οὐρανόθεν οὐρανόθι, αὐτό- 15
θεν αὐτόθι, πόθεν πόθι, ἀγχόθεν ἀγχόθι: ἅπερ φυλάσσει
τὸ θ̄, συνόντος τοῦ ο̄ κατὰ τὴν παρεδρεύουσαν ἢ τοῦ σύ-
νεγγυς ω̄, ὡς ἑτέρωθι, ἑκατέρωθι. τὰ γὰρ μὴ τῇδε ἔχοντα
πάλιν μὲν βαρύνεται, ἀντί γε μὴν τοῦ θ̄ τὸ σ̄ παρα-
λαμβάνεται, Ἀθήνηθεν Ἀθήνησιν, Θήβηθεν Θήβησιν, 20
Πιτάνηθεν Πιτάνησιν. Διὸ καὶ σημειώσαιτο ἄν τις τὸ
ΚΕΙΘΙ. ἀλλ' ἦν γε ὑπὲρ τούτου φάναι, ὡς τὰ πεπονθότα
οὐ τῷ ἐγγινομένῳ πάθει τὸ ἀκόλουθον ἀποτελεῖ, τῇ δὲ
τοῦ ὁλοκλήρου προφορᾷ, ὡς ἐπ' ὀνομάτων τὰ συνηρημέ-
να κατὰ τὰς εὐθείας οὐ τῷ συνηρημένῳ κατὰ τὰς κλί- 25
σεις ἀκολουθεῖ, τῷ δὲ ὁλοκληροτέρῳ· ὡς ἐν διαλέκτοις τὸ
χαρίης καὶ τὰ τοιαῦτα οὐ τῇ λέξει τῶν εἰς ης̄ ληγόν-
των ἠκολούθησεν, τῇ δὲ πρωτοτύπῳ προφορᾷ· ὡς ἐν
πρωτοτύποις πλεονασμοῖς, ἡνίκα τὸ β̄ σύνεστι τῷ ρ̄
παρ' Αἰολεῦσι συνεχέστερον ἐπιφερομένου τοῦ δ̄ ἢ τοῦ 30
τ̄ καὶ ἔτι τοῦ κ̄, καὶ ἕνεκα τούτου τὸ ῥά τὸ β̄ προσ-
ιλάμβανεν, οὐ τῷ πάθει ἀρκούμενον τοῦ σχήματος,
τῷ δὲ ἐντελεῖ ῥᾳδίως. τὸ τοιοῦτον ἐπ' ἄλλων ἀπείρων

ἔστι παραστῆσαι. καὶ δὴ καὶ τὸ κεῖθι οὐκ ἔχει φύσει τὴν παρεδρεύουσαν διὰ τοῦ η, διὰ δὲ τοῦ $\overline{\text{νο}}$. ὡς γὰρ παρὰ τὴν τούτου τουτόθεν τι γίνεται καὶ παρὰ τὴν αὐτοῦ αὐτόθεν, οὕτως καὶ παρὰ τὴν ἐκείνου ἐκεινόθεν. ἔφαμεν δὲ τὸ ο̄ αἴτιον γίνεσθαι τῆς μονῆς τοῦ $\overline{\vartheta}$, καὶ εἰ οὐκ ἐπικρατεῖ τὰ πάθη, ἀναγκαία ἡ μονὴ τοῦ $\overline{\vartheta}$.

Ὁμοίως καὶ τὰ διὰ τοῦ $\overline{\varphi\iota}$ παραχόμενα βαρείας ἔχεται τάσεως, λέγω περὶ τοῦ ἦφι βίηφι, οὐρανύφι, ἅπερ ἔσθ' ὅτε καὶ σὺν τῷ $\overline{\nu}$ λέγεται, πασσαλόφιν, ἀριστερόφιν, δεξιόφιν . . . ἔτι ἄλλα πλεῖστα μόρια τοιαῦτά ἐστι, καὶ Αἰολικαὶ ἀντωνυμίαι, ἄμμι - ἄμμιν, τὰ τρίτα πρόςωπα, ἔχουσι - ἔχουσιν, λέγουσι - λέγουσιν, αἱ δωρικαὶ πληθυντικαί, παισί καὶ παισίν.

Τὰ δὴ προκείμενα παρὰ πᾶσιν ὑπείληπται ὡς ἐπιῤῥήματα εἶη, ὧν ἐστι καὶ Τρύφων. διὸ καὶ αὐτοί φαμεν, ὡς ἕνεκα τῆς παραγωγῆς εἶναι τὴν βαρεῖαν· ὡς ἕνεκα δὲ τῆς ἀκριβοῦς παραδόσεως, μήποτε παραγωγαί εἰσι κατὰ τοῦ αὐτοῦ δὴ δηλουμένου παραλαμβανόμεναι. Φησὶν οὖν ὁ Τρύφων τὸ τηνικαῦτα αὐτὰ παράγεσθαι εἰς τὴν ταυτότητα, ἐπὰν ἡ φωνὴ ἡ τοῦ πρωτοτύπου ὁλόκληρος καθεστήκη, ὡς ἐν τῷ ἦφι βίηφι· εἰ δὲ μὴ τῆδε ἔχει, τὸ τηνικαῦτα ἐπιῤῥηματικῆς ἔχεσθαι συντάξεως τὰ μόρια, ὡς ἐπὶ τοῦ χαλκόφι χαλκός. ἰδοὺ γάρ φησιν αἱ παραχθεῖσαι γενικαὶ ἔχουσι τὸν ἀριθμὸν εὐδιάκριτον, ἡ καλοῖο, ἡ Ἀτρείδαο· τὸ δέ φησι κατ' ὄρεσφι τί μᾶλλον κατ' ὄρους ἢ κατ' ὀρῶν; ἴδιον δὲ τὸ μὴ διακρίνειν ἀριθμὸν ἐν συντάξει ἐπιῤῥήματος. κατὰ δὴ ταύτην τὴν ἔννοιαν ἀπεφαίνετο τὰ τοιαῦτα ἐπιῤῥήματα εἶναι. Ἔστι μέντοι, ἀναλαβόντα τὸν λόγον, ἐκεῖνο φάναι, ὡς πρῶτον παρὰ Σικυωνίοις ἐν γενικῇ ἀπειράκις παραλαμβάνεται· καὶ ὡς τὸ ἀπὸ χαλκόφι τὴν ἀπὸ χαλκοῦ γενικὴν σημαίνει, οὐχὶ χαλκῶν, οὕτω καὶ τὸ κατ' ὄρεσφιν οὐκ ἄλλο τι σημαίνει ἢ τὴν κατ' ὄρους. πρός τε τὸν

ἀπὸ τῆς φωνῆς λόγον, ὡς πάνυ ἐστὶ βίαιον τὸ διὰ τῆς μονῆς τῆς τῶν πρωτοτύπων φωνῶν παραδέξασθαι τὴν ταυτότητα τοῦ πρωτοτύπου, διὰ δὲ τῆς ἐλλείψεως παραδέξασθαι ἐπιῤῥηματικὴν παραγωγήν. καὶ γὰρ κατὰ τὸ ἐναντίον φωναὶ μένουσαι ἐν συντάξει ἐπιῤῥήματα γί- 5 νονται, ὡς τὰ ὀνοματικὰ ἅπαντα οὐδεμιᾶς παραφθορᾶς γινομένης ἐν ταῖς φωναῖς — τὰ δὲ ὑποδείγματα πρόκειται, ἄπειρα ὄντα —· καὶ αἱ φωναὶ παραχθεῖσαι καὶ παραφθαρεῖσαι τὰ τέλη μένουσιν ἐν ταῖς ἐννοίαις τῶν πρωτοτύπων. οὐ γὰρ ἐπεὶ τὸ χαλκόφιν ἀπέβαλε τὸ ῡ κα- 10 τὰ τὴν παραγωγήν, παρὰ τοῦτο οὐ γενική. ἐπεὶ οὐδὲ τὸ ἐμεῦ, ἀποβαλὸν τὸ ῡ ἐν τῷ ἐμέθεν, οὐκ ἀντωνυμία. οὐκ ἄρα πάντως παρὰ τὰς ἀποβολὰς τῶν στοιχείων ὁ μερισμός, παρὰ δὲ τὰς γινομένας συντάξεις, ὡς γε καὶ ἐντελῶς παραστήσομεν περὶ τῶν εἰς θεν ληγόντων ἐπιῤ- 15 ῥημάτων, τίνα τε ὄντως ἐστὶν ἐπιῤῥήματα, καὶ τίνα αὐτὸ μόνον παραγωγῇ κέχρηται τῇ διὰ τοῦ θεν, φυλάσσει δὲ τὴν τῶν πρωτοτύπων ἔννοιαν. Ἔτι ἡ γινομένη παραγωγὴ ἐν ἐπιῤῥήμασι κατὰ μιᾶς ἐστὶ συντάξεως, ὡς ἡ διὰ τοῦ θι ἐν συντάξει ἐστὶ τῇ κατὰ δοτικήν, οἴκοθι ἐν 20 οἴκῳ, Ἀβυδόθι ἐν Ἀβύδῳ, ἥ τε διὰ τοῦ δε ἐν συντάξει τῇ κατ᾽ αἰτιατικήν, οἴκαδε εἰς οἶκον, ἀγρόνδε εἰς ἀγρόν, καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος· ἡ δὲ προκειμένη παραγωγὴ οὐκ ἔχει τῇδε, ὡς οὐκ ἂν ἐπιῤῥηματικὴ γινομένη. καὶ γὰρ κατὰ γενικήν ἐστιν, ὡς τὸ χαλκόφιν καὶ 25 πασσαλόφιν, καὶ ἐν δοτικῇ, ὡς φρήτρηφι, καὶ ἐν αἰτιατικῇ, δεξιόφιν, ἀριστερόφιν. καὶ κατὰ τοῦτο ἄρα τὰ προκείμενα μόρια οὐκ ἔχεται ἐπιῤῥηματικῆς παραγωγῆς. ἔστι δὲ καὶ παρὰ Ἀλκμᾶνι καὶ κατὰ κλητικῆς τὸ οὐρανίαφιν, τῶν τοιούτων πλεονασμῶν οὐ κρατούντων τὰς 30 πτώσεις. καὶ γὰρ τὸ τοιόςδε καὶ τὸ τοιοῦδε καὶ τοιῷδε, παραγωγῆς ἐχόμενα τῆς διὰ τοῦ δε. ὡς εἰ πάλιν ἦν ἐπιῤῥηματικὴ παραγωγή, κατὰ μίαν πτῶσιν ἦν. Προα-

λὲς δὲ καὶ τὸ λαβεῖν ὅτι ἐν τῷ ἧφι βίηφιν ὁλόκληρος ἡ παραγωγή. εἰ γὰρ αὐ ἡ παραγωγὴ στοιχείου γίνεται ἀφαιρετική, ὡς ἐπὶ γενικῆς τοῦ ῡ, πρσσαλόφι καὶ χαλκόφιν, ὡς ἐπ' αἰτιατικῆς τοῦ ν̄, δεξιόν δεξιόφιν, ἀρωστερόν ἀριστερόφιν, δοθήσεται ὅτι καὶ κατὰ τὸν λόγον τῆς δοτικῆς ὑφιᾶσι τὸ ῑ, καὶ τὰ τῆς ὀρθογραφίας οὕτως καταστήσεται δίχα τοῦ ῑ γραφόμενα. καὶ σαφὲς ὅτι τὰ προκείμενα, ἀκουόμενα ἔχοντα στοιχεῖα, πρόδηλον ἔσχε καὶ τὴν ἀφαίρεσιν· τὰ δὲ ἐν τῇ δοτικῇ οὐκ ἐξεφώνει τὸ ῑ· σαφὲς γοῦν ὅτι, κἂν ἐλλείψῃ τὸ ῑ, οὐ πρόδηλον ἕξει τὴν ὑποστολήν.

Τὰ εἰς ω̄ λήγοντα βαρύνεται, ἔσω, κύκλῳ, τόνῳ, πόρρω, πρόσω, ἑκαστάτω, ἀνωτέρω, ἀνωτάτω, περαιτέρω. ὥστε ἕνεκα τούτου σημειοῦσθαι τὸ ΕΠΙΣΧΕΡΩ καὶ ΙΩ. Ἀλλ' ἴσως ἡ μὲν προκατειλεγμένη τῶν εἰς ω̄ βαρεῖα τάσις ἔχει τὴν ὁμοείδειαν συνῳδὸν τοῦ τόνου· ἦν γὰρ ἅπαντα ἐν παραγωγῇ, ὡς εἰ καί τις οὕτως εἴποι· τὰ εἰς ω̄ λήγοντα ἐπιῤῥήματα παραγωγὰ ἐν βαρείᾳ τάσει ἐστί. καὶ εἰ μὲν ἀπὸ προθέσεων γέγονεν, ἰσοσυλλαβοῦντα μὲν ταῖς προθέσεσιν, εἰ καὶ δισύλλαβοι εἶεν αἱ προθέσεις· περισσοσυλλαβοῦντα δέ, εἰ ἀπὸ μονοσυλλάβων προθέσεων εἴη ἡ παραγωγή. διότι δὲ τὸ τοιοῦτον παρέπεται, ἐν ἄλλῳ τόπῳ καθολικώτερον εἰρήσεται. τὰ δὲ ὑποδείγματα ἐκκείσθω· παρὰ τὴν ἀνά ἄνω, κατά κάτω, πρό πρόσω, ἐς ἔσω. τό τε τόνῳ καὶ κύκλῳ πρὸς ὁμοφωνίαν τὴν ἀπὸ τοῦ τόνος καὶ κύκλος ἐν δοτικῇ πτώσει. ἦν οὖν καὶ ταῦτα ἐκ προκειμένου γεγονότα. ἀλλὰ μὴν καὶ τὸ ἑκαστάτω καὶ ἑκαστέρω ἦν ἐν συγκριτικῇ παραγωγῇ. τὰ γοῦν προκατειλεγμένα δέδεικται ὡς εἴη παραγωγά. ἦν οὖν τὰ προκείμενα, λέγω τὸ ἐπισχερώ καὶ ἰώ, οὐκ ἐνεχόμενα τῇ δοτικῇ παραγωγῇ, καὶ ἕνεκα τούτου οὐδὲ τῇ ταυτότητι τῆς τάσεως ἐχρήσατο. ὅτι δὲ καὶ ἐν παραγωγῇ τινὰ γινόμενα διαλλάσσει κατὰ τὴν τάσιν τῶν

πρωτοτύπων ἢ τῶν μὴ κατὰ τὸ αὐτὸ γενομένων, ἐδείξαμεν περὶ τῶν εἰς ῑ ληγόντων ἐπιῤῥημάτων, εἴγε ἃ μὲν αὐτῶν πάλιν ὀξύνεται, ἃ δὲ βαρύνεται ἐν διαστολῇ τῇ δεούσῃ· οὐ γὰρ τὸ νόσφι καὶ τὸ ἶφι ὁμοίως εἰρήσεται τῷ ἑλληνιστί. καὶ εἰ δίδοται τὸ παρηλλαγμένον τοῦ εἴδους ἐν διαφόρῳ τόνῳ, σαφὲς ὅτι οὐδὲ ἐπὶ τοῦ τοιούτου βίαιον καὶ τὸ ἐπισχερώ ὀξύνεσθαι καὶ τὸ ἰώ, ἐν παραλλαγῇ καθεστῶτα τοῦ πρόσω καὶ τόνῳ καὶ τῶν ὁμοίων. 5

Ἔτι τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα παροξύνεται, καθὼς ἔχει τὰ προκατειλεγμένα, πρόσω, ἔσω, κάτω, ἐγγυτέρω. σαφὲς οὖν ὅτι, καθὼς προείπομεν, εἰ ἐπίῤῥημα τὸ ΑΝΕΩΙ, σεσημειώσεται. καὶ εἰ παρεστήσαμεν ὡς τὰ συνεμπίπτοντα ὀνοματικῇ πτώσει ἐπιῤῥήματα τὴν τάσιν τῶν ὀνομάτων φυλάσσει, σαφὲς ὅτι προπαροξυνόμενον ἕνεκα τοῦ τόνου κατώρθωται. ἐδείκνυτο γὰρ τὸ προκείμενον, ὡς ἀπὸ Ἀττικῆς γραφῆς τῆς ἄνεως ἐσχημάτιστο· ἦν δὲ τὸ παρὰ Ἀττικοῖς ἄνεως τρίτην ἀπὸ τέλους ἔχον τὴν ὀξεῖαν. ὅθεν εὐλόγως τὰ μὲν ἄλλα βαρυνόμενα τὴν ὀξεῖαν πρὸ τέλους ἔχει, οὐ δυναμένης τῆς ὀξείας τρίτης ἀπὸ τέλους πίπτειν. 10 15 20

Ἔτι τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα βραχεῖα κέχρηται τῇ παρεδρευούσῃ, ὡς ἔχει τὸ ἑκαστέρω καὶ τὸ τόνῳ, ἄνω. καὶ οὐκ ἀντίκειται τὸ εἴσω· δέδεικται γὰρ καὶ ἡ ἓς πρόθεσις ὁλοκληροτέρα καὶ τὸ ἔσω. Τὸ ἄρα ΠΟΡΓΩ ἐκτέταται ὡς Ἀττικώτερον, καθὸ καὶ τὸ προπέρυσι προπέρυσίν φασι, καὶ ὅτι μᾶλλον μηκυντικοί εἰσι κατὰ τὰ φωνήεντα. περισσοσυλλάβου πάσης γενικῆς κατάληξίς ἐστι βραχεῖα, ἀλλὰ Ἀθηναῖοι πόλεως φασι καὶ τὰ τούτοις ὅμοια. κτητικῶν τῶν εἰς κος ληγόντων ἡ παρεδρεύουσα βραχεῖά ἐστιν, ἀλλὰ κεραμεικός φασι καὶ βοεικός. τὸ ᾱ πρὸ τῶν δύο λλ συστέλλεται, σκάλλω, θάλλω, σφάλλω, ἄλλος, μαλλός, φάλλος· ἐδείχθη καὶ κατὰ τοῦτο τὸ μᾶλλον Ἀττικόν. ἄπειρος ἡ εἰς τὸ τοιοῦτο παράθεσις. 25 30

Ἄλλως τε, ὃν τρόπον παρὰ τὴν τόνῳ δοτικὴν τὸ ὁμόφωνον γίνεται ἐπίῤῥημα τόνῳ, οὕτως καὶ παρὰ τὴν πόρῳ δοτικὴν τὸ ἀκόλουθον ἐγένετο πόρῳ. ἴσως δὲ καὶ ὁ πλεονασμὸς τῆς διαλέκτου. διὸ καὶ ὁ πυῤῥίας· τῇ γὰρ πυρός γενικῇ παρωνόμασται. καὶ ὁ πυῤῥός τῆδε ἔχει. Οὐκ ἀγνοῶ δὲ ὡς ἔνιοι παρὰ πρόθεσιν τὴν πρός φασι γεγενῆσθαι, ὥστε ἐν ὑπερβατῷ τοῦ ῥ γεγενῆσθαι πόρσω, καὶ μεταθέσει τοῦ σ εἰς τὸ ῥ πόῤῥω. οὐκ ἀήθως δὲ καὶ τὸ σ εἰς τὸ ῥ μεταπίπτει, ὡς ἡ μυρσίνη μυῤῥίνη, θαρσεῖν θαῤῥεῖν.

Ἔτι καὶ τὸ ΟΥΤΩ εἰ κατὰ φύσιν εἰς ῶ λήγει, ἕνεκα τοῦ χρόνου τοῦ παρεδρεύοντος σεσημειώσεται· ὅθεν διακριτέον, πότερον ἐν προσθέσει ἐστὶ τοῦ σ τὸ οὕτως ἢ ἐν ἀφαιρέσει τοῦ σ [τὸ οὕτω]. Οὐδὲν τῶν εἰς ῶ ληγόντων ἐπιῤῥημάτων τὸ σ ποτὲ προσλαμβάνει, ἀπειράκις μέντοι τὰ εἰς σ λήγοντα βαρύτονα ἐπιῤῥήματα τὸ σ ἀποβάλλει· δεύτερον ἄρα ἐστὶ τὸ οὕτω τοῦ οὕτως. Τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα δείκνυται ἢ ἀπὸ ὀνομάτων τῶν οὐ τριγενῶν ἐσχηματισμένα ἢ ἀπὸ προθέσεων, ὡς ἔχει τὸ τόνῳ, κύκλῳ, κάτω καὶ τὰ ὅμοια· τὰ δὲ εἰς ως περατούμενα πάντως ἀπὸ τριγενῶν πτωτικῶν, κούφως, φίλως, μέσως, ταχέως, εὐσεβῶς, καλῶς. ἔστι δέ γε τὸ οὕτος οὐ μοναδικόν, τριγενὲς δέ. σαφὲς οὖν ὅτι καὶ κατὰ τοῦτο τὸ οὕτως ἐντελέστερον. Ἴσως τίς οἰήσεται τὸ παράδειγμα ἔρχεσθαι πολλοῖς ἀντικειμένοις, πρόληψιν ἔχων τοῦ ὅτι παρὰ τὸ ἐγγύτατος [τὸ] ἐγγυτάτω ἐγένετο, παρά τε τὸ ἐσώτατος τὸ ἐσωτάτω, καὶ ἔτι ἐπὶ τῶν τοιούτων ὑπερθετικῶν. ὅπερ ἐχρῆν καὶ τὸν Τρύφωνα, ἀποφαινόμενον τὸν προκείμενον κανόνα, περὶ τῶν δοκούντων ὡς ἀντικειμένων ἀπολογήσασθαι. τὰ δὴ οὖν προκείμενα ἐπιῤῥήματα οὐ παρὰ τὰ προκείμενα ὑπερθετικὰ ὀνόματα ἐσχηματίσται, ἦν δὲ ὑπερτεθειμένα ἐξ ἐπιῤῥημάτων συγκριτικῶν· τὰ δὲ τῆς ἀποδείξεως ἔχει τῆδε. εἴπερ παρὰ τὸ ἐγγύτατος καὶ

ἀνώτατος τὸ ἐγγυτάτω ἦν καὶ ἀνωτάτω, δῆλον ὡς καὶ παρὰ πάντα τὰ ὑπερθετικὰ τὸ τοιοῦτον ἂν παρείπετο, ὥςτε ἀπὸ τοῦ γοργότατος φάναι ἡμᾶς τὸ γοργοτάτω, ταχύτατος ταχυτάτω, ἡδύτατος ἡδυτάτω, γραμματικώτατος γραμματικωτάτῳ. ἀλλ' οὐχ ὡς ἔστι τὰ τοιαῦτα ἐπιῤῥήματα, παντὶ προῦπτον. εἴπερ οὖν τὰ προκείμενα ἐπιῤῥήματα παρ' ὄνομα ἐγεγόνει, ἄπορον ἂν τὸ τοιοῦτον ἦν, παρὰ τί ἡ κακία τῶν τοιούτων ἐπιῤῥημάτων, γενομένη ἐν Ἑλληνισμοῦ παραδοχῇ, λέγω ἢ τοῦ ἀνωτάτω ἢ κατωτάτω. τὰ ἐπιῤῥήματα οὐχ ἅπαντα μὲν τὴν σύγκρισιν ἀναδέχεται, ὅτι μὴ μόνον τὰ ἀναδεχόμενα εἴη τοπικά, ἅπερ ἀπὸ πρωτοτύπων πάλιν ἐπιῤῥημάτων ἐστί, ποιεῖται δὲ διττὴν τὴν ἐπίτασιν, εἰς μὲν ὄνομα, ἡνίκα φαμὲν παρὰ τὸ ἐγγύς ἐγγύτερος, παρά τε τὸ ἄφαρ ἀφάρτερος, ἔσω ἐσώτερος, ἄνω ἀνωτέρος, ἅπερ οὐκ ἐπίτασιν πεποίηται τῶν τόπων ἢ τῶν μετειληφότων προςώπων τῆς τοπικῆς σχέσεως· ποιεῖται δὲ καὶ τοπικὴν ἐπίτασιν, ἅπερ αὐτὴν τὴν τοπικὴν σχέσιν ἀφηγεῖται, ἐγγύς ἐγγυτέρω, ἔσω ἐσωτέρω, ἑκάς ἑκαστέρω. ὥςτε διαφέρειν τὰ ἀπὸ ὀνομάτων συγκρινόμενα τῶν ἀπὸ ἐπιῤῥημάτων, τῷ τὰ μὲν ἀπὸ ὀνομάτων εἰς μόνα ὀνόματα συγκρίνεσθαι, κοῖλος κοιλότερος, ταχύς ταχύτερος, τὰ δὲ ἀπὸ ἐπιῤῥημάτων καὶ εἰς ὀνόματος καὶ εἰς ἐπιῤῥήματος ἐπίτασιν, ὡς πρόκειται. τοῖς δὴ οὖν συγκριτικοῖς τῶν ἐπιῤῥημάτων παρεπόμενόν ἐστι τὸ ὑπερτίθεσθαι, ὡς πρόδηλον κἀκ τῆς καταλήξεως, καθὼς καὶ ἐπ' ὀνοματικῆς συγκρίσεως ἡ αὐτὴ πάλιν κατάληξις ἐγγίνεται, γοργότερος γοργότατος, ταχύτερος ταχύτατος. καὶ πάλιν παρὰ τὸ ἀνωτέρω τὸ ἀνωτάτω. σαφὲς οὖν, ὅτι συνυπάρχοντα ταῖς συγκριτικαῖς ἐκφοραῖς τῶν ἐπιῤῥημάτων ὁμολογεῖ τὴν ἀπ' αὐτῶν ἐπίτασιν. οὐ γάρ ἐστιν εὐμαρὴς ἡ εἰς ᾧ κατάληξις τῶν ὑπερθετικῶν, εἰ μὴ πρότερον ἡ συγκριτικὴ

γένοιτο κατάληξις. ἐπεὶ γὰρ οὔ φαμεν βραδυτέρω, οὐδὲ βραδυτάτω· οὐδὲ γὰρ τὸ προκείμενον ἦν ἐπίῤῥημα. τῷ ἐγγύς παράκειται καὶ ἐγγύτερος καὶ ἐγγυτέρω, καὶ συνυπάρχει τὸ ἐγγυτάτω. ἀπεδείχθη οὖν, ὡς οὐ παρὰ τὸ ἐγγύτατος ἢ ἀνώτατος ἢ ἀνωτάτω καὶ τὰ τούτοις ὅμοια ἐγίνετο. ἔστι γε μὴν ἀπὸ ὀνομάτων συγκριτικῶν ἐπιῤῥηματικὴ κατάληξις συνεμπίπτουσα. ἐπὶ μὲν οὖν συγκρίσεως ἑνικῷ οὐδετέρῳ, ἐπὶ δὲ ὑπερθέσεως πληθυντικῷ οὐδετέρῳ· ταχύς ταχύτερον, ἀλλὰ καὶ ἐπίῤῥημα ταχύτερον· καὶ πληθυντικὸν ταχύτατα, ἀλλὰ καὶ ταχύτατα. οὕτως ἔχει καὶ τὸ κάλλιστα καὶ ἥδιστα. ἔστι μὲν οὖν παρὰ μὲν ὄνομα τὸ ἐγγύτερος ἐπίῤῥημά τι συγκριτικὸν ὀνοματικὸν τὸ ἐγγύτερον, οὗ ὑπερθετικὸν τὸ ἐγγύτατα· καὶ ἔτι παρὰ τὸ ἀνώτερος ἐπίῤῥημά τι τὸ ἀνώτερον, οὗ ὑπερθετικὸν τὸ ἀνώτατα· ὡς μέντοι πρόκειται, παρὰ τὸ ἀνωτέρω ὁμοιοκατάληκτον πεσεῖται τὸ ἀνωτάτω, ὥστε διαφέρειν τὸ ἀνωτάτω τοῦ ἀνώτατα, ᾗ τὸ μὲν ὀνοματικόν ἐστιν ἐπίῤῥημα, τὸ δὲ ἐπιῤῥηματικόν.

Καὶ τὸ Ἄφνω δέ, ἐν πάθει γενόμενον καὶ οὐ προφανῶς ἐπιδεξάμενον τὴν προκειμένην ὀνοματικὴν τριγένειαν, συνεξῆλθε τοῖς εἰς ῶ λήγουσιν ἐπιῤῥήμασιν. ἔστι μὲν γὰρ αὖ τούτου προκείμενον ὄνομα ἀφανής, καὶ ἔτι τὸ ἀφανῶς, ᾗ δὲ συγκοπὴ ἄφνω, πάλιν καὶ τοῦ τόνου εὐλόγως ἀναβιβασθέντος, ᾗ ἀπεδείχθη τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα, μοναδικὰ ὄντα λέγω, κατὰ βαρεῖαν τάσιν. ὅτι δὲ ἔσθ' ὅτε πάθος ἐγγινόμενον ἀμαυροῖ τὰς ἰδιότητας τὸ δεόντως πως σχηματίζεσθαι, ἐντελῶς ἐν τοῖς περὶ παθῶν ἐδείχθη.

Τὰ εἰς ῶς λήγοντα ἐπιῤῥήματα κοινολεκτούμενα δυσὶ τόνοις ὑποπίπτει. ἢ γὰρ βαρύνεται, ὡς κούφως, φαύλως, μετρίως, ἢ περιέσπασται, ὡς τὸ σεμνῶς καὶ εὐσεβῶς. καὶ ἔτι παρὰ Δωριεῦσιν ἔνια ὀξύνεται,

ὥστε κατ' ἔγκλισιν ἀνεγνώσθη ἤ ῥα κάλως ἀποκαθάρασα ἐξελεπύρωσεν. περὶ ὧν καὶ κατὰ τὸ ἑξῆς εἰρήσεται. ὑπέλαβον ὅτι καὶ κατὰ τὸ ἔθος τὸ Ὦ Σ Δωρικόν ἐστι, περὶ οὗ ἐν εὐτάκτῳ εἰρήσεται ἐν τῷ περὶ τῶν διεψευσμένων τόνων. καὶ νῦν δὲ κεφαλαιωδέστερον ἔστι περὶ αὐτοῦ ἐκθέσθαι, ὡς ἀνήκοντα τόνον ἀνεδέξατο. τὰ προκείμενα τῶν ἐπιῤῥημάτων, ἰδίας παραγωγῆς οὐ τυχόντα, οὐδὲ τὸν ἴδιον τόνον ἔχει, ἀναμένει δὲ τὸν πτωτικὸν τόνον, ὅς ἐστιν ἀπὸ γενικῆς πληθυντικῆς. καὶ ἕνεκα τούτου ἢ περισπᾶται ἢ βαρύνεται, καθὸ πᾶσα γενικὴ πληθυντικὴ ἤτοι περισπᾶται ἢ βαρύνεται. ἅμα καὶ συναποδεικτέον, ὡς παράγεται τὰ ἐπιῤῥήματα· καὶ συνηγορητέον τῷ προκειμένῳ μορίῳ, ὅτι δεόντως ὠξύνθη. Ἔκκειται μὲν οὖν πρῶτος λόγος, ὅτι διὰ τοῦτο ἢ περισπᾶται ἢ βαρύνεται, διὰ τὸν παρεπόμενον τόνον τῇ γενικῇ πληθυντικῇ. καὶ συνυπάρχειν γὰρ θέλει τῇ γενικῇ πληθυντικῇ. τὸ μέγας ἑτερόκλιτον ἔχει τὸ μεγάλου, καὶ τὸ ἐπίῤῥημα οὐ παρὰ τὴν μέγας, ὡς παρὰ τὴν μεγάλων. τὸ παντός ὀξύνεται, ἡ δὲ πάντων γενικὴ βαρύνεται· ἔνθεν καὶ τὸ συνὸν ἐπίῤῥημα συμβαρύνεται. καὶ ὅτι τοῦτο αἴτιον, σαφὲς καὶ ἐκ τοῦ Δωριεῖς συμπερισπᾷν τὸ ἐπίῤῥημα, ἐπεὶ καὶ τὴν γενικὴν παντῶν φασίν. οὕτως ἔχει καὶ τὸ ἀλλῶς καὶ τηνῶς. τοῦτο γὰρ καὶ ἐνίους ἠπάτησεν ἀποφήνασθαι ὡς τὰ παρ' ἡμῖν βαρύτονα τῶν ἐπιῤῥημάτων περισπῶσι Δωριεῖς. ὅπερ οὐκ ἦν ἀληθές· οὔτε γὰρ τὸ κούφως οὔτε τὸ φίλως οὔτε τὰ τοιαῦτα περισπῶσι. διὰ τί οὖν τὸ παντῶς; ὅτι καὶ τὴν ποιοῦσαν τὸν τόνον γενικὴν περιεσπάκεισαν. διότι δὲ τὴν παντῶν γενικὴν περισπῶσι καὶ ἔτι τὴν ἀλλῶν, ἐν ἑτέροις ἐδιδάξαμεν κατὰ τὰς ἀντωνυμικὰς γενικάς. Ἔτι καὶ τὰ τῆς φωνῆς ἐγγίζει· τοῦ γὰρ ν ἅπαξ μετάθεσις εἰς τὸ σ γίνεται· καὶ τὰ ἐγγινόμενα πάθη. ἕνεκα τίνος τὸ σοφῶς οὐ διαιρεῖται; ὅτι οὐδὲ ἡ σοφῶν γε-

νική. ἕνεκα τίνος τὸ ψευδέως, εὐσεβέως, ἀτρεκέως; ἢ ὅτι καὶ [ἡ] εὐσεβέων καὶ ἀτρεκέων. Ἐταράχθησαν ἔνιοι καὶ κατὰ τὰ σχήματα τῶν ἐπιῤῥημάτων, ὑπολαμβάνοντες μὴ ἐξομαλίζεσθαι τὰ τῆς τάσεως τῶν ἐπιῤῥημάτων, εἴγε ἀπὸ τοῦ καλῶς φασὶ παγκάλως καὶ ἀπὸ τοῦ σεμνῶς ἀσέμνως, οὐ μὴν ἀπὸ τοῦ ψευδῶς ἀψεύδως, σαφῶς ἀσάφως ἦν. οὐδὲ γὰρ ἡ σύνθεσις αὐτῶν, τῶν δὲ προεκκειμένων πτωτικῶν, οἷς παρείπετο ἀναβιβάζειν μὲν τὸν τόνον, εἰ εἰς ος λήγοιεν, φυλάσσειν δέ, εἰ εἰς ης. καὶ ἐπεὶ καλός - πάγκαλος - παγκάλων, διὰ τοῦτο παγκάλως· ψευδής δὲ καὶ ἀψευδής καὶ ἀψευδῶν, καὶ διὰ τοῦτο ἀψευδῶς καὶ ἀσαφῶς. Δέδεικται ἄρα διὰ πλειόνων, ὅτι οὐκ ἴδιον τόνον ἀνεδέχετο τὰ εἰς ως παρηγμένα παρ' ὀνοματικὰς ἐκφοράς· ὅθεν μοι δοκεῖ καὶ τὸ προκείμενον ἐπίῤῥημα εὐθύνεσθαι, εἰ ἐλέγχοιτο ἀπὸ γενικῆς περισπωμένης, ἣ ὤφειλεν ἔπεσθαι. οὐ δὴ ἔχει γενικήν· ἡ γὰρ παρεκκειμένη γενικὴ τῶν. Καὶ ἴσως ὑπολάβοι τις, ὅτι καὶ τὸ τῷς ἄλογόν ἐστιν, ὅπερ πάλιν χρὴ περισπᾶν. ἀλλ' ὡς δεύτερόν ἐστι τὸ τῷς τοῦ ὥς, παντί τῳ δῆλον. οὐ γὰρ τῆς γενικῆς τὸ τ ἔχει, τῆς δὲ ἀνταποδόσεως τοῦ [ὡς], ᾧ λόγῳ καὶ τῷ ἕως τὸ τέως παράκειται καὶ τῷ ἡνίκα τὸ τηνίκα, τῷ τε ὄφρα τὸ τόφρα. μάρτυς ἡ χρῆσις [ἡ] παρ' Ἕλλησι. τίς οὖν αἰτία τοῦ ὀξυνθῆναι τὸ ὡς; τὸ προκείμενον αὐτοῦ μόριον πτωτικὸν ὅς. ἔντεῦθεν γὰρ ἔστιν ἐπινοῆσαι, ὡς παρ' εὐθεῖαν παρήχθη, εἴγε αἱ μὲν ἄλλαι τῶν πλαγίων μετὰ τοῦ τ λέγονται, αἱ δὲ εὐθεῖαι μόναι δίχα τοῦ τ. ὅς γὰρ καὶ τοῦ καὶ τῷ καὶ τόν. λέγω νῦν τὸ ὅς σημαῖνον τὸ οὗτος, ὡς ἐν τῷ

ὅς ῥα μάλιστα.

οὔτε γὰρ ἀπὸ τοῦ ἀορίστου μορίου, οὔτε ἀπὸ τῆς συνάρθρου ἀντωνυμίας, οὔτε ἀπὸ τοῦ ὑποτακτικοῦ ἄρθρου· λέγω δὲ ἀντωνυμικοῦ τοῦ ὅς. διὸ καὶ τὸ ἐπίῤῥημα τῆς δείξεώς τε καὶ ἀναφορᾶς ἐστὶ παραστατικόν.

τὸ γοῦν ἑτερόζυγον, λέγω τὸ ἐπεκτεταμένον, πάλιν μεμίμηται τὴν εὐθεῖαν πτῶσιν· πάλιν γὰρ τὸ οὕτως οὐ παρὰ γενικὴν οὐδὲ παρὰ δοτικήν, μόνην δὲ εὐθεῖαν τὴν δίχα τοῦ τ λεγομένην. ἀμφοτέροις γοῦν τὸ πάθος σύνεστι, τουτέστιν ἡ ἀποβολὴ τοῦ σ, οὕτω καὶ ὥτε χερνᾶτις γυνή, σημασία τε ἡ αὐτή. Ἀλλ' ἐκεῖνό τις φήσει κατὰ τοῦ γε σεσημειώσεται, ὅτι μὴ ἀπὸ γενικῆς ἐσχηματίσθη. Πρὸς ὃν ἔστι φάναι, ὅτι καὶ ἄλλαι πάμπολλοι παραγωγαί, ἀπὸ γενικῶν σχηματιζόμεναι, ἔχουσί τινα παρεκδεδραμηκότα παρὰ τὰς εὐθείας. τὰ κτητικὰ τῶν εἰς κος ληγόντων παρὰ γενικὰς σχηματίζεται, ποιμενικόν, Ἀτλαντικόν· ἀλλὰ τὸ θηλυκὸν παρ' εὐθεῖαν, τὸ πανηγυρικός. παρὰ τὴν ἔρωτος τὸ ἐρωτύλος, ἀλλὰ καὶ παρὰ εὐθεῖαν τὴν ἡδύς τὸ ἡδύλος. οὐδὲν οὖν τὸ ἐμποδοῦν τὸ πάντα μὲν τὰ ἐπιῤῥήματα παρὰ γενικὰς σχηματίζεσθαι, τό γε μὴν ὡς καὶ τὸ οὕτως παρ' εὐθείας. Ἤδη ἀπεδείχθη τὰ προκείμενα τῶν ἐπιῤῥημάτων ἰδίῳ μὲν τόνῳ μὴ κεχρημένα, ἀναμένοντα δὲ τὴν τάσιν τὴν ἐν πτωτικοῖς. σαφὲς ὅτι, εἰ τὸ ὡς περιεσπᾶτο, ἠλογεῖτο ἄν, τοῦ ὅς ὀξυνομένου. βίαιοι ἄρα οἱ ὑπολαμβάνοντες αὐτὸ Δωρικόν· καὶ γὰρ τῶν Δωρικῶν πρόκειταί τινα περισπώμενα.

Συζυγεῖ τῷ προκειμένῳ μορίῳ ἀνταποδοτικὸν μὲν τὸ τώς, πυσματικόν δὲ τὸ πῶς, καὶ ἔτι ἀναφορικὸν τὸ ὅπως, καθὸ καὶ ἄλλοις ἡ τοιαύτη τάξις παρέπεται, ἧ - τῇ - πῇ - ὅπῃ, οὗ - τοῦ - ποῦ - ὅπου, ἡνίκα - τηνίκα - πηνίκα - ὁπηνίκα. Ἴσως οὖν τις φήσει τὰ κατὰ πεῦσιν ὁμοτονεῖν τοῖς κατὰ ἀπόλυσιν. τὸ ποῦ περισπᾶται, ἀλλὰ καὶ τὸ οὗ τῆς αὐτῆς τάσεως ἔχεται. ἡνίκα, καὶ τὸ πηνίκα. τὸ ἧ περισπᾶται, ἀλλὰ καὶ τὸ πῇ. εἰ δὴ καὶ τὸ πῶς περισπᾶται, ὁμόλογον ὅτι καὶ τὸ ὡς περισπασθήσεται. Ἀλλὰ πρός γε τὸ τοιοῦτον ἔστι φάναι. τί γὰρ μᾶλλον, εἰ τὸ ὡς ἀποδέδεικται εὐλόγως ὀξυνόμενον, οὐχὶ

Καὶ κατὰ τοῦτο οὖν τις σημειώσαιτο τὸ ΔΙΧΩΣ καὶ τριχῶς, ὅτι πλεονοσυλλαβεῖ τοῦ δίς καὶ τρίς. Ἀλλ' ἴσως ἐπεὶ οὐδὲ ὁλόκληρα αὐτὰ τὰ ἐπιῤῥήματα, ἐν δὲ συγκοπῇ, καὶ τὰ παρακείμενα οὐ τῇ συγκοπῇ ἠκολούθει, τῇ δὲ ὁλοκλήρῳ προφορᾷ. Ἀλλ' ἐπεὶ ἐμποδίζει τὸ μὴ συνισοῦσθαι αὐτὰ τῷ δυάκις καὶ τριάκις, ἄμεινον ἐκεῖνο φάναι, ὡς πολλάκις τὰ ἀπὸ μονοσυλλάβων λέξεων παραγόμενα ἢ καὶ συντιθέμενα φυλακτικά ἐστι τῶν ἰδίων φωνηέντων ὑπὲρ τοῦ μὴ παραναλίσκεσθαι εἰς τὰς παραγωγὰς αὐτὰς τὰς πρωτοτύπους λέξεις, εἴγε καὶ ἡ πρό 1
πρόθεσις συντιθεμένη οὐκ ἀποβάλλει τὸ ο, φωνήεντος ἐπιφερομένου, ἡ δὲ ἀπό καὶ ὑπό· καὶ τὸ γήδιον ὑποκοριζόμενον ἐφύλαξε τὸ η τοῦ γῆ, τοῦ τέλους τῶν τοιούτων γενικῶν εἰς τὸ ιδιον μεταλαμβανομένου, κυνός - κυνίδιον, ἄρτου ἀρτίδιον, λέγω τῶν μετὰ συμφώνου ἐκ- 1
φερομένων· καὶ τὸ μναᾶιος ἐφύλαξε τὸ α. ἔστι καὶ ἄλλα πάμπολλα εἰς τὸ τοιοῦτον παραθέσθαι. ἀναγκαία ἄρα καὶ ἡ μονὴ τοῦ ι ἐν τῷ διχῶς καὶ τριχῶς.

Καὶ περὶ τάσεως δὲ τοῦ ἡσύχως ἢ ἡσυχῶς καὶ τοῦ παρακειμένου ἐπιῤῥήματος, λέγω τοῦ ἡσύχη ἢ ἡσυχῇ, 2
ἦν τις διαφορά. Καὶ οἱ μὲν ἠξίωσαν ἀμφότερα βαρύνειν, λέγω τὸ ἡσύχως καὶ ἡσύχη, καθὸ συμβαρύνεται τὰ τοιαῦτα τῶν ἐπιῤῥημάτων ταῖς συνούσαις γενικαῖς. φαμὲν κούφως, ὅτι καὶ κούφων, καθὼς πρόκειται· εἰ δέ φαμεν ἡσύχων, δῆλον ὅτι καὶ ἡσύχως· καὶ εἰ 2
τὰ τοιαῦτα ἔχει τὰ παρακείμενα εἰς η ἐπιῤῥήματα τὸν αὐτὸν τόνον τηροῦντα, δῆλον ὅτι καὶ ἡσύχη. φαμὲν γὰρ πάντη, ὅτι καὶ πάντως, καὶ ἄλλη, ὅτι καὶ ἄλλως,

ἄλλη μὲν γὰρ ἔγωγε·

οὐδαμῇ δέ, ὅτι καὶ οὐδαμῶς, διχῇ τε καὶ τριχῇ, 3
ὅτι καὶ διχῶς καὶ τριχῶς. τούτῳ γὰρ τῷ λόγῳ καὶ Δωριεῖς παντᾷ φασίν, ὅτι καὶ τὸ ἐπιῤῥημα παντῶς, καὶ ἀλλᾷ, ὅτι καὶ ἀλλῶς. κατὰ τοῦτον τὸν λόγον, δεδο-

μένου τοῦ ἡσύχως, συνδοθήσεται καὶ βαρύτονον τὸ ἡσύχῃ. Ἔστι καὶ ὑπὲρ τοῦ ἑτέρου λόγου ἐκεῖνο φάναι, ὅτι καὶ ἄλλα μόρια, ὀφείλοντα κατὰ ἀκολουθίαν τινὰ ἢ ὀξύνεσθαι ἢ περισπᾶσθαι, συνεκδρομῇ γραφῆς παρακολουθήσαντα ἀπέφευγε τὸν δίοντα τόνον. παρὰ τὸ ἵστημι ἐστὶ τὸ ἱστάς καὶ παρὰ τὸ βίβημι τὸ βιβάς, κίχρημι κιχράς, τίθημι τιθείς. ἔδει οὖν καὶ παρὰ τὸ ἵσαμι τὸ ἱσάς εἶναι· ἀλλ' ἐπεὶ ἅπαξ αἱ εἰς σας λήγουσαι μετοχαὶ βαρύνονται, τῷ ῑ παραληγόμεναι, γεμίσας, λεπίσας, λακτίσας, συνεξέδραμε καὶ ἡ ἴσας τοῖς τοιούτοις. οὐδὲν οὖν κωλύει καὶ τὸ ἡσυχῶς περισπᾶν τῇ συνεκδρομῇ τῇ τῶν εἰς χως ληγόντων ἐπιῤῥημάτων, καὶ πάλιν συμπαρακεῖσθαι τὸ ἡσυχῇ συμπεριεσπωμένως ὡς διχῇ καὶ τριχῇ.

Τὸ παρὰ Μενάνδρῳ ΝΟΥΝΕΧΟΝΤΩΣ δοκεῖ ἀσύστατον εἶναι, καθότι τῶν τοιούτων ἐπιῤῥημάτων προϋφέστηκε καὶ πτωτικόν. τὸ νουνεχῶς ἀναλογώτερον καθέστηκε, καθότι καὶ τὸ νουνεχής παράκειται. καθὸ οὖν οὐ δοκεῖ ἐπιῤῥηματικῶς ἐξενηνέχθαι, σεσημειώσθω· ἐπεί τοί γε πολλάκις σχήματά τινα ἐκ διεστώτων εἰς ἑνότητα παραλαμβάνεται. παρὰ δύο διεστῶτα τὸ Ἄρειος πάγος Ἀρεοπαγίτης, παρὰ τὸ τὸ αὐτό ἕν που ἀποτελεῖται τὸ ταυτότης, παρὰ τὸ νέα πόλις ἓν τὸ νεαπολίτης. συγταίη ἂν οὖν καὶ παρὰ τὸ νοῦν ἔχων τὸ νουνεχόντως κατὰ τὸν τοιοῦτον λόγον, οὐ μήν, ὡς προείπομεν, κατὰ σύστασιν τῶν προκειμένων ἐπιῤῥημάτων.

Τοσαῦτα περὶ τῶν εἰς ως ληγόντων ἐπιῤῥημάτων.

Τὰ εἰς ου λήγοντα ἐπιῤῥήματα, ἐάν τε παρ' ὀνόματα ἢ ἐσχηματισμένα, ἐάν τε παρ' ἄλλο μέρος λόγου, περισπᾶται. τῷ ὕψος παράκειται τὸ

ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν·

τῷ τῆλε τὸ τηλοῦ — ὁπότε ἐδύνατο καὶ τῷ τέλος παρα-

κεῖσθαι, ὥστε τὸ μὲν ἐντελὲς εἶναι τελοῦ, εἶτα κατ' ἐπέκτασιν τηλοῦ· τὰ γὰρ ἐπὶ τέλους συντείνοντα μεγεθύνεται — · τῷ ἄγχι τὸ ἀγχοῦ· τῇ αὐτός ἀντωνυμίᾳ τὸ αὐτοῦ. ἔνθεν καὶ δοκεῖ τὰ τῆς παραθέσεως ἀμφίβολα γίνεσθαι, ὅτι καὶ ἡ γενικὴ συνεμπίπτει. τὸ γοῦν

ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
αὐτοῦ πρόσθε ποδῶν

ἤτοι ἀντὶ τοῦ αὐτοῦ πρόσθε ποδῶν ἔπεσαν, ἢ τοπικὴν σχέσιν σημαίνει· καὶ τὸ

αὐτοῦ καὶ κριοῖο θοώταταί εἰσι κέλευθοι 1

ἤτοι τοῦ κριοῦ καὶ τοῦ σκορπιοῦ θοώταται αἱ κέλευθοί εἰσιν, ἢ τοπικῶς πάλιν τὸ ἐπίρρημα κεῖται. Ὅθεν ἀναλογώτερον δοκεῖ εἶναι τὸ ποῦ τοῦ ὅπου. ἔχοι δ' ἂν καὶ τὸ ὅπου ἀναλογίαν, καθὸ τὰ ἐν περισπασμῷ λεγόμενα μονοσύλλαβα, προσλαμβάνοντα τὸ ō κατὰ ἀναφορικὴν 1
ἔννοιαν, βαρύνεται. τὸ πῶς ὅπως λέγεται καὶ τὸ πῇ ὅπῃ· καὶ τὸ ποῦ ἄρα ὅπου εἴρηται.

Ὁμοίως καὶ τὰ εἰς ōι λήγοντα παραγωγὰ περισπᾶται, παρ' οἷα μέρη λόγου ἂν ᾖ παρηγμένα, Μεγαροῖ, Ἰσθμοῖ, καὶ παρὰ ἐπίρρημα τὸ ἐνταῦθα ἐνταυθοῖ. 2
σεσημειώσεται οὖν τὸ οἴκοι οὐ μόνον τῇ τοιαύτῃ τάσει, ἀλλὰ καὶ ἔτι ἐν τῷ οἴκοθεν, ὡς δεδείξεται ἐν τῷ περὶ τῶν εἰς θεν. καὶ ἕνεκα τοῦ τύπου καὶ τὸ πόποι, ὦ πόποι· καὶ γὰρ τὰ πρωτότυπα θέλει ὁπωσδήποτε περισπᾶσθαι, ὡς ἔχει τὸ οἰμοιμοῖ καὶ τὸ ὀτοτοῖ καὶ τὸ 2
οἰοιοῖ. Φαίνεται ὅτι καὶ τὸ εὐοῖ κατὰ τοῦτο σεσημειώσεται. τὸ γὰρ παρὰ τοῖς περὶ τὸν Ἀλκαῖον μέσσοι δῆλον ὅτι κατὰ τὴν ἰδίαν διάλεκτον ἀνὰ λόγον βαρυνθείη ἄν. οὐ γάρ ἐστιν ἐλλιπὴς τῇ ἔν προθέσει, συστελλομένου τοῦ ῱ εἰς τὸ ō, ὡς τινες ὑπενόησαν, ἐν μέσσῳ· 3
ἀλλ' ὃν τρόπον παρὰ τὸ οἶκος τὸ οἴκοι ἐγένετο, σημαῖνον τὸ ἐν οἴκῳ, παρά τε τὸ Πυθώ τὸ Πυθοῖ, καὶ παρὰ τὸ Μέγαρα τὸ Μεγαροῖ, σημαῖνον τὸ ἐν Μεγάροις,

τὸ

τὸν αὐτὸν τρόπον καὶ παρὰ τὸ μέσος τὸ μέσσοι ἐγένετο, σημαῖνον τὸ ἐν μέσῳ. ὅπερ ἔφην κατὰ τὸ Αἰολικὸν ἔθος βαρύνεσθαι.

Τὰ εἰς δε λήγοντα τοπικὰ ἐπιῤῥήματα, ἐν ἑνὶ μέρει λόγου καθεστῶτα, καὶ προπαροξύνεται καὶ τῷ ᾱ παρεδρεύεται, ὡς ἔχει τὸ οἴκαδε, ἄλαδε. ἐν τόνῳ οὖν σεσημειώσεται τὸ ΈΝΘΑΔΕ. ἢ τὰ τοιαῦτα τῶν ἐπιῤῥημάτων παράκειται ὀνόμασι, τὸ ἐνθάδε δὲ οὐδὲ τῆδε ἔχει. τὰ προκείμενα τῶν ἐπιῤῥημάτων οὐδέποτε ἀποβολῇ τοῦ δε σχέσιν τοπικὴν ἀποτελεῖ· πῶς οὖν παρὰ τὸ ἐνθάδε τὸ ἔνθα σχέσιν τοπικὴν σημαίνει;

ἔνθα κατεπλέομεν.

Πρόσκειται δὲ ἐν ἑνὶ μέρει λόγου, ἐπεὶ καὶ ἔστιν ἐκ συντάξεως τῆς κατ᾽ αἰτιατικὴν καὶ συνδέσμου τοῦ δέ πάλιν ἢ εἰς τόπον σχέσις, ὡς ἔχει τὸ Οὔλυμπόνδε καὶ ἀγρόνδε καὶ οἰκόνδε. διὸ οὐδὲ κατὰ τὸ τοιοῦτον ὅμοιόν ἐστι τῷ ἐνθάδε, ὅτι οὔτε ἔγκειται αἰτιατική, οὔτε ὁ τόνος τοῦ πρωτοτύπου διαφυλάσσεται, καθάπερ ἐπὶ τῶν προκειμένων. τὸ γὰρ οἶκον προπερισπᾶται, καὶ πάλιν ἐν τῇ προσθέσει τοῦ δέ μένει ὁ αὐτὸς τόνος, οἰκόνδε, μετὰ τοῦ καὶ τὴν ὀξεῖαν ἐπὶ τέλους εἶναι. ὁ αὐτὸς λόγος ἐπὶ τοῦ Ὄλυμπον καὶ Οὔλυμπόνδε. διὸ καὶ δοκεῖ τὸ

ἄλαδ᾽ ἕλκομενάων

ἀμφίβολον εἶναι, δυνάμενον καὶ τῇ παραγωγῇ κεχρῆσθαι τοῦ οἴκαδε, δυνάμενον καὶ ἐν αἰτιατικῇ εἶναι τοῦ ἄλα καὶ προσθέσει τοῦ δέ, ἐφ᾽ οὗ καὶ δύο τόνοι ἐπιτεθήσονται, ἄλα δέ. σαφὲς οὖν ὅτι οὐδὲ κατὰ τοῦτον τὸν λόγον τὸ ἐνθάδε ὑποπίπτει τῷ λόγῳ, πάλιν τοῦ τόνου καταβιβαζομένου. Μή ποτ᾽ οὖν τῆδε ἐσχηματίσθη. ἔστι καὶ ἑτέρα παραγωγὴ ἡ διὰ τοῦ δε, ἥ τις οὐχ ἕνεκα σχέσεως τοπικῆς παραλαμβάνεται, αὐτὸ δὲ μόνον κατὰ παραγωγήν, τῆς σημασίας πάντοτε μενούσης τῆς αὐτῆς καὶ φωνῆς τῆς ὁλοκλήρου τῆς κατὰ τὸ πρωτότυπον,

ἐφ᾽ ἧς καὶ ὁ τόνος ἐφέλκεται πρὸ τοῦ τέλους, ὥςπερ ἔχει παρὰ τὸ τοῖος τὸ τοιόςδε, τόσος τοσόςδε, καὶ ἐν ἐπιῤῥήμασι τὸ τῆμος τημόςδε, τηνίκα τηνικάδε. εἴπερ οὖν ἴδιον τῆςδε τῆς παραγωγῆς τὸ ἐν ἀποβολῇ τοῦ δε τὴν αὐτὴν ἔχειν σημασίαν τοῖς πρωτοτύποις, καὶ τὴν ὀξεῖαν ἐφέλκεσθαι πρὸ τοῦ τέλους, δῆλον ὡς καὶ τὸ ἐνθάδε τῆςδε τῆς παραγωγῆς ἂν εἴη, ἐπειδὴ τὰ προκείμενα δύο παρεπόμενά ἐστιν ἐν τῷ ἐνθάδε· κατὰ τοῦτό γέ τοι μόνον σεσημειώσεται, καθὸ ἡ τοιαύτη παραγωγὴ οὐχ οἱαιςδήποτε λέξεσι πρόςεισιν, ἀλλὰ μορίοις ἀνταποδοτικοῖς τοῖς ἀπὸ τοῦ τ ἀρχομένοις, ὡς ἔχει τὸ τοσόςδε καὶ τὸ τοιόςδε. οὐδὲ γὰρ τὰ ἄλλα σύζυγα, μὴ ἔχοντα τὸ τ, τῆς παραγωγῆς τυγχάνει, λέγω τὸ ἦμος, ἡνίκα, εἰ μὴ γένοιτο τῆμος καὶ τηνίκα. οὐ παρείπετο οὖν τῷ ἐνθάδε τὸ τοιοῦτον· κατὰ τοῦτο ἄρα σεσημειώσεται.

Τοῖς αὐτοῖς ἐπιχειρήμασι χρήσαιτο ἄν τις καὶ ἐπὶ τοῦ ἔνθεν καὶ ΈΝΘΕΝΔΕ· οὐδὲν γὰρ τῶν εἰς θεν ληγόντων ἐπιῤῥημάτων ἔξωθεν παραγωγὴν ἴσχει τὴν διὰ τοῦ δε. φαίνεται δὲ ὅτι οὐδὲ δύο λέξεις εἰσὶν ἡμαρτημέναι, ἀλλὰ μία, εἴγε καὶ τὸ ἔνθεν Δωρικώτερον ἀπεδείχθη γενόμενον ἔνθα, καθὼς ἐπεδείξαμεν καὶ περὶ τοῦ πρόσθεν πρόσθα, ὕπερθεν ὕπερθα.

Ἔχοι δ᾽ ἂν ἐπίστασιν καὶ τὸ ΏΔΕ, συνήθως μὲν τὴν εἰς τόπον σχέσιν δηλοῦν, ἐν δὲ τοῖς Ὁμηρικοῖς, ὡς Ἀριστάρχῳ δοκεῖ ἐν τῷ καθόλου μὴ τοπικῆς ἔχεσθαι σχέσεως; τῆς δὲ κατὰ ποιότητα. καὶ σαφές ἐστιν, ὅτι τῇ μὲν παραγωγῇ τῇ διὰ τοῦ δε οὐκ ἀπιθάνως τὸ σύνηθες τοπικὸν ἐξεδέξατο ἐπίῤῥημα, οὐ μὴν καὶ τὰ τῆς παραγωγῆς ὁμολογεῖ, καθὼς ἐδείχθη ὡς ἡ τοπικὴ παραγωγὴ τὴν διὰ τοῦ α γραφὴν ἔχει πρὸ τοῦ τέλους, ἀπό τε ὀνομάτων παρήγετο, τὸ δὲ οὐ τῆδε εἶχεν. Ἀλλ᾽ ἦν καὶ ἑτέρα σύνταξις ἐν αἰτιατικῇ πάλιν ὀνομάτων καὶ προσθήκη

τοῦ δε, ὡς ἔχει τὸ οἰκόνδε καὶ τὰ τούτοις ὅμοια. ὅπερ πάλιν οὐ τῇδε εἶχε τὸ προκείμενον ἐπίῤῥημα, οὔτε κατὰ γραφήν, οὔτε κατὰ τάσιν. διὸ καὶ ἕνεκα τῶν τοιούτων μᾶλλον ἄν τις παραδέξαιτο τὸ τόδε ἐπὶ τοπικῶν ἐπιῤῥημάτων,

πολλοῖσιν γὰρ ἔγωγε ὀδυσάμενος τόδ' ἱκάνω·

δύναται γὰρ ἐγκεῖσθαι αἰτιατικῆς ἄρθρον κατ' οὐδετέραν προφοράν. Σαφὲς οὖν ὅτι ἔχοιτο ἂν λόγου τοῦ κατὰ παραγωγὴν τὴν δε συλλαβὴν προσλαβὸν κατὰ τὸ αὐτὸ σημαινόμενον, ὡς ἔχει παρὰ τὸ τῆμος τὸ τημόςδε, τὴν αὐτὴν ἔχον σημασίαν τῷ πρωτοτύπῳ, τηνίκα τηνικάδε. σημαίνοντος οὖν τοῦ ὡς ἐπιῤῥήματος τὸ οὕτως, εἴη ἂν ἡ προκειμένη παραγωγὴ κατὰ τὸ αὐτὸ δηλούμενον ἐν τῷ ὧδε, ἀναγκαίως προπερισπωμένη, ἐπεὶ ἡ φύσει μακρὰ ἐν τῇ τοιαύτῃ παραγωγῇ περισπωμένην ἀναδέχεται, τοιοῦδε, τοιῷδε.

Ὁμοίως δ' ἂν ἔχοιτο καὶ τὸ τοιοῦτον ἐπιστάσεως. ὁκοκλήρους γὰρ τὰς τῶν πρωτοτύπων φωνὰς ἥδε ἡ παραγωγὴ φυλάσσει, τοῖος τοιόςδε, τηλίκος τηλικόςδε, τῆμος τημόςδε· χρὴν οὖν καὶ παρὰ τὸ ὥς ὥςδε. Ἀλλὰ τοῦτο μὲν δύναται ἀπολογίας ἔχεσθαι, τῇ μὲν ἀπὸ Δωρικοῦ δυνάμενον ἐσχηματίσθαι τοῦ ὥ, ὅπερ ἀντὶ τοῦ ὡς παραλαμβάνουσι, τῇ δὲ ἀπὸ τοῦ πτωτικοῦ τοῦ προϋφεστῶτος κατ' ἔλλειψιν τοῦ σ· καὶ γὰρ παρὰ τὸ ὅς ὥφειλεν ὅςδε εἶναι, ὅπερ ἐγένετο ὅδε. ἀλλὰ καὶ τοῦτο συνήθως ἀποβάλλει τὸ σ· τὸ γὰρ αὐτὸ σημαίνει ἔσθ' ὅτε τὸ ὁ καὶ τὸ ὅς,

ὁ γὰρ ἦλθε θοάς·

ὃς γὰρ δεύτατος ἦλθεν.

Ἔχοιτο δ' ἂν ἔτι καὶ ἐπιστάσεως τοιαύτης, καθὼς εἴπομεν ὅτι ἡ διὰ τοῦ δε παραγωγὴ πολὺ πρότερον τὴν ἀνταπόδοσιν τὴν διὰ τοῦ τ παραλαμβάνει· οὐ γὰρ παρὰ τὸ οἷος τὸ τοιόςδε, οὐδὲ παρὰ τὸ

ἡνίκα τηνικάδε. Καὶ πάλιν ὑπὲρ τούτου ἔστι φάναι, ὅτι ἔλλειψίς ἐστι τοῦ τ̄ ἐπὶ τῶν προκειμένων μορίων, ὡς δείκνυται καὶ ἐν τῷ περὶ ἀντωνυμιῶν, ὡς καὶ ἡ οὗτος ἀντωνυμία, παραχθεῖσα ἀπὸ τοῦ ὅς, λείπει τῷ τ̄, ἀποδεικνυμένου τοῦ τοιούτου καὶ διὰ τῶν πλαγίων πτώσεων, τούτου, τούτῳ, καὶ οὐδετέρου τοῦ τοῦτο, καὶ διὰ Δωρικοῦ τοῦ τοῦτοι. ὅπερ καὶ διὰ τοῦ ἄρθρικοῦ δείκνυται καὶ διὰ τοῦ ἀντωνυμικοῦ· τὸ γὰρ οἱ τοί φασι Δωριεῖς, καὶ τὸ αἱ ταί, ταῦται ταὶ θύραι μᾶτερ. λέγω δὲ ὅτε κατὰ προτακτικὴν θέσιν ἐστὶ τὸ ἄρθρον· ἐπεὶ ὅτε γε καθ' ὑπόταξίν ἐστι, τὸ τ̄ οὐ πάντως προστίθησιν, ἐπεὶ φυσική ἐστιν ἡ ἀπόστασις τοῦ τ̄, οὐκ ἐν πάθει γενομένη. ὅθεν οὐδ' ἐπίμεμπτον ταὶ γυναῖκες αἳ τὰν θεόν φαντι ἐξελᾶν· ἐτέτακτο γὰρ οὐ κατὰ πρόταξιν, ἀλλὰ καθ' ὑπόταξιν.

Ἑξῆς ῥητέον καὶ περὶ τοῦ ΟΙΚΟΝΔΕ. Τὰ μὲν οὖν προκατειλεγμένα ἐπιῤῥήματα, τύπου ἰδίου ἐχόμενα, τὴν εἰς τόπον σχέσιν ἐσήμαινε, παραγωγῆς τυγχάνοντα τῆς διὰ τοῦ δε· τὰ μέντοι τοιαῦτα, οἰκόνδε, ἀγρόνδε, Οὐλυμπόνδε, σύνταξιν ἔχει ἐπιῤῥηματικήν, οὐ μὴν μερισμὸν τὸν κατὰ τὰ ἐπιῤῥήματα. καὶ γὰρ τὸ ἐξ οἴκου ἔχει τὴν ἐκ τόπου σημασίαν, οὐ μήν ἐστιν ἐπίῤῥημα, μέρη δὲ δύο λόγου, τὴν ἐκ τόπου σχέσιν παριστάντα, καθὸ συνεχέστερον αἱ προθέσεις, μετὰ καὶ ἄλλων πλειόνων σημαινομένων, καὶ παρεμφατικαί εἰσι τόπου. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐν οἴκῳ· οὐ γὰρ ταὐτόν ἐστι τῷ οἴκοθι. ὡς καὶ ἐπὶ τοῦ νῦν ἐπιῤῥήματος, δηλοῦντος τὸ ἐν τούτῳ τῷ χρόνῳ, οὐ ταὐτὸν παράγεται. Ὑπενόησαν δ' ἔνιοι, ὡς ἓν εἴη μέρος λόγου τὸ οἰκόνδε, ἐκ λόγων τοιούτων, ὅτι κατὰ μίαν σχέσιν ἐκφέρονται, ὅπερ ἴδιον ἐπιῤῥημάτων· ὅτε εἰ ὀνόματα ἦν τὸ οἰκόνδε, οὐκ ἂν ἐνεποδίζετο μετασχηματίζεσθαι εἰς πτώσεις καὶ ἀριθμούς, ὅπερ παρείπετο ὀνόμασιν. οἱ συμπλεκτικοὶ σύνδεσμοι εἰς

συμπλοκὴν παραλαμβάνονται, καὶ οὐ παρὰ τοὺς ἀριθμοὺς ἢ τὰς πτώσεις ἐμπόδιοι καθεστᾶσιν· ἑκάστης γὰρ πτώσεως καὶ παντὸς ἀριθμοῦ δεκτικοί εἰσιν. εἰ γὰρ λέγοι τις ἀνθρώπους μὲν ἐθεασάμην, ἄλλα δὲ ζῶα οὔ, ἢ ἄνθρωπος μὲν ἦν, ὅπως δὲ ἀφανὴς ἐγένετο οὐκ ἐπίσταμαι· ἀδιαφόρως γὰρ ἔχουσι, καθ' οἱανδήποτε ἂν ὦσι πτῶσιν, συμπλέκειν καὶ παραλαμβάνεσθαι. ὅπερ ἐπὶ τοῦ οἰκόνδε καὶ Οὔλυμπόνδε οὐκ ἔστιν ἐπινοῆσαι· οὔτε γὰρ σύνθεσις οὔτε μετάπτωσίς τις εἰς ἀριθμὸν ἢ πτῶσιν ἔνεστιν. Ἔτι τὰ ὀνόματα, προσλαμβάνοντα ἄρθρα, φυλάσσει τὴν ἰδίαν σύνταξιν, λόγον τε τὸν αὐτόν, δίχα τοῦ πλέονι ἀναφορᾷ κεχρῆσθαι, ἄνθρωπος δὲ παραγενόμενος, ὁ ἄνθρωπος δὲ παραγενόμενος· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ὁμοίων. οὐ μὴν ταὐτόν ἐστιν ἐν τῷ οἰκόνδε καὶ τὸν οἰκόνδε· οἰκόνδε γὰρ ἐλεύσομαι, οὐ μὴν τὸν οἰκόνδε ἐλεύσομαι. Τοῖς τοιούτοις λόγοις ἐπανέχοντές φασιν ἡνῶσθαι τὰ τοιαῦτα εἰς ἐπιῤῥηματικὴν παραγωγήν. καὶ πάλιν ἀντείχοντο τῶν τονικῶν παραγγελμάτων, καὶ οὕτως ἐπηπόρουν ἐπὶ τῶν σχημάτων. Ἔστι δὲ πρὸς ἓν ἕκαστον τῶν προκειμένων ὑπαντῆσαι, καὶ ὡς πρόκειται, δείξομεν ὅτι ἐστὶν ἐπιῤῥηματικὴ σύνταξις, οὐ μὴν ἐπιῤῥηματικαὶ φωναί. Τὰ μὲν οὖν ἐκ τῆς τάσεως προφανῆ. πῶς γὰρ τρίτη ἀπὸ τέλους [ἡ] περισπωμένη; πῶς τετάρτη ἀπὸ τέλους ἡ ὀξεῖα; λέγω ἐν τῷ οἰκόνδε, Οὔλυμπόνδε. πρὸς οἷς καὶ αἱ φωναὶ κλινόμεναι ὁλόκληροί εἰσι κατ' αἰτιακὴν πτῶσιν. ἀλλ' οὐ τοῦτό φημι συνεκτικὸν τοῦ δύο μέρη λόγου εἶναι, ἐπεὶ κἂν τοῖς κατ' ἀρχὴν ἐδείξαμεν τὰς ὀνοματικὰς πτώσεις εἰς σύνταξιν ἐπιῤῥηματικὴν τιθεμένας καὶ ἐπιῤῥήματα καλουμένας. διαφέρει τὸ οἴκοθεν τοῦ ἐξ οἴκου, ἢ ὃ μὲν ἓν μέρος λόγου, τὸ δὲ δύο, ἐκ προθέσεως καὶ ὀνόματος, καὶ τὸ οἴκοθι τοῦ ἐν οἴκῳ, καὶ τὸ οἴκαδε τοῦ εἰς οἶκον. καὶ ᾧ λόγῳ τὸ εἰς οἶκον

δύο μέρη λόγου, οὕτως καὶ τὸ οἰκόνδε, ἐγκειμένου τοῦ δέ συνδέσμου. Ἴδιόν ἐστι τοῦ δέ συνδέσμου ἐπάγειν ἐς αὐτὸν τὴν ὀξεῖαν· τοιοῦτον δὲ καὶ τὸ οἰκόνδε, ὡς εἰ καὶ τὸ Ζεὺς δέ. ἡ διὰ τοῦ δε παραγωγή, οὐκ οὖσα συνδεσμική, ἀποφεύγει τὴν τοῦ συνδέσμου σύνταξιν, παροξυνομένη μὲν ἐν τῷ τοσόσδε, προπαροξυνομένη δὲ ἐν τῷ οἴκαδε, καθὰ καὶ ἡ διὰ τοῦ γε παραγωγὴ εἰς τὸ ἐναντίον μεθίσταται τῆς συντάξεως τοῦ γέ συνδέσμου. ἔστι γὰρ ἐγκλιτικὸς ὁ γέ, τὴν πρὸ αὐτοῦ ὀξύνων, καὶ διὰ τοῦτο [τὸ] ἔγωγε καὶ ἔμοιγε παρὰ Ἀττικοῖς τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ἵνα διὰ τοῦ τόνου φύγῃ τὸ ἀμφίβολον τοῦ γέ συνδέσμου. Ἀλλὰ πῶς τοπικὴ σχέσις ἐστὶν ἐκ συνδέσμου τοῦ δέ; Ὅτι καὶ προθετικῇ παραθέσει συνδεσμικὴ δύναμις ἐγγίνεται, διὰ τὸ ἡμέραν εἶναι φῶς ἐστί, διὰ Διονύσιον παρεγένετο Ἀπολλώνιος, ἐκ τῆς ῥαθυμίας αἱ κακίαι γίνονται, ὡς εἰ ἕνεκα τῆς ῥαθυμίας. τί οὖν βέλτιον τὸ καὶ σύνδεσμον προθετικὴν δύναμιν ἀποτελέσαι; πρὸς οἷς οὐδὲ πάντοτε συμπλέκει ὁ δέ σύνδεσμος, παραλαμβάνεται δὲ καὶ κατ' ἔμφασιν, οὐδὲ ἐλάλησέ μοι,

οὐδ' ἐλεαίρεις

παῖδά τε.

τάχα δὲ καὶ εὐλόγως οὕτως ἀνθυπήχθη ἀντὶ τοπικῆς σημασίας. τὸ δὲ συνεκτικώτατον, ὅτι ἐμιμήσατο τοπικὴν παραγωγήν, λέγω τὴν οἴκαδε, ἄγραδε· καὶ ἐνταῦθεν, οὐ συνδέων ἐν τῷ οἰκόνδε, ἠκούετο τοπικῶς. Προστεθείη δ' ἂν ἔτι καὶ τοῦτο. εἴπερ τὸ μέρος τοῦ λόγου ἀνθυπήλλακται, σαφὲς ὅτι καὶ ὁ τόνος, λέγω ὁ κατὰ τὴν ἀρχήν. τοῦτο δέ φημι, ἐπεὶ οὔτε ὁ καί σύνδεσμος ἐδύνατο κατ' ἀρχὴν λαμβάνεσθαι, οὔτε ἄλλος τις τῶν προτακτικῶν. ἀλλ' οὐδὲ τῶν ὑποτακτικῶν, ὅτι μὴ μόνος αὐτὸς ὁ δέ, ὡς ἔφην, μιμούμενος τὴν τοπικὴν παραγωγήν, μετάβασίν τε τοῦ πράγματος σημαίνων. διὸ

καὶ στιγμῆς αἴτιός ἐστι καὶ αὐτοτελείας παραστατικός· στιγμὴ γὰρ πᾶσα σημεῖον αὐτοτελείας. ὁ τέ οὐκ ἐδύνατο παραλαμβάνεσθαι, ἐπεὶ οὐκ αὐτοτέλειαν ἀπαιτῶν ἕτερον λόγον ἀπήτει ἐπὶ τοῦ οὔτε τιμῶσε οὔτε λαλῶσοι, κατὰ τούτους δὴ τοὺς τρόπους οἶμαι ἀναγκαίως τὸν δέ σύνδεσμον παραληφθῆναι. Ἀλλὰ πῶς τὸ ὄνομα οὐ κλίνεται τὸ μετὰ τοῦ δέ; Ὅτι ἑκάστη πτῶσει κατὰ παράθεσιν προσιοῦσα ἡ πρόθεσις ἴδιον ἔχει σημαινόμενον. διαφέρει γοῦν τὸ δι' Ἀπολλωνίου τοῦ δι' Ἀπολλώνιον, ᾗ τὸ μὲν αἰτιολογικὸν ἀκούεται, ὃ δὲ τοιοῦτόν τι, γινώσκοντος Ἀπολλωνίου. ἦν οὖν τοπικὴ σχέσις ἐν τῷ οἰκόνδε, ᾗ τις αἰτιατικὴν πτῶσιν ἀπαιτεῖ· ὅθεν οὐ κλίνεται, ἵνα μὴ τὸ σημαινόμενον φθαρῇ. Διὰ τί ἄρθρον οὐ προσλαμβάνει; Ὅτι τὰ πτωτικά, τοπικὴν σχέσιν σημαίνοντα ἐκ προθέσεως, οὐ δύνανται παράθεσιν ἄρθρου παραδέξασθαι, εἰ μὴ προστεθείη ἡ πρόθεσις. οὐ φαμεν τῆς Λέσβου παρεγενόμην, οὕτως δέ, ἐκ τῆς Λέσβου παρεγενόμην· καὶ ἔτι οὐ φαμεν τῷ οἴκῳ μένει με, ἐν δὲ τῷ οἴκῳ μένει με. εἰ δὲ τοῦτο ἀληθές, σαφὲς ὅτι δεῖ πρότερον ἐπικαλύψαι τὸ ἄρθρον τὴν πρόθεσιν, εἶτα οὕτως ἐγγενέσθαι τὴν σχέσιν. τούτου δὲ μὴ γενομένου, οὐδὲ τὸ ἄρθρον προσελεύσεται. Τοσαῦτα περὶ τῶν προκειμένων σχημάτων.

Τὰ εἰς ος λήγοντα ἐπιῤῥήματά ἐστι μὲν σπάνια, ὀξύνεται δὲ κατὰ τὸ πλεῖστον, ἐντός, ἐκτός, εἰκός. Τὸ πάρος σημειωτέον. Τὸ γὰρ τῆμος τῇ πρὸς τὴν πεῦσιν βαρεῖα ἐκφορᾷ ἀναγκαίως ἀπέβαλε τὴν ὀξεῖαν, ἐπεὶ ὁμοτονεῖ τὰ πύσματα τοῖς ἀνταποδοτικοῖς, τοῖος - ποῖος, τόσος - πόσος, τηλίκος - πηλίκος. ἀνάγκη δὲ πάντως τὰ τοιαῦτα μόρια βαρύνειν καὶ τὰ τούτοις σύζυγα, λέγω ὁπηλίκος, ὁπόσος. ἀναγκαίως οὖν τὸ τῆμος ἐβαρύνθη, καθὸ καὶ τὸ ἦμος καὶ τὸ ὁπῆμος. ᾧ λόγῳ καὶ τὰ εἰς ου λήγοντα ἀπάντοτε μὲν περισπᾶται,

τηλοῦ, ἀγχοῦ, αὐτοῦ, τὸ δὲ ὅπου διὰ τὴν ἀναφορικὴν πάλιν προφορὰν ἐβαρύνθη. φαίνεται δὲ ὅτι τὸ ποῦ διὰ μονοσυλλαβίαν ἀναγκαίως συνεξῆλθε τῷ τηλοῦ καὶ ἀγχοῦ.

Ἔνιοι τὸ ΈΝΑΓΧΟΣ ἐβάρυναν, οἰόμενοι τὴν ἐπισυμβαίνουσαν σύνθεσιν αἰτίαν εἶναι τῆς βαρύτητος. Πρὸς ὃ ἔστι φάναι, ὅτι πρῶτον ἡ ἐκ συνθέσεως προφορὰ πολὺ πρότερον οἶδε τὴν ἐν ἁπλότητι· οὐ λέγεται δὲ κατ' ἰδίαν τὸ ἀγχός. πρὸς οἷς οὐδὲ ἴχουσιν ἄντικρυς ἐπιστῆσαι τοιαύτην σύνθεσιν ἐπιῤῥημάτων. δεύτερον τῇ συνεκδρομῇ τῶν ὀξυτόνων ὀφείλει ὀξύνεσθαι. Ἔχει δὲ καὶ ὁ σχηματισμὸς τῇδε. ὃν τρόπον καὶ ἐπ' ὀνομάτων μεταπλασμοὶ γίνονται, καθάπερ τὸ ἐρυσάρματες, τὸ λῖτα, τὸ παρὰ Σαπφοῖ αὔα, τὸ πυργοκέρατα παρὰ Βακχυλίδῃ, δυνατὸν καὶ ἐπὶ τοῦ προκειμένου τῇδε γεγενῆσθαι τὸν σχηματισμόν. παρὰ τὸ ἀγχοῦ δύναται γεγενῆσθαι τὸ ἀγχός, προσλαβὸν τὴν ἐν πρόθεσιν κατὰ παρολκήν, ὡς ἔχει τὸ ἐναλίγκιος, ἐναντίος, ἐνέπειν. αἱ δὴ τοιαῦται τῶν προθέσεων παρελκόμεναι, καθάπερ πλεονάσματα οὖσαι, οὔτε τάσιν οὔτε ἄλλο τι τῶν παρεπομένων ἐναλλάσσουσι. καὶ γὰρ τὸ ἐναντίος οὐκ ἀνεβίβαζε τὸν τόνον, ὀφεῖλον. εἴπερ οὖν σύνθετον, τί οὐ συμμεταβάλλει τὸ γένος; ὅπερ ἴδιον συνθέσεως. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐναλίγκιος. καὶ τὸ ἐνέπω ἐκλίθη ὡς ἁπλοῦν, ἤνεπον. τούτων οὖν τῇδε ἐχόντων, παρελκομένης τῆς ἐν προθέσεως ἐν τῷ ἐναγχός, περισσὸν ἀφιστάνειν τὸν κατὰ τὸ τέλος τόνον, ὅπου γε, ὡς ἔφημεν, τῷ τύπῳ, καὶ εἰ ἦν σύνθετον, ἐχρῆν ὀξυτονεῖν. Οὕτως ἔχει καὶ τὸ συνεχέστερον λεγόμενον παρ' Ἴωσι κηγχός, ὃ ἐν δυσὶ μέρεσι λόγου, [ἐξ] Ἰωνικοῦ τε τοῦ κῇ ἀντὶ τοῦ πῇ, καὶ τοῦ μεταπεπλασμένου, λέγω τοῦ ἀγχός, ἴσως συναληλιμμένου τοῦ ᾱ εἰς τὸ ῃ.

Αἱ διὰ τοῦ θεν παραχθεῖσαι λέξεις τοπικαὶ ἐπιῤ-

ῥηματικῶς τὴν ἐκ τόπου σχέσιν σημαίνουσιν. εἶπον δὲ παραχθεῖσαι τοπικῶς, ἐπεὶ καὶ ἔνια τὴν αὐτὴν ἔχει σημασίαν τοῖς πρωτοτύποις, ὡς δεδείξεται. καὶ διὰ τοῦτο διαφέρει τὸ δίχα τοῦ διχόθεν, ἢ τὸ μὲν δίχα εἰς δύο ἐστί, τὸ δὲ διχόθεν ἐκ δύο, καθάπερ καὶ ἐπ' ἄλλων παραγωγῶν μετὰ τοῦ παράγεσθαι τὰς φωνὰς καὶ τὰ δηλούμενα συμμεταπίπτει. καὶ παράγεται μὲν ἡ φωνή, οὐ μὴν τὸ σημαινόμενον, ὡς ἐπ' ὀνομάτων ἔχει τὸ

ἀναγκαίη γὰρ ἐπείγει

καὶ

παρθενικῇ εἰκυῖα,

καὶ τὸ Αἰτωλός - Αἰτώλιος, κάπρος - κάπριος, ἄπειρος - ἀπείρων, καὶ τὸ

πομπῆες ἄγαυοί,

καὶ τὸ

Ἀϊδωνῆϊ προΐαψεν,

καὶ ἐπὶ ῥημάτων ἀρδεύειν, ἀρχεύειν, καὶ ἐπ' ἄλλων πλειόνων, καὶ ἐπὶ ἐπιῤῥημάτων τηνίκα τηνικαῦτα, τῆμος τημοῦτος, τόσος τοσόςδε. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς προκειμένης παραγωγῆς ἔσθ' ὅτε τοπικὴ μὲν ἐκφορὰ δηλοῦται, λέγω ἐκ τύπου, ἔσθ' ὅτε τὸ αὐτὸ τῷ πρωτοτύπῳ σημαινομένῳ μένει. Ὅθεν πρὶν ἢ τῶν κατὰ μέρος ἄρξασθαι, διαληπτέον πρότερον περὶ τῶν ἀπ' ἀντωνυμιῶν παραγομένων, λέγω τοῦ ΈΜΕΘΕΝ, σέθεν, ἕθεν. Ὅτι μὲν γὰρ αἱ φωναὶ ὅμοιαι κατὰ τὴν παραγωγὴν τοῖς ἄλλοις ἐπιῤῥηματικοῖς, σαφὲς ἐκ τούτου. παρὰ τὴν Λέσβου γενικὴν τὸ ῡ ἀποτέθλιπται ἐν τῷ Λεσβόθεν, ὡς καὶ παρὰ τὴν οὐρανοῦ οὐρανόθεν, καὶ παρ' ἐπίῤῥημα τὸ τηλοῦ τηλόθεν· καὶ δὴ παρ' ἀντωνυμίαν τὴν ἐμεῦ ἦν τὸ ἐμέθεν, σεῦ σέθεν. ἐντεῦθεν γὰρ καὶ ὁμόλογον, ὅτι οὐχ ἡ ἐμοῦ ἐστι παραχθεῖσα Ἀττική, ἀλλ' Ἰωνικὴ ἢ Δωρικὴ ἐμεῦ. Τὰ μὲν οὖν τῆς φωνῆς τῇδε ἔχει, ὡς ὁμοίως παρήχθη· τὰ δὲ τοῦ σημαινο-

μένου πρὸς ἐνίων οὕτω καθίστατο, ὡς οὐκ εἴη ἐπιῤῥήματα τὰ προκείμενα, καθότι φαμέν, τὰ ἐπιῤῥήματα οὐκ ἔστι προςώπων διασταλτικά, ἔστι δὲ τοῦτο ἐμέθεν καὶ σέθεν προςώπων παραστατικόν. Καὶ ὡς ἕνεκα τοῦ τοιούτου οὐκ ἀπελύθη τὸ ζητούμενον, δύναται γὰρ κατὰ πρόςωπον ἡ παραγωγὴ τοῦ ἐπιῤῥήματος ἐγγεγενῆσθαι, καθὸ καὶ ἐπὶ τρίτου προςώπου παρὰ τὴν αὐτοῦ τὸ αὐτόθεν ἐγένετο, καὶ παρὰ τὴν τούτου τὸ τουτόθεν, — ἀφ᾽ οὗ καὶ τὸ Δωρικὸν τουτῶ, καθότι καὶ τῷ πόθεν παράκειται τὸ πῶ, — παρὰ τὴν αὐτόθεν αὐτῶ. οὐδὲν οὖν ἐμποδοῦν ἐστὶ παρὰ τὴν ἐμεῦ γεγενῆσθαι τὸ ἐμέθεν, παρά τε τὴν σεῦ τὸ σέθεν, καὶ ἔτι παρὰ τὴν εὖ τὸ ἔθεν. Χρὴ οὖν ἀποδείξει τῇδε χρῆσθαι. καθάπερ καὶ ἐπ᾽ ὀνομάτων ἔσθ᾽ ὅτε παραγωγαὶ γίνονται κατὰ τῶν αὐτῶν σημαινομένων, ὡς τὸ ἀναγκαίη καὶ τὸ

εὐναίας ἐβάλοντο

καὶ τὸ ἀπείρων καὶ τὸ πομπῆες καὶ τὸ Ἀϊδωνεύς καὶ ἄλλα πλεῖστα, τὸν αὐτὸν δὴ τρόπον ἔστι καὶ ἐπὶ τῆς παραγωγῆς τῆς διὰ τοῦ θεν εὑρέσθαι. οὕτω γὰρ καὶ τὰ Ὁμηρικὰ ἐπιλυθήσεται, τὸ

σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,

οὐ σημαῖνον τὸ ἐκ τόπου, τὸ δὲ αὐτὸ τῷ πρωτοτύπῳ, τῷ σχεδὸν ἦλθεν· οὐ γὰρ ἐκ τοῦ σύνεγγυς τόπου, ἐπεὶ ἀνέφικτον τὸ τοιοῦτον. οὕτως γὰρ ἔχει καὶ τὸ

Αἴας δ᾽ ἐγγύθεν ἦλθεν·

ἐν ἴσῳ γάρ ἐστι τῷ ἐγγὺς ἦλθεν. οὕτως ἔχει καὶ τὸ

Ἴδηθεν μεδέων·

οὐ γὰρ ἄλλο ἐστὶν ἢ Ἴδης μεδέων· πιθανὸν γὰρ τοὺς Τρῶας καὶ τοὺς πλησιοχώρους τὸν Ἰδαῖον Δία ἐπικαλεῖσθαι. τοῦ τοιούτου σχηματισμοῦ τινὲς ἄπειροι ὄντες ὑπέλαβον αὐτοὺς ἐπικαλεῖσθαι τὸν, ἐξ Ἴδης παραγενόμενον καὶ βασιλεύσαντα, λέγω τῆς κατὰ Κρήτην. οἶμαι δὴ ὅτι, εἰ κατάπυκνος εἰς τὸν τοιοῦτον σχηματισμόν ἐστι,

καὶ τὸ ἐξ οὐρανόθεν ἀπολογίαν ἕξει, ἀφορμὴν δεδωκός τισι τοῦ κακοῦν τὰς φράσεις. ἐπεὶ γὰρ οὐχ ὑγιὲς τὸ λέγειν ἐξ οἴκοθεν, φασὶν ὡς καὶ Ὅμηρος εἴη κεχρημένος τῷ ἐξ οὐρανόθεν, εἰ οὐκ ἄπειρός ἐστι τοιαύτης παραγωγῆς [κατὰ] τοῦ αὐτοῦ σημαινομένου, τοῦ οὐρα- 5
νόθεν παρ' αὐτῷ σημαίνοντος τὸ οὐρανοῦ, ὡς καὶ τὸ Ἴδηθεν τὸ Ἴδης· καὶ οὕτως ἡ ἐξ πρόθεσις ἕξει χώραν. ἡ αὐτὴ ἐπιχείρησις ἐπὶ τῶν οὕτως εἰρημένων παρ' αὐτοῦ. Αἱ δὴ παρηγμέναι ἀντωνυμίαι σύνταξιν μὲν ἐπιρρηματικὴν οὐδέποτε ἀναδέχονται, ὅσας δὲ συντάξεις ἀναδέ- 10
χονται αἱ γενικαί, ταύτας ἀναδέχονται. ἀδύνατον τοῖς τοιούτοις ἐπιρρήμασι προσελθεῖν τινὰ ἄλλην πρόθεσιν. οὐ γάρ τις ἐρεῖ ἀπὸ Λεσβόθεν ἢ πρὸς Λεσβόθεν, ἐν γενικῇ δὲ ἀπὸ Λέσβου, καὶ ὅσας ἄλλας ἐπιδέχονται προθέσεις αἱ γενικαί. ἀπεδέδεικτο οὖν, ὅτι πολ- 15
λάκις κατὰ τοῦ αὐτοῦ σημαινομένου αἱ παραγωγαὶ λαμβάνονται. καὶ ἦσαν τῇδε ἀντωνυμίαι παρηγμέναι. καὶ σαφὲς ἐκ τῶν συνταασομένων προθέσεων,

ἀπὸ ἔθεν ἧκε χαμᾶζε,
ἐξ ἐμέθεν γεγαῶτα, 20
πρὸ ἔθεν κλονέοντά φάλαγγας.

ταύτῃ δὲ τῇ συντάξει εἰς τὸν λόγον τῶν ἀντωνυμιῶν καταριθμηθῆναι χρή.

Τὰ προκείμενα ἐπιρρήματα παράγεται ἢ παρ' ὄνομα, ὡς τὸ Διόθεν, Ἀβυδόθεν, ἢ παρ' ἐπίρρημα, ὡς 25
τὸ κάτωθεν, ἄνωθεν, ἢ παρὰ πρόθεσιν, πρόσθεν, ἔκθεν, ὕπερθεν, πράκειται γὰρ ὡς καὶ ἀπ' ἀντωνυμιῶν. καὶ ἀπ' ὀνομάτων ἢ ἐπιρρημάτων ἢ τῶν ἔτι παρακειμένων στοιχείου ἀποβολῇ τοῦ κατὰ τὸ τέλος παράγεται, ἀπὸ μὲν ἀντωνυμιῶν ἐμεῦ - ἐμέθεν, αὐτοῦ - 30
αὐτόθεν, καὶ ἀπὸ ὀνομάτων Λέσβου - Λεσβόθεν, παντός - πάντοθεν, καὶ ἐπιρρημάτων τηλοῦ - τηλόθεν. εἰ μέντοι ἓν εἴη τὸ φωνῆεν τὸ κατὰ τὸ τέλος, οὐ

τῇδε ἔχει ὁ λόγος· φυλάσσεται γάρ, ὡς ἐπὶ τοῦ κάτω - κάτωθεν, ἔσω - ἔσωθεν. ἀναγκαίως τὰ παρὰ τὰς προθέσεις φυλάσσει τὰ τέλη, ὡς ἔχει τὸ πρόσθεν, ὕπερθεν. Ἐπιστατέον οὖν τῷ ΧΑΜΑΙΘΕΝ καὶ ἔτι τῷ παρὰ Ἀττικοῖς χαμᾶθεν. καὶ ἔχοι ἂν συνηγορίαν ἐν τῇ αι διφθόγγῳ τήνδε. τὰ μακρᾷ παρεδρευόμενα ἀποβολῇ τοῦ θεν ποιεῖ τὸ ἐπίῤῥημα τὸ πρωτότυπον, κάτωθεν - κάτω, πρόσωθεν - πρόσω· προσκείσθω τῷ λόγῳ, ὅτε ἀπὸ ἐπιῤῥήματος ἐσχημάτιστο. εἴπερ οὖν μακρᾷ παρεδρεύεται τὸ χαμαῖθεν, ὀρθῶς ἀποβολῇ τοῦ θεν ἐποίησε τὴν χαμαί φωνήν. ἀλλὰ πρόσκειται, ὅτι οὐδέποτε δίφθογγος φυλάσσεται· διὸ σημειούμεθα τὸ ἐκεῖθεν, περὶ οὗ κατὰ τὸ ἑξῆς εἰρήσεται. τὸ οὖν πρὸς Ἀττικῶν πάλιν λεγόμενον ἀναλογώτερον καθέστηκεν. ὥστε ἕνεκα μὲν τῆς μακρότητος ἡ δίφθογγος μένουσα ἀναλογωτέρα καθέστηκεν, ἕνεκα δὲ τοῦ τὸ δεύτερον φωνῆεν ἀποβάλλεσθαι, τὸ Ἀττικόν. καὶ μή ποτε ὄντως ἀναλογώτερον καθέστηκε. τὰ ἐκ διφθόγγου γινόμενα τὸ ληκτικὸν φωνῆεν [βραχὺ] καταλιμπάνει, τηλοῦ τηλόθεν, αὐτοῦ αὐτόθεν, οἴκου οἴκοθεν. σαφὲς οὖν, ὅτι δεῖ καὶ παρὰ τὸ χαμαῖθεν χαμάθεν ἐν βραχεῖ τῷ ᾱ. ἀλλ' ἐκεῖνο ἀληθές ἐστιν, ὡς Ἀθηναῖοι ἐκτατικοί εἰσι τῶν φωνηέντων. καὶ ἔτι ἐκεῖνο ἀληθές ἐστιν, ὡς ἀεὶ ἡ ὑποστολὴ τοῦ ῑ, δευτερεύοντος τοῦ φωνήεντος, ἔκτασιν ποιεῖται τοῦ ᾱ. οὕτως ἔχει καὶ τὸ

ἰθαγενέεσσιν ἐτίμα

παρὰ τὸ ἰθαινω. οὕτως ἔχει καὶ τὸ ἀεί· τὸ γὰρ ἀναλογώτερον ἐν μακρῷ τῷ ᾱ. οὕτως ἔχει καὶ τὸ κλάω παρὰ Ἀττικοῖς καὶ τὸ φανῶ καὶ τὸ ῥανῶ, κατά τι παράλογα ὄντα, ὅτι μακρᾷ παρεδρεύεται· ἔχει [δὲ] ἀπολογίαν, καθὸ ἡ τοῦ ῑ ὑποστολὴ ἔκτασιν τῷ ᾱ παρέχει. κατὰ τοῦτον ἄρα τὸν τρόπον παρὰ τὸ χαμαί τὸ χαμᾶθεν ἀναγκαίως ἐξέτεινε τὸ ᾱ. καὶ περὶ τοῦ τετριμμένου δὲ κατὰ τὸ ἑξῆς εἰρήσεται, λέγω τοῦ χαμόθεν. Καὶ τὸ ἐκεῖθεν

δέ, οὐ φύσει ἔχον τὴν ει δίφθογγον παραλήγουσαν, ἀναγκαίως ἐφύλαξε τὴν ποσότητα τῶν φωνηέντων. παρὰ γὰρ τὴν ἐντελῆ φωνὴν τὴν ἐκεῖνος καὶ τὴν ἐκείνου τὸ ἀκόλουθον ἦν ἐκεινόθεν, τὸ δὲ κατὰ συγκοπὴν ἐκεῖθεν. ταῖς δὲ ληγούσαις τῶν διφθόγγων κατὰ τὰ πρωτότυπα τὸ τοιοῦτον παρακολουθεῖ, ὡς πρόκειται ἐπὶ τοῦ χαμᾶθεν, τηλόθεν, ἀγχόθεν· τὸ γὰρ ἐκεῖθεν οὐ τῆδε ἔχει.

Τὰ εἰς θεν λήγοντα ἐπιῤῥήματα παραλήγεται φωνήεντι, ᾧ καὶ τὸ τέλος τῆς γενικῆς τοῦ ὀνόματος· εἰ δὲ καὶ ἀπὸ ἐπιῤῥήματος εἴη, πάλιν τῷ αὐτῷ παραλήγεται, διὸ οὗ τὸ λῆγον τοῦ πρωτοτύπου· εἰ δὲ δίφθογγος εἴη, καθὼς πρόκειται, ἀποπίπτει τὸ ἐν τῷ τέλει φωνῆεν, ἀρχῆς - ἀρχῆθεν, θύρας - θύραθεν, τηλοῦ - τηλόθεν, οὐρανοῦ - οὐρανόθεν, Θήβης - Θήβηθεν, Λυκίας - Λυκίαθεν, ἀγορῆς - ἀγορῆθεν, ἀγχοῦ - ἀγχόθεν, ποῦ - πόθεν. πῶς οὖν παρὰ τὸ ἀμφοτέρου καὶ ἑκατέρου [καὶ ἑτέρου] οὐ μένει τὸ ο ἐν τῷ ΑΜΦΟΤΕΡΩΘΕΝ, ἑκατέρωθεν, ἑτέρωθεν; Φησὶν οὖν ὁ Τρύφων ἰδιαίτερον ὡς τὰ διὰ τοῦ τερος πρωτότυπα διὰ τοῦ ω παράγεται κατὰ τὰ ἐπιῤῥήματα. Μή ποτε δὲ βίαιόν ἐστιν, ὅτι δι' αὐτοῦ τοῦ ζητουμένου ἡ ἀπόλυσίς ἐστι. μή ποτ' οὖν, εἰ δέδοται καὶ ἀπὸ ἐπιῤῥημάτων παράγεσθαι τὴν προκειμένην παραγωγήν, ἐγγύς - ἐγγύθεν, ἑκάς - ἑκάθεν, ἀποπίπτοντος τοῦ σ, ἀλλὰ καὶ λήγοντος τοῦ φωνήεντος, ἄνω - ἄνωθεν, κάτω - κάτωθεν, δοθήσεται καὶ ἀπὸ ἐπιῤῥήματος τοῦ ἑκατέρως, ἀμφοτέρως, ἑτέρως τὴν παραγωγὴν γεγενῆσθαι.

Ἔτι ἐπηπόρει, πῶς γεγόνοι τὸ ΓΕΙΟΘΕΝ, παραδεχόμενος ὡς ἀνάλογον τὸ γῆθεν· παρὰ γὰρ τὴν γῆς γενικήν, ὡς ἀρχῆς - ἀρχῆθεν. καὶ ἔτι περὶ τοῦ ΔΕΚΕΛΕΙΟΘΕΝ· ἐν οἷς ἔλεγε μὴ παρὰ τὸ Δεκέλεια παρῆχθαι, παρὰ δὲ τὸν μετειληφότα τοῦ δήμου Δεκελέα, ὥστε παρὰ γενικὴν τὴν Δεκελέος Δεκελεόθεν εἶναι, καὶ μετὰ περισσοῦ τοῦ ε

Δεκελειόθεν. Ἄμεινον δὲ καὶ οὕτως ὑπὲρ τούτων φάναι, ὡς οὐκ ἀσυνήθως τὸ ᾱ ἔσθ' ὅτε μεταπίπτει εἰς τὸ ο̄ κατὰ σύνθεσιν καὶ παραγωγήν, θάλασσα - θαλασσομάχος, σφαῖρα - σφαιρομάχος, τραγῳδία - τραγῳδιογράφος, χίμαιρα - χιμαιροφύλαξ, καὶ ἐπὶ τέλους, ἀθάλασσος, εὔμουσος. καὶ εἰ τοῦτο, οὐ βέβαιον ἐν τῇ τοιαύτῃ παραγωγῇ τὸ ᾱ εἰς τὸ ο̄ μετατίθεσθαι. ὥστε γεγενῆσθαι παρ' ἐντελέστερον τὸ γαῖα τὸ γαιόθεν καὶ γειόθεν, καὶ παρὰ τὸ Δεκέλεια, τὸν δῆμον τοῦ σημαινομένου δηλοῦντος, τὸ Δεκελειόθεν. ἰδοὺ γὰρ καὶ παρὰ τὸ ῥίζα - ῥιζόθεν, ἐσχάρα - ἐσχαρόθεν, Μήθυμνα - Μηθυμνόθεν, Μέγαρα - Μεγαρόθεν. Οὐ βέβαιον δὲ καὶ τὸ χαμόθεν κατὰ τὸ σύνηθες, τοῦ σχήματος ἀπαιτοῦντος τὸ χαμᾶθεν. Καὶ ἐπεί, ὡς πρόκειται, ἐν τῷ πρωτοτύπῳ, ἐάν τε μόνον ᾖ, ἐάν τε σὺν ἑτέρῳ φωνήεντι, φυλάσσεται, Διός - Διόθεν, παντός - πάντοθεν, τηλοῦ - τηλόθεν, καὶ παρὰ τὴν ἠπείρου γενικὴν τὸ ἠπειρόθεν, οὐ μὴν ὑγιῶς ἔχον τὸ ΑΠΕΙΡΗΘΕΝ. ἔστι πρὸς τοῦτο φάναι, ὡς πλείστη μετάθεσίς ἐστι τοῦ ο̄ εἰς τὸ η̄ κατὰ τὴν Ἰάδα διάλεκτον, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ κοινὸν ἔθος. παρὰ τὴν βάλανον βαλανηφόρος· παρὰ τὸ κάλαθος καλαθοποιός, ἀλλὰ καὶ καλαθηφόρος· παρὰ τὸ ἔλαφος ἐλαφοκτόνος Ἄρτεμις, ἀλλὰ καὶ ἐλαφηβόλος· στεφανοποιός, ἀλλὰ καὶ στεφανηφόρος. Ἴωνες δὲ καὶ τοὺς ὁρκιοτόμους ὁρκιηφόρους φασί, καὶ τοὺς αἱμοπότας αἱμηπότας. τοῦ τοιούτου λόγου εἴχετο καὶ τὸ κοτήεις· ὡς γὰρ παρὰ τὸ ἄνεμος ἀνεμόεις, ψόλος ψολόεις, οὕτως καὶ ὁ κότος κοτόεις καὶ κοτήεις. παρὰ γοῦν τὸ θύος πάλιν ἔστιν ὁτὲ μὲν διὰ τοῦ ο̄ λεγόμενον,

θυόεν νέφος,

ὁτὲ δὲ διὰ τοῦ η̄,

βωμός τε θυήεις.

εἰς τὸν τοιοῦτον λόγον πάμπολλα ἔστιν ἐκθέσθαι. οὐδὲν

ὑὺν κωλύει ποτὲ μὲν αὐτὸν φάναι ἠπειρόθεν, ποτὲ δὲ ἀπείρηθεν, ποτὲ δε ἀπειρόθεν.

Ἔνια καὶ ὑπὸ πάθος πίπτει, καθὼς ἐκτεθείμεθα καὶ περὶ τοῦ κεῖθεν. Τῆς γὰρ τοιαύτης συγκοπῆς ἔχεται καὶ τὸ ὄπισθεν· ὡς γὰρ ἄνω - ἄνωθεν, ἔσω - ἔσωθεν, οὕτως ὀπίσω - ὀπίσωθεν. ὃ δὴ ἔσθ' ὅτε καὶ μετὰ τοῦ σ' συγκόπτεται, ὅτε γίνεται ὄπιθεν. Καὶ τὸ ΈΝΕΡΘΕΝ δὲ δύο πάθη ἀνεδέξατο, συγκοπὴν καὶ ἀφαίρεσιν. ἦν γάρ τι ὄνομα τὸ ἔνερον, ἀφ' οὗ τὸ ἐντελὲς ἐπίῤῥημα ἐνερόθεν, ἀφ' οὗ κατὰ συγκοπὴν ἔνερθεν, τάχα τῆς ὀξείας εὐλόγως ὑπερτεθείσης κατὰ τὸ ἄρχον μέρος, ἐπεὶ τὰ παραληγόμενα τῶν ἐπιῤῥημάτων τῷ ο, ὡς δεδείξεται, κατάφορά ἐστιν ἐπὶ τὸ παροξύνεσθαι, τῶν ἄλλῳ φωνήεντι παρεδρευομένων οὐ τῆδε ἐχόντων. σαφὲς οὖν, ὅτι καὶ ἐν ἀφαιρέσει ἐστὶ τὸ

νέρθεν ὑπ' ἐγκεφάλοιο.

τροπικώτερον μέντοι ἡ λέξις τίθεται ἐπὶ παντὸς τοῦ κάτωθεν, ᾧ λόγῳ καὶ ἄριστος μέν ἐστιν ὁ ἐν πολέμῳ ἰσχυρός, τροπικώτερον δὲ καὶ ἐπὶ παντὸς τοῦ προσήκοντος· τῇ γοῦν κυριολογίᾳ μαρτυρεῖ τὸ παρώνυμον ἀριστεύς.

Ἔφαμεν ὡς τὰ δύο φωνήεντα ἀποβάλλει τὸ δεύτερον φωνῆεν. οὐχὶ οὖν δόξει τὸ ΆΝΕΥΘΕΝ σεσημειῶσθαι; Πρὸς ὃ φήσομεν, ὅτι οὐ τῆςδε τῆς παραγωγῆς ἔχεται, τῆς δὲ διὰ τοῦ θε, ἥ τις καὶ τὴν δίφθογγον φυλάσσει, εἴθε, αἴθε. ἦν οὖν καὶ παρὰ τὸ ἄνευ ἄνευθε. καὶ σαφές ἐστιν ἐκ τοῦ ἀπάντοτε τὸ σημαινόμενον φυλάσσειν τὴν θε συλλαβήν. ἡ γοῦν κατάληξις ἡ διὰ τοῦ θεν οὐδέποτε τὸ ν ἀποβάλλει· τὸ γὰρ Λεσβόθεν οὐκέτι Λεσβόθε, οὐδὲ ἄλλο τι τῶν τοιούτων· ἐν δὲ τῷ

ἄνευθε δέ σε μέγα νῶϊν

ἡ θε συλλαβή ἐστιν. Ἀλλὰ πῶς ποτὲ ἔχει τὸ ν; Ὦι λόγῳ καὶ τὸ ἔλεγεν καὶ τὸ ἔφερεν, οὐ λήγοντα εἰς ν, προσλαμβάνοντα δὲ τὸ ν διὰ τὴν τοῦ ε κατάληξιν. ᾧ λόγῳ

καὶ ὁ κέ σύνδεσμος κέν ἔαθ' ὅτε λέγεται παρὰ Δωριεῦσι.

Τὰ τῷ ō παρεδρευόμενα παρὰ Δωριεῦσι τῶν ἐπιῤῥημάτων ἀπειράκις ἐν ἀποκοπῇ γίνεται τοῦ θεν καὶ ἐν μεταθέσει τοῦ ō εἰς ῶ, καθὼς προείπομεν, αὐτόθεν - αὐτῶ, αὐτῶ ὁρῆς Φύσκα, τουτόθεν - τουτῶ, τούτῶ θάμεθα. τῆδε εἶχε καὶ τὸ πόθεν λεγόμενον οὕτως, πῶ πῶ τις ὄνον ὠνασεῖται; Καὶ τὸ πώμαλα δὲ παρὰ Ἀττικοῖς ἐν παρολκῇ τοῦ μάλα οὕτως ἐγένετο, καθάπερ καὶ τὸ

ἦ μάλα δὴ τέθνηκεν·
ἦ μάλ' ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾷ.

τοῦ δὲ πόθεν συνεχέστερον καὶ οὕτως λεγομένου ἔγραψας ποθεν ὅπερ κατὰ τὴν τοιαύτην σημασίαν τὸ πώμαλα ἐστι παρὰ τοῖς Ἀττικοῖς κατὰ τὸ πλεῖστον.

Τὰ συμφώνῳ παρεδρευόμενα τῶν εἰς θεν ληγόντων ἐπιῤῥημάτων παρὰ Δωριεῦσι καὶ Αἰολεῦσι ἀμείβει τὸ ē εἰς τὸ ā, καὶ κατ' ἐπακολούθησιν τὸ ν ἀποβάλλει, καθάπερ καὶ ἐπ' ἄλλων παθῶν τὸ τοιοῦτον εὑρέσθαι ἔστι. τὸ ἥδειν παρ' Ἴωσι λεγόμενον ἤδεα, πεποιήκειν - ἐπεποιήκεα, καὶ πάντα τὰ τούτοις ὅμοια· καὶ ἐπ' αἰτιατικῆς Ξέρξεα, Πολυδέκτεα, Γύγεα· καὶ ἐπὶ συνδέσμου τοῦ ἕνεκεν ἕνεκα, καὶ ἔτι τοῦ κέν καὶ κά. ὥςπερ πάλιν εἰ τὸ ā εἰς τὸ ē μεταπέσοι, τὸ τηνικαῦτα πρόςεισι τὸ ν παρ' Αἰολεῦσι· τὸ λεγόμεθα λεγόμεθεν καὶ πάντα τὰ τοιαῦτα τῶν ῥημάτων ἐστι διὰ τὰ μεθιστανόμενα ὡς ἔφαμεν, κατὰ τὸ πλεῖστον, πρόσθεν - πρόσθα, ἔνερθεν - ἔνερθα, ὄπισθεν - ὄπισθα,

ὁ δ' ἐξύπισθα κασταθείς,

ἔνθεν - ἔνθα. καὶ ἐν ἄλλοις δὲ ἐπιῤῥήμασιν, ὡς ἐν τοῖς ἑξῆς δεδείξεται, τὸ ē εἰς τὸ ā μεταπίπτει παρὰ ταῖς προκειμέναις διαλέκτοις.

Παρείπετο τοῖς προκειμένοις ἐπιῤῥήμασιν εἰ μὲν ἀπὸ

ἀπὸ ὀνομάτων εἶεν καὶ μὴ τῷ ō παρεδρεύοιτο, τάσις ἡ αὐτή, [ἡ] ἦν κατὰ τὸ τέλος τῆς γενικῆς. τὸ ἀρχῆς περισπᾶται· τῆδε ἔχει καὶ τὸ ἀρχῆθεν. ὁμοίως καὶ Ἰωνικὸν τὸ ἀγορῆς· τῆδε ἔχει καὶ τὸ ἀγορῆθεν. βαρύνεται τὸ Θήβης· τῆδε ἔχει καὶ τὸ Θήβηθεν. ἀλλὰ καὶ τὸ Ἀθήνης - Ἀθήνηθεν, σιπύης - σιπύηθεν, 5

ἐκ δ' ἄρτους σιπύηθεν.

πάλιν τοῦ γῆς περισπωμένου τὸ γῆθεν συμπερισπᾶται, κἂν διὰ τοῦ ᾱ, Λυκίας - Λυκίαθεν. Ἐπὶ μέντοι τῶν τῷ ō παρεδρευομένων οὐ ταὐτὸν παρέπεται· σχεδὸν γὰρ ἅπαντα ὀφείλει παροξύνεσθαι. παρὰ βαρυνομένην γὰρ γενικὴν τὴν Λέσβου τὸ Λεσβόθεν παροξύνεται· τῆδε ἔχει καὶ παρὰ τὴν Κύπρον τὸ Κυπρόθεν, Ἀβυδόθεν, οὐρανόθεν, Διόθεν, αὐτόθεν, σχεδόθεν. ἁπάντων τῷ λόγῳ τούτῳ ὑποπιπτόντων ἰδιαίτερον ἐβαρύνθη τὸ οἴκοθεν καὶ ἄλλοθεν — ἔνιοι μὲν γὰρ τὸ παντός πάντοθεν καὶ παρώξυναν —· καὶ παρ' ἐπίρρημα δὲ τὸ ἐκτός τὸ ἔκτοθεν καὶ ἔνδον ἔνδοθεν. καὶ εἰ ἔστιν εἰπεῖν ὡς οὐκ ἄλλο τι ἐθέλει παροξύνεσθαι, ὃ μὴ τῷ ō παρεδρεύεται. καὶ γὰρ ὀξυνομένου τοῦ ἑκάς, τὸ ἕκαθεν προπαροξύνεται, καὶ ἅπαντα τὰ τῷ ῱ παρεδρευόμενα, ἄνω - ἄνωθεν, κάτω - κάτωθεν. τῆδε ἔχει καὶ τὸ ἑκατέρωθεν, ἀμφοτέρωθεν, ἑτέρωθεν. πάλιν δὲ παρὰ τὸ ἐγγύς παροξυνόμενον τὸ ἐγγύθεν. οὐκ ἔστιν ἀφορμὴ οὐδεμία τῶν προπαροξυνθέντων. ἴσως γὰρ τὸ ἄλλοθεν ἠδύνατο ἔχειν ἀπολογίαν διὰ τὴν βαρύτητα τῆς γενικῆς, καὶ τάχα τὸ οἴκοθεν· οὐ μὴν ἐπὶ τῆς παντός γενικῆς ὀξυνομένης τὸ πάντοθεν, ἢ ἐπιῤῥήματος τοῦ ἐκτός ὀξυνομένου τὸ ἔκτοθεν, ὅπου γε καὶ αἱ βαρυνόμεναι γενικαὶ παρωξυτονήθησαν κατὰ παραγωγήν, Κύπρου - Κυπρόθεν, Ἀβύδου - Ἀβυδόθεν.

Παράκειται τοῖς εἰς θεν λήγουσι τὰ ἐν τόπῳ, τοῦ τέλους εἰς τὸ ῑ μεταλαμβανομένου, παρεπομένης τῆς τά-

Τὰ διὰ τοῦ ζε παραγόμενα ἔχει τὸ α παρεδρευόμενον ἐν βραχεῖ χρόνῳ, Ἀφιδνα Ἀφίδναζε, ἔρα ἔραζε, θύρα θύραζε. σημειωτέον οὖν τὸ χαμᾶζε· καὶ δῆλον ὅτι τῆς Ἀττικῆς [ἐκ]τάσεώς ἐστι, καθὸ καὶ τὸ χαμᾶθεν.

Εἴπομεν ὡς τὰ διὰ τοῦ φι παραγόμενα αὐτὸ μόνον τῆς παραγωγῆς ἔχεται τῆς διὰ τοῦ φι, καθὸ καὶ ἄλλα πολλά ἐστι τὰ διὰ τοῦ δε παραγόμενα, τοσόςδε, τοιόςδε, ἅπερ τοῦ αὐτοῦ μέρους λόγου ἔχεται, καθὸ καὶ πλεῖστα τῶν εἰς θεν ληγόντων, ὡς ἡ ἐμέθεν ἀντωνυμία καὶ αἱ σύζυγοι. ἔχεται μέντοι καὶ ἕτερα ἐπιῤῥηματικῆς ἐννοίας. ὡς γὰρ παρὰ τὴν ἰνόφιν φωνὴν τὸ ἰφὶ συνεκόπη, σημαῖνον τὸ ἰσχυρῶς. τὸ μέντοι νόσφι πρὸς ἐνίων οὕτως ἀπεδίδοτο, ὡς τὸ νο [ἔσθ᾽] ὅτε στερητικόν ἐστι, καθὸ καὶ τὸ νόσος ἐν στερήσει τοῦ σοεῖν· ἦν δὲ καὶ παρὰ τὸ ἕπεσθαι, κατὰ στέρησιν τοῦ νο, ἐσχηματισμένον τὸ νόσφιν, ὅπερ ἐναντίον σημαίνει τῷ συνέπεσθαι. Σαφὲς δὲ ὅτι καὶ Σέλευκος καὶ οἱ πλεῖστοι ὑγιῶς ἐφίστων τῷ

οὐρανόθι πρό.

ἡ γὰρ εἰς θι παραγωγὴ τὸ ἐν τόπῳ σημαίνει. ὅπερ τινὲς μετέγραψαν τὸ οὐρανόθεν, ἵνα τὸ ἐκ τόπου δηλωθῇ. ἀλλὰ πάλιν ἐδόκει καὶ τὸ πρό ἀντικεῖσθαι· ἐπεὶ γὰρ τὸ οὐρανόθεν τὸ ἐξ οὐρανοῦ σημαίνει, οὐ συνίσταται δὲ τὸ πρὸ ἐξ οὐρανοῦ, σαφὲς ὅτι παραπεμπτέον καὶ τὴν διὰ τοῦ θεν γραφήν. χωρὶς εἰ μὴ ἐκεῖνό τις εἴποι, ὡς ἔσθ᾽ ὅτε ταῖς γενικαῖς μόνον ἡ παραγωγὴ ἰσοδυναμεῖ, οὐ δηλουμένης τῆς ἐκ προθέσεως, ὡς τὸ

Ἴδηθεν μεδέων,

ὡς ἡ ἐμέθεν ἀντωνυμία, ὡς τὸ

Αἴας δ᾽ ἐγγύθεν ἦλθε.

καὶ τὸ οὐρανόθεν προσλαμβάνει τὴν ἐξ πρόθεσιν, ἐξ οὐρανόθεν, ὡς αὖ τοῦ θεν νῦν οὐ λεκτικῶς προσεληλυθότος, ἐν δὲ μόνον παραγωγῇ, καθὼς προαπεδόθη. τῇδε οὖν ἔχει καὶ τὸ οὐρανόθι πρό. εὐμαρέστερον μέντοι τὴν

διὰ· τοῦ φι παραγωγὴν παραδέχεσθαι, ἤ τις συνήθως καὶ ἐπὶ γενικῆς παραλαμβάνεται. ἡ παραλαμβανομένη ποικίλας ἔχει τὰς προθέσεις προσιούσας, ἐκ πασσαλόφιν, ἀπὸ χαλκόφι. διὸ καὶ ἐν παραγωγῇ μόνον κατὰ τὰς ἀρχὰς τὰ τοιαῦτα τῶν ἐπιῤῥημάτων παρελαμβάνομεν. τῇδε οὖν ἔχει καὶ τὸ οὐρανόφι πρό. 5

Τὰ εἰς ω̄ λήγοντα ἐπιῤῥήματα σημαίνει καὶ τὸ ἐν τόπῳ καὶ τὸ εἰς τόπον. τὴν γὰρ διὰ τοῦ θεν παραγωγὴν ἔχει ἐκ τόπου, λέγω δὲ ὅτε μάλιστα ἀπὸ προθέσεως ἐσχηματίσται. ἰσοσυλλαβεῖ μὲν μάλιστα ταῖς προθέσεσιν, ἐὰν 10 ὦσι δισύλλαβοι, μιᾷ δὲ πλεονάζει, εἰ εἶεν μονοσύλλαβοι, λήξει τῇ εἰς σ̄ ἢ φύσει ἢ δυνάμει. τοῦ μὲν προτέρου ἀνά ἄνω, κατά κάτω· τοῦ δὲ δευτέρου πρός πρόσω καὶ εἴς εἴσω. δυνάμει καὶ ἡ ἔξ εἰς σ̄ λήγει· οὕτως ἔχει τὸ ἔξω. φαμὲν οὖν ἄνω μένει Δίων, ἄνω ἀπέρχεται 15 Ἀπολλώνιος· ἔξω μένει, ἔξω ἀπέρχεται. Τὰ εἰς θε τούτων ἐκ τόπου ἐστίν, ἔξωθεν παραγίνεται. Ποία οὖν ἀπολογία ἐν τῷ

καὶ εἴσω δόρπον ἐκόσμει;

χρῆν γάρ, φασίν, ἔνδον· προαποδεδειγμένου τοῦ ὅτι δύο 20 τοπικὰς σχέσεις σημαίνει τὰ τοιαῦτα τῶν ἐπιῤῥημάτων. ἐγώ γε μὴν ὑπολαμβάνω, ὡς μᾶλλον τὸ ἔνδον ἀλογώτερον καθέστηκεν. οὐδὲν γὰρ ἄλλο τι τῶν εἰς δον ληγόντων ἐπιῤῥημάτων τοπικόν ἐστι, ποιότητος δὲ παραστατικόν. ἀπειρότερον οὖν ἀναστρέφοντες τῶν τοιούτων ση- 25 μασιῶν καὶ ἐπιμέμφονται τὸ

εἴσω δόρπον ἐκόσμει.

ὡς προείπομεν, τὰ εἰς δον λήγοντα ἐπιῤῥήματα ἀεὶ ποιότητός ἐστι παραστατικά, ἀγεληδόν, ταυρηδόν, σκηνηδόν, βοτρυδόν, ἴλαδόν, συνωχαδόν· ἦν οὖν τὸ ἔνδον κατὰ τοῦ- 30 το σημειούμενον. ἀλλὰ καὶ ὀξύνεται ἅπαντα, καθὼς κατείληκται· καὶ ἕνεκα τούτου σημειωτέον πάλιν τὸ ἔνδον. — τὸ γὰρ ἔμπεδον οὐκ ἔχεται τῆς παραγωγῆς τῆς

διὰ τοῦ δον, ἀλλ' ἔστιν ἐν συμπτώσει ὀνοματικῇ σύνταξις ἐπιρρηματικὴ παραλαμβανόμενον καὶ ὡς ἔχει τὸ καλόν,

οὐ μὲν καλὸν ἀτέμβειν,

καὶ τὸ

νέον ἐρχομενάων, 5

καὶ ἄλλα πάμπολλα, συνυπάρχοντα οὐδετέρᾳ θέσει ὀνομάτων. ἦν γὰρ παρὰ τὸ ὄνομα τὸ πέδον ἀρσενικὸν ὄνομα ἀποτελούμενον ἔμπεδος, καὶ ἔχον τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, καθὸ καὶ τοῖς πλείστοις τῶν τοιούτων ὀνομάτων παρεπόμενόν ἐστι, τέκνον εὔτεκνος, βλέφαρον καλλιβλέφαρος, ξύλον ἄξυλος· ἦν οὖν καὶ παρὰ τὸ πέδον τὸ ἔμπεδος, ἀφ' οὗ οὐδέτερον τὸ ἔμπεδον, κατὰ ἐπιρρηματικὴν σύνταξιν εἰλημμένον. — Ἔστιν οὖν ὑπὲρ τῆς τάσεως τοῦ ἔνδον ἐκεῖνο φάναι, ὡς ἔστι τινὰ ὑπεξαιρούμενα τῆς τάσεως, ὅτι ἃ μὲν ποιότητος, ὃ δὲ τόπου δηλωτικόν ἐστι· καὶ ἃ μὲν ὑπὲρ δύο συλλαβάς, ὃ δὲ δισύλλαβον· καὶ ὅτι μόνον ἀπὸ προθέσεως ἐσχημάτισται. ἦν δὲ καὶ τὸ πέριξ ἀλόγως μὲν βαρυνόμενον, ἔχον δὲ πάλιν ἀπολογίαν, τὴν ἐκκειμένην πρόθεσιν. Τινὲς μέντοι τὸ ἐντελέστερον ἐξεδέξαντο τὸ ἔνδοι εἶναι, ὅπερ ἐν χρήσει Συρακουσίοις καὶ Αἰολεῦσίν ἐστι, γενόμενον ἐκ συγκοπῆς τοῦ ἐνδόθι, καθότι καὶ πάρεκειτο τῷ ἀγχόθι τὸ ἄγχι, τῷ ὑψόθι τὸ ὕψι· ἀφ' οὗ ἐκ μεταλήψεως τοῦ ῑ εἰς τὸ ῡ ἔνδον ἐγεγόνει, καθότι καὶ τῷ ἀεί παράκειται τὸ αἰέν. ἔνθεν ἐβαρύνετο εὐλόγως, καὶ τοπικὸν ἦν. Οὐκ ἀγνοῶ μέντοι γε, ὅτι τινὲς τὸ

ἔνδοι πειράζουσα

περιέσπασαν τῷ λόγῳ τῶν εἰς οἶ ληγόντων ἐπιρρημάτων, ὅπερ, ὡς προείρηται, ἐχόμενον τοῦ πάθους ἀναγκαίως βαρύνεται. τῇδε γὰρ ἔχει καὶ τὸ ἐπίρρημα παρ' Αἰολεῦσι τὸ μέσοι,

γαίας καὶ νιφόεντος ὠράνω μέσοι·

τῇδε ἔχει καὶ ἀπὸ τοῦ τηλόθι τὸ τήλοῖ.

Ἔτι τὰ προκείμενα τῶν εἰς δον ληγόντων, ἀπὸ ὀνόματος εἰς ἐπιῤῥήματα παρηγμένα, ἢ τῷ η παρεδρεύεται ἢ τῷ α, σκηνηδόν, ἀγεληδόν, ταυρηδόν, πανθυμαδόν, κατωμαδόν. ἐσημειοῦτο πρὸς Τρύφωνος τὸ βοτρυδῶν, ὅπερ διὰ τὴν φυλάσσουσαν γενικὴν τὸ υ ἐδύνατο ἂν ἔχειν 5 ἀναλογίαν. σχηματίζεται καὶ ἀπὸ μετοχῶν, ὡς τὸ ἐθελοντηδόν καὶ ἑκοντηδόν. σπανιάκις ἀπὸ τῶν εἰς ξ ληγόντων, ὡς τὸ κλιμακηδόν, δονακηδόν. καὶ ἔτι ἀπὸ ἐπιῤῥημάτων· τοῦ λάθρᾳ τὸ λαθρηδόν, χωρὶς εἰ μὴ ὀνόματι τῷ λαθραῖος παράκειται, ὥστε τὸ ἐντελὲς εἶναι λα- 10 θραιηδόν, καὶ ἐν συγκοπῇ λαθρηδόν. καὶ παρὰ ῥῆμα σχηματίζεται, ἐκ μὲν βαρυτόνου τοῦ βρύχω τὸ βρυχηδόν· καὶ ἴσως τῷ κρυφῶ περισπωμένῳ παράκειται τὸ κρυφηδόν, τῷ πελάζω καὶ ἐμπελάζω παράκειται τὸ ἐμπελαδόν, τῷ σχέθω σχεδόν, τῷ κρίνω κριδόν καὶ δια- 15 κριδόν, φαίνω φανδόν καὶ ἀναφανδόν, χαίνω χανδόν. μένει δὲ τὸ ν ἐπὶ τοῦ χανδόν καὶ ἀναφανδόν, καθὸ καὶ ἐν παρακειμένῳ τῷ πέφαγκα καὶ κέχαγκα, οὐ μὴν ἐν τῷ κέκρικα ἢ κέκλικα, ἀφ' οὗ τὸ κριδόν καὶ διακριδόν, κλίνω κλιδόν καὶ παρακλιδόν. καὶ φαίνεται ὅτι τῷ μὲν 20 βαίνω οὐ παράκειται τὸ ἐμβαδόν, μᾶλλον δὲ τῷ βῶ ἢ βίβημι, ὡς τῷ ἵστῶ ἵστημι τὸ σταδόν.

Τὰ εἰς δην ἐν βαρείᾳ τάσει ἐστί, καὶ παράγεται καὶ ἀπὸ ὀνομάτων, ὡς τῷ λόγος τὸ λογάδην παράκειται, μόνος μονάδην, τρόχος τροχάδην, σπόρος σποράδην. ἢ παρὰ 25 ῥῆμα, διὰ τοῦ δ καὶ τοῦ συγγενοῦς β παραλαμβανομένου ἐν πρώτῃ συζυγίᾳ, κλέπτω κλέβδην, κρύπτω κρύβδην, γράφω γράβδην, ὄπτω ὄβδην καὶ ἑσόβδην. καὶ παρὰ τοὺς εἰς ξω λήγοντας μέλλοντας διὰ τοῦ γδ, πλέξω πλέγδην, μίξω μίγδην, νύξω νύγδην. καὶ παρὰ τὴν πέμπτην δὲ 30 συζυγίαν, αἴρω ἄρδην, φύρω φύρδην. καὶ παρὰ τὸ σύω δὲ τὸ σύδην· ὅπερ ἐσχημάτιστο, ἐκ μεταθέσεως τοῦ ε

εἰς τὸ ῡ, παρὰ τὸ σέω, ἀφ᾽ οὗ καὶ τὸ σόον, καθότι καὶ τῷ ῥέω τὸ ῥύω παράκειται, ἀφ᾽ οὗ καὶ τὸ ῥυτόν καὶ ὁλόκληρον εἰς ον λῆγον ῥυδόν· καὶ παρὰ τὸ χύω τὸ χύδην, σεσημείωται τὸ βύζην, καὶ διὰ τὴν ἔκτασιν τοῦ ῡ, καὶ διὰ τὴν μονὴν τοῦ ζ. καὶ παρὰ ῥῆμα δὲ τὸ ῥῶ, ἀφ᾽ οὗ τὸ ῥητόν καὶ ἄῤῥητον, παράκειται τὸ ῥήδην, καθὸ καὶ τῷ τμήγω τὸ τμήδην. φαίνεται ὅτι καὶ τῷ ἥδω τὸ ἥδην παράκειται καὶ ἄδην. καὶ παρὰ τὰ εἰς μι λήγοντα ἔστιν εὑρέσθαι, βίβημι βάδην, ἵημι ἀέδην καὶ ἀνέδην. ἔδει οὖν καὶ παρὰ τὸ ῥίαμι τὸ ῥιάδην ἐπιῤῥηματικῆς ἐχόμενον συντάξεως.

Ὅτι πρωτότυπόν ἐστι τῶν εἰς ως ληγόντων τὸ ἕως, δῆλον, οὐ μὴν τὸ ἰσοδυναμοῦν εἰςό, καθὸ καὶ ἐν τόνῳ καὶ ἐν πνεύματι ἐπιστάσεως ἐδέετο. ἐν πνεύματι μὲν οὖν, ὡς ἀδύνατόν ἐστι τὴν ἐν φωνήεντι δασεῖαν ἐπὶ τέλους εὑρέσθαι· ἐν τόνῳ δέ, καθὸ οὐδεμία λέξις εἰς ō λήγουσα τόνου ἔχεται τοῦ ὀξέος, καὶ ἕνεκά γε τούτου τὸ αὐτό ἐσημειοῦτο, περὶ οὗ εἴρηται [ἐν τῷ] περὶ τῶν ἀντωνυμιῶν. ὅτι μὲν οὖν καὶ ἄλλα ἐσημειοῦτο ἕνεκα τοῦ ἐπὶ τέλους πνεύματος, εἴρηται καὶ ἐν τῷ περὶ δασείας καὶ ψιλῆς· οὐ μὴν τὸ προκείμενον μόριον ὀφείλει καὶ περισπᾶσθαι καὶ γράφεσθαι σὺν τῷ ῑ. ἀλλ᾽ οὔτε περισπᾶται, οὔτε σὺν τῷ ῑ χράφεται, μετάληψιν δὲ ἔχει εἰς δύο μέρη λόγου κατ᾽ αἰτιολογικὴν ἔννοιαν. καὶ ἄπορόν γε, πότερον ἐπίῤῥημά ἐστιν αἰτίας παραστατικόν, ἢ σύνδεσμος αἰτιώδης. ἡ σύνταξις αἰτιολογική, ὡς εἰ καὶ ἐπ᾽ ὀνόματος καὶ τῆς διά προθέσεως, λέγω δὲ ἐπ᾽ ὀνόματος τοῦ κατ᾽ αἰτιατικὴν νοουμένου, ἐφ᾽ ἧς καὶ μάλιστα ἡ αἰτιολογικὴ φράσις γίνεται. τὸ γὰρ φάναι δι᾽ Ἀριστάρχου ἢ δι᾽ Ἀλεξανδρείας δῆλον ὡς σημαίνει ἐπὶ μὲν τῶν ἐμψύχων τὸ γινώσκοντος Ἀριστάρχου, τὸ δὲ ἐπὶ τῶν τοπικῶν τὴν δι᾽ αὐτῶν γινομένην πορείαν, δι᾽ Ἀλεξανδρείας, διὰ τοῦ Ἑλλης πάντου· τὰ γὰρ ἐπ᾽ αἰτιατικῆς παραλαμ-

βανόμενον αἰτιολογικὴν ὑπαγορεύει φράσιν, δι' Ἀλέξανδρον, δι' Ἀρίσταρχον, διὰ τὴν πόλιν, διὰ τὴν Λέσβον, διὰ τὴν Ἴλιον. ὅθεν δοκεῖ μοι καὶ τόδε τὸ μόριον ταύτης ἔχεσθαι τῆς συντάξεως. ὡς μὲν οὖν οὐ δύναται δοτικῆς εἶναι πτώσεως, προφανὲς ἐκ τοῦ σημαινομένου· δοτικὴ γὰρ οὐδέποτε αἰτιολογικὴν φράσιν παρίστησι, καθὼς ἔφαμεν, μαρτυρούσης καὶ τῆς παραδόσεως καὶ κατὰ τάσιν καὶ κατὰ γραφήν. ὅτι δὲ οὐδὲ αἰτιολογικὸς σύνδεσμος, προῦπτον. οὐ γὰρ δή γε ἀντιμεταλήψεις εἰσὶν ἐν αὐτοῖς τοῖς αἰτιολογικοῖς συνδέσμοις, λέγω τῷ ὅτι ἢ γάρ ἢ ἕνεκα ἤ τινι τῶν τοιούτων. Ῥητέον οὖν ὡς ἐθεμώτερον οἱ ποιηταὶ ἐλλείπουσι προθέσεσιν, ὡς ἐπὶ τοῦ

ἴθυσε μάχη πεδίοιο,
ἀλλ' ὑμεῖς ἔρχεσθε,
πικρὰς ὠδῖνας ἔχουσαι,

καὶ

τίσις ἔρχεται Ἀτρείδαο.

καὶ ἐπί γε μάλιστα τοῦ προκειμένου μορίου. οὐ γὰρ ἂν ἄλλως αἰτιολογικὴν φράσιν ὑπέφαινεν, εἰ μὴ ἔλιπε τῇ διά, ἀεὶ σημαινούσῃ καὶ αἰτιολογικὸν σύνδεσμον, ὡς ἔφαμεν, ἐπ' αἰτιατικῆς πτώσεως. Ἀλλ' ἐκεῖνό τίς φησι· ποῦ οὖν ἡ αἰτιολογικὴ πτῶσις; Πρὸς ὃν φαίημεν, ὡς ἀνεπέκτατός ἐστιν ἐν τῷ

τὸ καὶ οὔτι πολὺν χρόνον.

ὅθεν δοκεῖ καὶ τὰ τῆς τάσεως συμμεμενηκέναι κατ' ὀξεῖαν τάσιν, καὶ τὰ τῆς γραφῆς. τὸ λεῖπον οὖν ἡ μετάληψις ἀπέλαβε, λέγω τὴν διά πρόθεσιν. ἀεὶ γὰρ τὰ μεταλαμβανόμενα πρὸς ποιητῶν ἀνάγεται εἰς σαφήνειαν καὶ συνήθη προφοράν. καὶ γὰρ μεταλαμβανόμενον τὸ

ἴθυσε μάχη πεδίοιο

ἀπολαμβάνει τὴν διά καὶ τὸ λεῖπον τῆς προθέσεως, ῥῆμα λέγω

ἀλλ' ἄνα εἰ μέμονάς γε
εἰς ἐντελῆ προφορὰν τοῦ ἀνάστηθι. Οὐκ ἀήθως δὲ καὶ τὸ ὑποτακτικὸν πάντως ἐπιζητήσει τὴν διά, οὐ δυνάμενον ἐν ἀρχῇ παραλαμβάνεσθαι, τό γε μὴν προτακτικόν, ἠθισμένον κατ' ἀρχὰς λόγων παραλαμβάνεσθαι, οὐκ ἀήθη ἔσχε τὴν κατ' ἀρχὰς θέσιν.

Εἴπερ τὸ ΆΝΤΙΚΡΥΣ βαρύνεται, τί δή ποτε οὐχὶ καὶ τὸ κατ' ἀποβολὴν τοῦ σ̄, καθὸ καὶ ἐπ' ἄλλων ἔστιν ἐπινοῆσαι, πολλάκι, ἑπτάκι, τουτάκι; Ἢ καθὸ τὰ εἰς ῡ λήγοντα ἐπιῤῥήματα ἐθέλει ὀξύνεσθαι, ὡς ἔχει τὸ μεταξύ καὶ τὸ εὐρύ· τὸ γὰρ ἔῦ ἴσως ἀπὸ διαιρέσεώς ἐστι τοῦ εὖ, ἢ καὶ τάχα παράλογον ἔχει τὴν τάσιν, ὡς δεδείξεται. Ἔστι καὶ τῇδε ἀποφήνασθαι, ὡς μᾶλλον κατώρθωτο τὸ ἀντικρύ, τῆς ὑγιοῦς τάσεως ὑπόμνησις καθεστηκός, τὸ δὲ ἄντικρυς ἠλόγηται βαρυνόμενον, εἴγε τὰ τοιαῦτα τῶν ἐπιῤῥημάτων ὀξύνεται, ἰθύς, ἐγγύς· καὶ ἕνεκα τούτου παράλογον τὸ ἄντικρυς.

Τοῖς εἰς υς λήγουσιν ὀξυτόνοις παράκειται εἰς ῡ λήγοντα, ὁμόφωνα οὐδετέροις, ἐπιῤῥήματα, ὡς τὸ

εὐρὺ ῥέει

παρὰ τὸ εὐρύς, ὡς τὰ ταχὺ ἦλθεν παρὰ τὸ ταχύς. καὶ τῷ οὖν ἐῦς ὤφειλε παρακεῖσθαι ὀξύτονον τὸ ἐῦ, ὅπερ συναιρεθὲν ἀναγκαίως περιεσπάσθη διὰ τὴν ἐν αὐτῷ δίφθογγον· προλήψει μέντοι τοῦ διῃρῆσθαι τὴν ευ ἐβάρυναν τὸ ἐπίῤῥημα.

Τὰ τοπικὰ τῶν ἐπιῤῥημάτων τρεῖς ἔχει διαστάσεις, τὴν ἐν τόπῳ, τὴν εἰς τόπον, τὴν ἐκ τόπου. καὶ δῆλον ὅτι ἀρκτικώτερά ἐστι τὰ ἐν τόπῳ· τὰ γὰρ ἐκ τόπου πολὺ πρότερον ὁμολογεῖ τὸ ἐκ τόπῳ εἶναι, καὶ ἔτι τὸ εἰς τόπον τὰ ἐκ τόπου τὴν μετάβασιν ποιεῖσθαι. ἤδη δὲ καὶ [ἐκ] τῶν φωνῶν σαφὲς τοῦτο γενήσεται. τὸ γὰρ ποῦ σημαίνει τὸ ἐν τόπῳ· ἀφ' οὗ γίνεται τοπικὸν εἰς τόπον παραγωγὸν πόσε καὶ ἔτι τὸ πόθι, καὶ ἐκ τόπου τὸ πό-

θεν. παρά τε τὸ ὕψος ὑψοῦ γίνεται, ἀφ' οὗ τὸ ὑψόθεν καὶ ὑψόθι.

Ὃν τρόπον ἐν τῷ παρεπομένῳ γένει τοῖς ὀνόμασιν ἔστι μοναδικὰ κατὰ ἀῤῥενικὴν προφοράν, καὶ ἔτι κατὰ θηλυκὴν καὶ οὐδετέραν, μονογενῆ καλούμενα, καὶ ὡς ἔστι τινὰ τριγενῆ, ἐν ἑκάστῃ φωνῇ λεγόμενα, καλός καλή καλόν, ἐπικοινωνοῦντά τε τῷ ἀῤῥενικῷ γένει καὶ θηλυκῷ, ὁ ψευδής καὶ ἡ ψευδής καὶ τὸ ψευδές, ἔνιά τε ἐν δυσὶ γένεσι νοεῖται γὰρ ἀρσενικὰ καὶ θηλυκά, ὡς ἵππος καὶ τὰ παραπλήσια, τοῦτον τὸν τρόπον ἔστιν εὑρέσθαι καὶ τὴν τῶν τοπικῶν ἐπιῤῥημάτων σχέσιν οὐ μόνον μοναδικὴν οὖσαν, ὥστε μὴ καὶ ἐξ ἀκολουθίας ἐγγίνεσθαι τὰς ὑπολοίπους σχέσεις τῶν τόπων, ὥσπερ ἐπὶ τοῦ πῇ ἐπιῤῥήματος καὶ ἄλλων ὧν παρεθέμεθα ἢ ἐξ ἀκολούθου προφυρᾶς τὴν τρισσὴν διάστασιν ποιεῖσθαι ὥσπερ τὰ τριγενῆ, ὡς παρὰ τὴν οἴκου ἀποτελεῖται τὸ οἴκοθι οἴκοθεν οἴκαδε, καὶ τοῦ ἐπιῤῥήματος κατὰ τὸ δέον τὴν ἀκόλουθον φωνὴν ἀπενεγκαμένου. ἔστιν ἃ καὶ ἐπικοινωνεῖ, κατὰ τὸν αὐτὸν χαρακτῆρα σημασίαν ἔχοντα τὴν εἰς τόπον καὶ ἐν τόπῳ, οὐ μὴν τὴν ἐκ τόπου, ὡς τὸ ἄνω καὶ τὰ τοιαῦτα, ὑπὲρ ὧν ῥηθήσεται. σπάνια μήν ἔστι τὰ διὰ μιᾶς φωνῆς τὴν τρισσὴν τῶν τοπικῶν ἐπιδεχόμενα διάστασιν, ὡς ἔχει τὸ πρόσθεν καὶ εἴ τι τοιοῦτον. καὶ ἔτι τὸ προειρημένον τοπικὸν ἐπίῤῥημα συνεκδρομῇ τῶν φωνῶν κατά τινα προσπάθειαν τῶν ἐν τόπῳ ἐπιῤῥημάτων καὶ εἰς τόπον, καθὸ τὸ τοιοῦτον καὶ ἐπ' ἄλλων μερῶν λόγου δείκνυται, ἐν πτώσεσι μὲν εὐθείας πρὸς αἰτιατικὴν καὶ κλητικήν, γενικῆς τε πρὸς δοτικήν, καὶ διὰ τοῦτο πάμπολλος ἡ συμμονὴ τῶν πτώσεων καὶ συνέμπτωσις, δυϊκῶν ἁπάντοτε συμπιπτόντων, οὐδετέρων τε κατ' εὐθεῖαν καὶ αἰτιατικὴν καὶ κλητικήν, καὶ ἐπὶ τῶν πλείστων ἀῤῥενικῶν κατ' εὐθεῖαν καὶ κλητικήν, ὥστε καὶ μέχρι σχημάτων ἀνάγεσθαι τὴν συμπάθειαν, ὡς

ἠέλιος ὃς πάντ' ἐφορᾷς

καὶ τὰ τούτοις ὅμοια, καὶ ἐπὶ πληθυντικῶν ἁπάντων ἔν τε ῥήμασιν ἐνεστώτων πρὸς παρατατικοὺς καὶ παρακειμένων προς υπερσυντελικούς, καὶ περισσὸν τὸ νῦν τούτων ἁπάντων παράθεσιν ποιεῖσθαι. ἐντεῦθεν οὖν καὶ τὰ προκείμενα ἐπιῤῥήματα διὰ τὴν προκειμένην συμπάθειαν συντρέχει, καθ' ἕνα σχηματισμὸν παραλαμβανόμενα, τῆς χρήσεως ἔσθ' ὅτε καὶ τὴν ἐν αὐτοῖς διαστολὴν διασυγχυνούσης. τὸ γὰρ ποῦ ἀπῆλθεν ἢ ποῦ μένει ἐν ἔμεινε κατὰ τὰς δύο διαστάσεις τῶν τόπων, τοῦ ποιητικοῦ ἔθους τὸ πλέον διαστείλαντος,

ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα;

κατὰ τὴν ἐν τόπῳ σχέσιν, κατὰ δὲ τὴν εἰς τόπον

πῇ ἔβη Ἀνδρομάχη;

ἐπ' ἐκείνου τοῦ σημαινομένου

πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ δὲ καὶ αὐτός;

ἀντὶ τοῦ εἰς τίνα τόπον.

Τὰ εἰς δε λήγοντα ἐπιῤῥήματα τὴν εἰς τόπον σχέσιν σημαίνει, οἴκαδε, ἄγραδε, ἅλαδε, καὶ ἐκ συντάξεως αἰτιατικῆς πτώσεως καὶ τοῦ δέ συνδέσμου ἀποτελεῖται, σχεδὸν μίμημα καθεστὸς τῆς προκειμένης παραγωγῆς, οἴκόνδε, Οὔλυμπόνδε. διὰ ταύτην τὴν ἀφορμὴν καὶ τὸ ὧδε ἀπηνέγκατο τὴν εἰς τόπον σχέσιν, ὧδε ἦλθεν ὃ δεῖνα, καὶ τὴν ἐν τόπῳ κατὰ τὴν προκειμένην συμπάθειαν τὴν εἰς τόπον καὶ ἐν τόπῳ, ὧδέ σε μένω. Ἴσως δόξει τὸ Ὁμηρικὸν ἔθος ἀντικεῖσθαι τῇ προειρημένῃ συντάξει τοῦ τοπικοῦ ἐπιῤῥήματος, ὡς παρ' αὐτῷ οὐ τοπικόν ἐστι, ποιότητος δὲ παραστατικόν, καὶ ἰσοδυναμοῦν τῷ οὕτως· περὶ οὗ ἐξ ἐπικρίσεως ἐντελῶς εἴπομεν ἐν τῷ περὶ ἐπιῤῥημάτων, ὡς εἴη μὲν ἡ δέουσα αὐτοῦ προφορὰ σημαίνουσα τὸ οὕτως, ἡ δὲ προκειμένη πολλὴ παράθεσις ἐπὶ τῶν τοπικῶν ἐπιῤῥημάτων ἀπηνέγκατο καὶ τὸ προ-

κείμενον μόριον εἰς τὴν τοπικὴν σχέσιν. ἤδη μέντοι ἔνια, ἅπερ καὶ σπανιώτατά ἐστιν, ἀνεδέξατο τὴν εἰς δε παραγωγὴν οὐκ οὖσαν τοπικήν, κοινὴν δὲ καὶ ἄλλων μερῶν λόγου, οὐδὲν πλέον σημαίνουσαν τοῦ ἀφ' οὗ παρήχθη, εἴγε τοῖς οὕτως ἐπεκτεταμένοις παρεπόμενόν ἐστιν ἐν ἀνταποδοτικῷ μορίῳ καταγίνεσθαι διὰ τοῦ τ, τοσόςδε, τοιόςδε, τηλικόςδε. οἷς ὅμοιον παρὰ τὸ ἡνίκα καὶ τηνίκα τὸ τηνικάδε, ἧμος τῆμος τημόςδε. πρόςκειται δὲ τὸ τοιοῦτον. χρὴ μέντοι νοεῖν, ὡς τὰ ἐπεκτεταμένα ἕξει τὴν ἀνταπόδοσιν τοῦ τ, οὐ μὴν τὰ ἀνταποδοθέντα τὴν ἐπέκτασιν ἔχει. ἰδοὺ γὰρ παρὰ τὸ ὄφρα καὶ τόφρα τὰ τῆς ἐπεκτάσεως οὐκ ἐγένετο· καὶ τὸ ἕως καὶ ἔτι τέως· ἴσως ὅτι καὶ ἐν ἄλλοις ἔλλιπῆ ἐστὶ τὰ τοιαῦτα σχήματα. παρείπετο γὰρ τὸ τοιοῦτον τοῖς ἐπεκτεταμένοις, καὶ ἐν πύσμασι καταγίνεσθαι· ἃ δὲ ἔλλιπῆ πυσματικῆς ἦν προφορᾶς. καὶ ἐκ τῆς ἀναστροφῆς δὲ τοῦ λόγου πάλιν ἐστί τινα ἀντικείμενα, ὡς παρὰ τὸ ὡς τὸ ὧδε οὐκ ἀρξάμενον ἀπὸ τοῦ τ, καὶ παρὰ τὸ ἔνθα τὸ ἐνθάδε. ὅτι γὰρ οὐκ ἔστι τῆς τοπικῆς παραγωγῆς, σαφὲς ἐντεῦθεν. τὰ τοπικὰ παραχθέντα μετὰ τοῦ σημαινομένου καὶ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ἄγραδε, οἴκαδε· τοῦτο δὲ οὐχ οὕτως ἔχει. τὰ τοπικὰ παραχθέντα ἀποβολῇ τοῦ δε οὐκ ἀπολιμπάνει λέξιν σημαίνουσάν τι, χωρὶς εἰ μὴ ἐκ παραγωγῆς μὲν μὴ εἴη, ἐκ δὲ συντάξεως τοῦ δέ συνδέσμου καὶ πτώσεως αἰτιατικῆς, ὡς τὸ Οὔλυμπόνδε καὶ τὰ ὅμοια· καὶ διὰ τοῦτο ἀμφίβολον τὸ ἄλαδε. ὅπερ πάλιν τῷ ἐνθάδε οὐ παρακολουθεῖ. εἴπερ οὖν τὸ ἔνθα καταλιμπάνεται ὑποστελλομένου τοῦ δε, ἴδιον δέ ἐστι τοῦτο τῶν διὰ τοῦ δε ἐπεκτεταμένων, τὸ πάλιν ἀποβολῇ τοῦ δε τὸ αὐτὸ σημαίνειν, ὥς γε ἔχει τὸ τηνικάδε καὶ τηνίκα, τημόςδε καὶ τῆμος, ὧδε ὥ, ὃ δὴ Δωρικόν ἐστιν, ὥτε χερνῆτις γυνή, καὶ ἐπὶ ὀνομάτων τοιόςδε - τοῖος, τοσόςδε - τόσος, τῆς προκειμένης παραγωγῆς καὶ τὸ ἐν-

θάδε. εἴπερ οὖν ἴδιον τὸ τὴν πρὸ τέλους ὀξύνειν, βραχεῖαν οὖσαν, τῶν διὰ τοῦ δε παρηγμένων, τημόςδε, τηνικάδε, τοιοῦτον ἄρα καὶ τὸ ἐνθάδε. πρόδηλον ὅτι καὶ τὸ ἐνθένδε τῆς αὐτῆς παρόλκῆς ἐστίν· ὅπερ ὅλως οὐδὲ τὴν εἰς τόπον σχέσιν σημαίνει. ἔτι ὃν τρόπον διαφέρει τὰ τοιαῦτα, καθὸ ὃ μέν ἐστι παρηγμένον διὰ τοῦ δε, ὃ δὲ ἐν δυσὶ μέρεσι λόγου, τὸν ἴδιον ἔχον τόνον καὶ τὸν τοῦ δέ,

ὁ δὲ προςέειπεν ἄνακτα,

τοῦτον τὸν τρόπον καὶ τὸ ἐνθάδε διοίσει τοῦ 11

ἔνθα δ' ἐνὶ Σκύλλη ναίει·

τὸ μὲν γὰρ παροξυνόμενόν ἐστι, τὸ δὲ προπαροξυνόμενον ἐν παραθέσει τοῦ συμπλεκτικοῦ συνδέσμου,

ἔνθα δ' ἔναιεν

Αἴολος Ἱπποτάδης. 15

Μόνως τὰ διὰ τοῦ ζε τὴν εἰς τόπον σχέσιν σημαίνει, ἔραζε, θύραζε, Ἀφίδναζε, Θήβαζε, οὐκ ἀπιθάνως, τοῦ ζ καὶ τοῦ δ ἰσοδυναμοῦντος σχεδόν, κλύζω κλύδων, κνίζω κνίδη, ἕζω ἕδος.

Τὰ εἰς ῶ λήγοντα ἐπιῤῥήματα, ἡνίκα μὲν ἀπὸ προ- 20
θέσεως παρῆκται, πάντως ἐστὶ τοπικά, ὡς τὸ ἄνω καὶ τὰ ὅμοια· ἡνίκα δὲ ἀπ' ὀνομάτων, τὴν τοῦ ὀνόματος σχέσιν παραλαμβάνει ἐπιῤῥηματικῶς νοουμένην. παρὰ τὸ τείνειν ὁ τόνος εἴρηται, ἧς ἔχεται πάλιν ἐννοίας τὸ τόνῳ· ἐπίτασιν γὰρ ἐνεργήματος σημαίνει. ὁμοίως τὸ ἄνεως σημαί- 25
νει τὸν ἄφωνον, λέγω ὀνοματικῶς, ἀφ' οὗ πάλιν ἐπιῤῥήμα πίπτει τῆς αὐτῆς ἐννοίας ἐχόμενον τὸ ἄνεῳ καὶ τὸ ἀναυδ . . καὶ δῆλον ὅτι τὸ κύκλῳ οὐ διὰ τῆς παραγωγῆς τὴν εἰς τόπον σχέσιν σημαίνει, ἀλλὰ καθὸ καὶ τὸ κύκλος κατηγορεῖ σχέσεως τοπικῆς. ὁμοίως καὶ τὸ 30
πόῤῥω, Ἀττικώτερον ἐκταθέν, παρακείμενον τῷ πόρος, πάλιν τοπικῆς ἐννοίας οὔσης. τά γε μὴν ἀπὸ προθέσεως παραχθέντα πάντοτε τοπικὴν σχέσιν ἐπαγγέλλε-

ται, ἴσως ὅτι καὶ αὐταὶ αἱ προθέσεις, μετὰ καὶ ἄλλων σημαινομένων, τοπικὰς σχέσεις παρεμφαίνουσιν, ἀναβαίνει, καταβαίνει, καὶ μάλιστά γε ἐπὶ τῆς τῶν ἐπιῤῥημάτων συνθέσεως, ὅτε καὶ αὐτὰ τὴν ἐν τόπῳ κίνησιν σημαίνει· ἐπὶ γὰρ τῶν πτωτικῶν καὶ ἄλλα πάμπολλα σημαίνει, κατὰ Κτησιφῶντος, διὰ Τρύφωνα, περὶ ἐμοῦ. ἔστι δὴ τὰ ὑπόλοιπα ταῦτα, ἀνά ἄνω, κατά κάτω, πρός πρόσω, ἐς ἔσω, ἔξ ἔξω. καὶ ἕκαστον τῶν προκειμένων σημαίνει καὶ τὴν εἰς τόπον σχέσιν καὶ τὴν ἐν τόπῳ, ἄνω ἔρχομαι – ἄνω μένε·

ἄττα, πρόσω φέρε τόξα·

καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτό. πῶς οὖν ἄλογον καὶ τὸ

εἴσω δόρπον ἐκόσμει,

κειμένου τοῦ εἴσω ὁμοίως τοῖς ἄλλοις κατὰ τήνδε τὴν σχέσιν; καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον,

διὰ εὐπετείας τειχέων εἴσω μολεῖν.

Ἀλλά φασιν, ὡς ἐχρῆν φάναι ἔνδον. ὅπερ ἐκ τῶν ἐναντίων ἴσως ἄλογον, καθὸ πᾶν εἰς δον λῆγον ἐπίῤῥημα ποιότητός ἐστι παρεμφατικόν. οὐ τόπου. βοτρυδόν, ὀακηδόν, ἀγελῆδόν, δωακηδόν. πῶς οὖν οὐ γελοῖον τὸ μὲν ἔχον λόγον παραιτεῖσθαι, τὸ δὲ ἄλογον καὶ κατὰ φωνήν, ὅτι μὴ ὀξύνεται, καὶ κατὰ τὸ δηλούμενον, ὅτι μὴ τὸ αὐτὸ τοῖς ἅπασι σημαίνει, ἀναλογώτερον εἰπεῖν; Ἔστιν ὑπὲρ τῆς χρήσεως ἐκεῖνα παραθέσθαι, ὡς τὰ μὲν ἄλλα τῶν ἐπιῤῥημάτων, λέγω τὰ παρὰ τὰς προθέσεις ἐσχηματισμένα, οὐκ ἔχοντα ἕτερον τὸ παρακείμενον, δηλοῦν τὴν ἐν τόπῳ σχέσιν, ἀνέμενε τὴν δισσὴν χρῆσιν τῶν τοπικῶν· τὸ δὲ εἴσω, ἔχον τὸ ἔνδον ἀντιπαρακείμενον, ἐδόκει ἀλόγως τίθεσθαι σημαῖνον τὴν τοῦ ἔνδον σχέσιν. ὅπερ παντὶ μέρει λόγου παρακολουθεῖ τὸ διελέγχεσθαι εἰς ἀκαταλληλότητα, ὅταν ἑτέρα τις χρῆσις ᾖ κατ' ἰδίαν μόνον σημασίαν. τὸ γράφει οὐκ ἄν ποτε ἐπὶ πρώτου προσώπου ἢ δευτέρου τεθείη, ἐπεὶ ἀπομεμέρι-

σται τὸ γράφω καὶ γράφεις εἰς τὰ πρόςωπα· τὸ γράφεις δὲ οὔτε ἐπὶ πρώτου οὔτε ἐπὶ τρίτου, καθὸ ἀνεμερίσθη τὰ τοιαῦτα. τά γε μὴν ἀπαρέμφατα, εἰς πρόςωπα οὐ μερισθέντα, εἰς ἀριθμούς, οὐκέτι ἀκατάλληλα παρὰ τὴν τούτων ἀνωμαλίαν ἐστίν. ἔστιν εἰς τὸ τοιοῦτον πάμπολλα παραθέσθαι. ἐξαιρέτως οὖν ἀναμερισθὲν τὸ ἔνδον ἀναγκαίως διελέγχει τὴν δισσὴν χρῆσιν τοῦ εἴσω. Ἀλλά φαμεν αὐτὸ ἠλογῆσθαι, ὅπερ εἶχεν ὑπεξαίρεσιν τοῦ μὴ ὅμοιον εἶναι τοῖς εἰς $\overline{\delta o\nu}$ περατουμένοις, πρῶτον ὅτι δισύλλαβον, ἔπειτα μόνον ἀπὸ προθέσεως ἐσχημάτισται, τῶν ἄλλων οὐ τῇδε ἐχόντων, ἀλλ' ἐξ ὀνόματος ἢ ῥήματος παρηγμένων. πρόκειται δὲ ὅτι αἱ προθέσεις, παραγόμεναι εἰς ἐπιρρηματικὴν προφοράν, τόπου σχέσιν ἐπαγγέλλονται. εἰ οὖν μόνον ἀπὸ προθέσεως, μόνον καὶ τοπικὴν σχέσιν σημαίνει, οὐκ ὀξυνόμενον, καθὸ τὸ πλέον πάλιν αἱ προθέσεις ἐν βαρείᾳ τάσει ἔχουσι τὰ ἐπιῤῥήματα παραγόμενα.

Ὁμοίως δὲ καὶ τὰ διὰ τοῦ $\overline{\sigma}$ ἐκφερόμενα τὴν αὐτὴν σχέσιν τοῖς εἰς $\overline{\delta\epsilon}$ λήγουσι σημαίνει, τὸν αὐτὸν τόνον ἀναδεχόμενα καὶ παράθεσιν τὴν τῶν εἰς $\overline{\theta\epsilon\nu}$, ἄλλοθεν ἄλλοσε, πόθεν πόσε, πάντοθεν πάντοσε· οὐ τοῦτό μου ἀποφαινομένου, ὡς πάντως τὰ εἰς $\overline{\theta\epsilon\nu}$ λήγοντα ἀντιπαράκειται τοῖς εἰς $\overline{\sigma\epsilon}$, ἀλλ' ὡς τὰ εἰς $\overline{\sigma\epsilon}$ τοῖς εἰς $\overline{\theta\epsilon\nu}$ παράκειται, ὧν καὶ τὴν ταυτότητα ἀναδέχονται. οἷς πάλιν σύνεστιν ἡ διὰ τοῦ $\overline{\theta\iota}$ παραγωγή, τὴν ἐν τόπῳ σχέσιν ἀπάντοτε δηλοῦσα, πάλιν τῆς αὐτῆς τασεως συνούσης, γραφῆς τε τῆς διὰ τοῦ $\overline{\theta}$, εἰ συνείη κατὰ τὸ πλέον καὶ ἡ διὰ τοῦ $\overline{o}$ γραφὴ παρεδρεύουσα· εἰ δὲ μή γε ἡ διὰ τοῦ $\overline{o\varsigma}$ γραφὴ ἐγγίνεται, ὡς ἔχει τὰ τοιαῦτα, οὐκ ἐν μονῇ μὲν τοῦ [$\overline{\vartheta}$] Ἀθήνη Ἀθήνηθεν Ἀθήνησιν, Θήβη Θήβηθεν Θήβησι, συνόντος δὲ τοῦ $\overline{o}$ οὐρανόθεν οὐρανόθι, Ἀβυδόθεν Ἀβυδόθι, οἴκοθεν οἴκοθι. πρόςκειται δὲ κατὰ τὸ πλέον διὰ τὸ κεῖθεν καὶ κεῖθι, ὅπερ ἴσως τοῦ ἐκεινόθι δύναται συγκοπὴ εἶναι· ἀλλὰ καὶ πάλιν διὰ τὸ ἐγγύ-

θεν

θεν καὶ ἐγγύθι. καὶ σαφὲς ὅτι δεόντως ἐν τοῖς πλείστοις ἡ τοιαύτη γίνεται ἀπαράδεκτος γραφή, λέγω τὴν οὐρανόθι πρό. οὐ γὰρ νῦν τὴν ἐν τόπῳ σχέσιν ὁ λόγος ἀπαιτεῖ, ἀλλὰ τὴν ἐν γενικῇ σύνταξιν, πρὸ οὐρανοῦ, εἴγε οὐκ ἐν οὐρανῷ ἡ πτῆσις ἦν. [χρ]ῆν οὖν οὐρανόφιν ἢ οὐρανόθεν, 5 οὐ τοῦτό μου ἀποφαινομένου, ὡς τὰ διὰ τοῦ θεν ἐκφερόμενα τὴν ἐκ τόπου σχέσιν σημαίνει, ἢ ἐν γενικῇ θέλει παραλαμβάνεσθαι, ἢ καθόλου ὅτι ἔστιν ἐν τῇ συντάξει ἐπίῤῥημα· δεδείξεται γὰρ τὴν ἐκ τόπου σχέσιν δηλοῦν τὸ αὐτὸ τοῖς ἀφ' ὧν ἐσχηματίσθη. τά γε μὴν εἰς φι λήγον- 10 τα αὐτὸ μόνον παραγωγῆς δόξαν ἔσχεν ἐπιῤῥηματικῆς, οὐ μὴν ἔστιν ἐπιῤῥήματα τῇ φύσει, καθάπερ τοὐναντίον ὀνόματα πολλάκις τῇ φύσει ὄντα, σύνταξιν ἐπιῤῥηματικὴν ἀναδεξάμενα, λέγεται ἐπιῤῥήματα. ἔχει δὲ τὰ τοῦ λόγου οὕτως. πᾶσα παραγωγὴ ἐπιῤῥηματική, τοπικὴν 15 σχέσιν ἀναδεξαμένη, μιᾷ ὑπακούει πτώσει κατὰ τὴν διάλυσιν, οἴκοθι – ἐν οἴκῳ, οἴκοθεν – ἐξ οἴκου, οἴκαδε – εἰς οἶκον. χρὴ οὖν καὶ τὰ παρόντα τοῦ λόγου ἔχεσθαι. γενικὴ δέ ἐστι τὸ πασσαλόφι, καὶ ὁοτικὴ

ὡς φρήτρη φρήτρηφιν, 20

ἢ αἰτιατική, ὡς

ἐπὶ δεξιόφιν.

καὶ εἰ τοῦτο, δοθήσεται ὡς τὸ ἀναπεμπόμενον ἐν πτώσεσιν ὀνόματος μᾶλλον σύνταξιν ἀναδέξεται ἤπερ ἐπιῤῥήματος, ὥστε καὶ κλινομένων τῶν πτώσεων τὴν παρα- 25 γωγὴν γίνεσθαι. ὅπερ οὐκ ἴδιον ἐπιῤῥημάτων· οὐδὲ γὰρ τὸ τοιόςδε καὶ τοσόςδε, τὸ τοῦ ἐπιῤῥήματος ἀναδεξάμενα κατὰ τὸ τέλος, ἐπιῤῥήματα ἐκαλέσαμεν διὰ τὸ συνημμένον τῆς πτώσεως καὶ διὰ τὸ αὐτὸ δηλούμενον. ἔστι δὲ καὶ ἐκ παραθέσεως προθετικῆς ἔσθ' ὅτε τοπικὴν σχέ- 30 σιν σημαίνοντα ἐπιῤῥήματα δε διὰ τῆς παραγωγῆς μόνον τὴν τοπικὴν σχέσιν δηλοῦν. διὸ καὶ εἰς ταῦτα ἀντι-

μεταλαμβάνεται, οἴκοθι - ἐν οἴκῳ· οὐ γὰρ δή γε ἐν οἴκοθί τις φαίη. οἴκαδε - εἰς οἶκον, οὐκ εἰς οἴκαδε. διο καὶ τὰ τοιαῦτα κακία, ἐξ οἴκοθεν, παροίκαι δὲ ποιητικαὶ ἐξ οὐρανόθεν· ὑπὲρ ὧν κατὰ τὸ ἑξῆς εἰρήσεται. εἰ δὴ τοῦτο, οὐκ ἐπιῤῥηματικὴ σύνταξις τὸ ἐκ πασσαλόφιν, κατ' ὄρεσφιν, τῶν παραπλησίων. ὅθεν προκρίνειεν ἄν τις καὶ τὴν τοῦ φι γραφὴν ἐν τῷ οὐρανόθι πρό, ἐπεὶ ἰδίας παραγωγῆς ἔχεται ἡ διὰ τοῦ θεν.

Τὰ εἰς ου λήγοντα τὴν ἐν τόπῳ σχέσιν σημαίνει καὶ μόνως περισπᾶται, ὡς ἔχει τὸ αὐτοῦ. καὶ ἐκεῖνο ἐπιῤῥηματικόν ἐστιν,

αὐτοῦ καὶ κριοῖο·
ὑψοῦ δ' ἐν νοτίῳ.

ἀγχοῦ, τηλοῦ. καὶ ἐντεῦθεν δείκνυται, ὅτι τὸ ποῦ τὴν ἐν τόπῳ σχέσιν σημαίνει, καθότι καὶ ἡ Ὁμηρικὴ συνήθεια ὁμολογεῖ, καὶ κατὰ τὴν προειρημένην συμπάθειαν τίθεται καὶ ἐπὶ σχέσεως τῆς εἰς τόπον, ποῦ ἀπέρχῃ; πρόσκειται Δώρια μὲν τὰ τοιαῦτα μεταποιούμενα, εἶ τὰ τῶν χοιραγχᾶν. πεῖ γὰρ ἀσφαλτος· αὐτοῦ - αὐτεῖ. τὸ ὅπου κατὰ τάσιν οὐχ ἡμάρτηται. ἅπαντα γὰρ τὰ ἀοριστώδη ὑπὸ τοῦτον τὸν τόνον πίπτει. παράκειται γὰρ τὰ διὰ τοῦ θεν παραγόμενα, σημαίνοντα τὴν ἐκ τόπου σχέσιν, ἀγχοῦ - ἀγχόθεν, ὑψοῦ - ὑψόθεν, τηλόθεν, αὐτόθεν, ὅθεν. τὸ πόθεν παρὰ τὸ ποῦ. αὕτη δέ ἐστιν ἡ παραγωγὴ καὶ ἐπ' ὀνομάτων παραγομένη, Ἀθήνηθεν, Θήβηθεν, ἀρχῆθεν, ἀγορῆθεν, οἴκοθεν. περὶ τῆς τούτων τάσεως καὶ γραφῆς εἴρηται ἰδίᾳ ἐν τῷ περὶ ἐπιῤῥημάτων. καὶ φαίνεται ὅτι οὐ παρὰ τὸ ἑκάτερος τὸ ἑκατέροθεν, παρὰ δὲ τὸ ἐπίῤῥημα τὸ ἑκατέρωσε, ἑκατέρωθεν, ἑτέρωθεν. καὶ πάλιν παρὰ τὸ ἄνω ἄνωθεν, ἔσω ἔσωθεν, κάτω κάτωθεν. ἔστι καὶ παρὰ ἀντωνυμίαν παρηγμένα παρὰ Δωριεῦσι, τουτόθεν, ὃ δὴ συνήθως ἀποκόπτοιτες τὴν λοι-

πὴν συλλαβὴν ἐκτείνουσιν εἰς τὸ ῶ, τουτῷ θάμεθα, καθὸ καὶ παρὰ τὸ αὐτόθεν αὐτῷ ὁρῆς Φύσκα. οὕτως ἔχει καὶ τὸ πῶ τις ὄνον ὠνασεῖται; ὅτι γὰρ τὰ τοιαῦτα Δώρια ἐπιῤῥήματα, σαφὲς ἐκ τοῦ πάμπολλα μὲν εἶναι ἐπιῤῥήματα ἐκ τόπου εἰς θεν, μὴ μέν τοί γε τοῖς εἰς ῶ λήγουσι τὴν ἐκ τόπου σχέσιν δηλοῦν· ἐκείνου γε προδήλου καθεστῶτος, ὡς τὰ ἐγγινόμενα πάθη κατὰ τὰς ἑτεροιώσεις τῶν διαλέκτων τῶν φωνῶν ἐστίν, οὐχὶ τῶν δηλουμένων. ὅθεν πρὸς τὸ σημαινόμενον τοῦ πόθεν ἔμεινε τὸ δηλούμενον ἐν τῷ πῶ καὶ τοῦ αὐτόθεν ἐν τῷ αὐτῷ. Ἡ προκειμένη παραγωγὴ κατὰ τοῦ αὐτοῦ δηλουμένου παραλαμβάνεται, ἡνίκα ἀπ' ἀντωνυμιῶν μέν φαμεν ἐμεῦ ἐμέθεν, σεῦ σέθεν. τὸ πλέον γὰρ αἱ ἀντωνυμίαι κατὰ πρόςωπα ἐθέλουσι παράγεσθαι. ἀλλὰ φήσει τις· τί δέ, εἰ ἐπιῤῥηματικά ἐστι σχήματα, ἀπ' ἀντωνυμιῶν γεγονότα; Πρὸς ὃν ἔστι φάναι, ὡς σχέσιν τὴν τῶν ἐπιῤῥημάτων ἀποτελοῦσιν, οὐχὶ σύνταξιν τῆς γενικῆς ἐπιῤῥηματικήν, ὡς εἴγε τὰ ὁπωσδήποτε γενόμενα ἐπιῤῥήματα μιᾶς ἐννοίας ἐστὶ παρεμφατικά, οὐ δεόμενα παραθέσεως προθετικῆς. αἱ μέντοι γενικαί, ἐχόμεναι συντάξεως τῆς πρὸς τὰς προθέσεις, ταύτας καὶ ἀπολαμβάνουσιν, ἀπὸ Ἀριστάρχου, ἐξ Ἀριστάρχου, ἐξ οἴκου, ἀπ' οἴκου· ὁ αὐτὸς λόγος ἐπὶ πάντων. οὐ μὴν ἔστι φάναι ἀπὸ Δηλόθεν, οὐδ' ἀπ' οἴκοθεν. ἔτι γε μὴν ἐπὶ τῶν προκειμένων ἀνθυπάχονται αἱ γενικαὶ τῶν ὀνομάτων, ὅπερ ἴδιον ἀντωνυμιῶν. ἀλλὰ καὶ ἐπ' ὀνομάτων· ἀντὶ γὰρ γενικῆς τῆς Ἴδης φασὶν

Ἴδηθεν μεδέων.

οὕτως ἔχει καὶ τὸ

εἴσομαι δ' ἔξ ἄλλοθεν.

σαφὲς ἐκ συντάξεως τῆς ἔξ· αὕτη γὰρ ἡ παραγωγὴ ἔχει ἐγκείμενον τὸ ἔξ. οὕτως ἔχει καὶ τὸ

ἔξ οὐρανόθεν.

καὶ ἐξ ἐκείνων δὲ συμφανές,

Αἴας δ' ἐγγύθεν·

οὐ γὰρ νῦν τὴν ἐκ τόπου σχέσιν βούλεται δηλοῦν, τὴν δὲ εἰς τόπον. οὕτως ἔχει καὶ τὸ

σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη.

οὐ γὰρ ἐκ τοῦ σύνεγγυς τόπου, ὅπερ γελοῖον· τὸ γὰρ μέγιστον ἔξαλμα οὐρανὸς καὶ γῆ. ἐν ἴσῳ οὖν ἐστὶ τῷ σχεδόν. ἐν τῷ περὶ Ἰάδος τὸ τοιοῦτον ἀπεδείξαμεν. Οὐ χρὴ νοεῖν, ὅτι παρ' ἐπίρρημα τὸ ἐκεῖ τὸ ἐκεῖθεν ἐγένετο η τὸ κεῖθι ἐγένετο ἀπὸ κεῖθι, πρῶτον ὅτι ἐνέμεινεν ἡ δίφθογγος — πρόκειται γὰρ ὡς ἡ τοιαύτη παραγωγὴ ὑποστολὴν ποιεῖται τοῦ τηλόθεν, ἀγχόθεν —, δεύτερον ὅτι μᾶλλον ἀποκοπή ἐστι τοῦ ἐκεινόθι· οὐ γὰρ τοῦ ἐκεῖθεν, ἐπεὶ κἂν τὴν ἐκ τόπου σχέσιν ἐσήμαινεν. ἔστιν οὖν κατ' ἐντέλειαν τὸ ἐκεινόθεν παρὰ τὸ ἐκεῖνος, ἀφ' οὗ κατὰ συγκοπὴν τὸ ἐκεῖθεν, ἐκεινόθι καὶ ἐκεῖθι, ἐκεινόσε ὡς κυκλόσε καὶ ὅτι ἐκεῖσε,

κεῖσε δ' ἂν οὐκ ἂν ἐῴμι.

ἀπὸ δὴ τοῦ ἐκεῖθι καὶ ἐκεῖσε χρὴ νοεῖν ἀποκοπὴν γεγενῆσθαι τὴν ἐκεῖ, ἐπεὶ καὶ τὸ ἐν τόπῳ σημαίνει, ἐκεῖμένε, καὶ τὸ εἰς τόπον, ἐκεῖ ἀπέρχομαι· οὐ μὴν τὸ ἐκ τόπου, διὸ οὐδὲ τοῦ ἐκεῖθεν ἀποκοπὴν ἔφαμεν γεγενῆσθαι. πρόκειται γὰρ ὅτι τῶν φωνῶν τὰ πάθη καὶ οὐ τῶν δηλουμένων. τὸ ἦχι τοπικὸν οὐ διὰ τὴν ἐπὶ τέλους παραγωγὴν τὴν εἰς τόπον σχέσιν σημαίνει· ἔστι γὰρ παρολκὴ ὁμοία τῷ ναίχι, οὗ καὶ οὐχί. σαφὲς δὲ καὶ ἐξ αὐτῆς τῆς φωνῆς· ἡ γὰρ φυσικὴ πρόταξις τοῦ η̄ οὐκ ἂν ἐδασύνετο, καθὸ οὐδέποτε τὰ φωνήεντα πρὸ τοῦ χ̄ δασύνεται. ἔτι ὃν τρόπον ἰδίᾳ ῥητόν ἐστι τὸ ναί, οὐ πάντως ἐπιζητοῦν τὸ χῑ, ὁμοίως τὸ οὔ, τοῦτον τὸν τρόπον καὶ τὸ ἦ, σημαῖνον τὴν εἰς τόπον σχέσιν, ἐντελές ἐστι. σαφὲς ἐκ τῶν ἀνταποδιδομένων, οἷς οὐκέτι παρα-

κολουθεῖ τὸ ἐπεκτείνεσθαι, λέγω τὸ τῇ καὶ πευστικῶς τὸ πῇ καὶ ἔτι τὸ ἀοριστωδῶς ὅπῃ, προστιθεμένου τοῦ ῑ, καθὼς καὶ ἡ παράδοσις ὁμολογεῖ, καὶ ὡς μᾶλλον τὰ τοιαῦτα συμφέρεται φωνῇ τῇ πρὸς τὰς δοτικάς, ὡς ἔχει καὶ τὸ ταύτῃ πορευθῶμεν. τὸ μέντοι πεῖ καὶ εἶ παρὰ Δωριεῦσι χρὴ νοεῖν, ὅτι οὐ παράκειται τῷ πῇ καὶ ἔτι τῷ τῇ, ἀνταποδοτικῷ, καθὸ τὴν ἐν τόπῳ σχέσιν δηλοῦντα τῷ ποῦ μᾶλλον καὶ τῷ ὅπου ἀντιπαράκειται· τὸ γὰρ εἶ τὰ τῶν χοιραγχᾶν ἐν ἴσῳ ἐστὶ τῷ ὅπου, καὶ τὸ πεῖ γὰρ ἁ ἄσφαλτος ἐν ἴσῳ τῷ ποῦ. ἄλλως τε τὰ διὰ τοῦ η ἐκφερόμενα τροπὴν μᾶλλον τὴν διὰ τοῦ α παραδέχεται ἢ τὴν διὰ τοῦ ει, πάντῃ πάντα, ἄλλῃ ἄλλα.

ΔΙΟΝΥΣΙΟΥ

ΘΡΑΙΚΟΣ

ΓΡΑΜΜΑΤΙΚΗ.

1.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΙΚΗΣ.

Γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων. Μέρη δὲ αὐτῆς εἰσὶν ἕξ· πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν, δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιη- 5
τικοὺς τρόπους, τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις, τέταρτον ἐτυμολογίας εὕρεσις, πέμπτον ἀναλογίας ἐκλογισμός, ἕκτον κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ.

10

2.

ΠΕΡΙ ΑΝΑΓΝΩΣΕΩΣ.

Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. Ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν· ἐκ μὲν γὰρ τῆς ὑποκρί- 15
σεως τὴν ἀρετήν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν· ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς, τὰ δὲ ἐλεγεῖα λιγυρῶς, τὸ δὲ ἔπος ἐντόνως, τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς, τοὺς δὲ οἴκτους ὑφειμένως καὶ 20
γοερῶς. τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταῤῥίπτει καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησι.

3.

25

ΠΕΡΙ ΤΟΝΟΥ.

Τόνος ἐστὶ φωνῆς ἀπήχησις ἐναρμονίου, ἢ κατὰ

ἀνάτασιν ἐν τῇ ὀξείᾳ, ἢ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ, ἢ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ.

4.

ΠΕΡΙ ΣΤΙΓΜΗΣ.

Στιγμαί εἰσι τρεῖς, τελεία, μέση, ὑποστιγμή. καὶ ἡ μὲν τελεία στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον, μέση δὲ σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενον, ὑποστιγμὴ δὲ διανοίας μηδέπω ἀπηρτισμένης ἀλλ' ἔτι ἐνδεούσης σημεῖον.

5.

ΤΙΝΙ ΔΙΑΦΕΡΕΙ ΣΤΙΓΜΗ ΥΠΟΣΤΙΓΜΗΣ;

Χρόνῳ· ἐν μὲν γὰρ τῇ στιγμῇ πολὺ τὸ διάστημα, ἐν δὲ τῇ ὑποστιγμῇ παντελῶς ὀλίγον.

6.

ΠΕΡΙ ΡΑΨΩΙΔΙΑΣ.

Ῥαψῳδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσιν. εἴρηται δὲ ῥαψῳδία, οἱονεὶ ῥαβδῳδία τις οὖσα, ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ περιερχομένους ᾄδειν τὰ τοῦ Ὁμήρου ποιήματα.

7.

ΠΕΡΙ ΣΤΟΙΧΕΙΟΥ.

Γράμματά ἐστιν εἴκοσι τέσσαρα ἀπὸ τοῦ ᾱ μέχρι τοῦ ῱. γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυσμοῖς τυποῦσθαι· γράψαι γὰρ τὸ ξύσαι παρὰ τοῖς παλαιοῖς, ὡς καὶ παρ' Ὁμήρῳ

νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως.

Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται διὰ τὸ ἔχειν στοῖχόν τινα καὶ τάξιν.

Τούτων φωνήεντα μέν εἰσιν ἑπτά, ᾱ, ᾰ, η̄, ῑ, ῠ, ῡ καὶ ω̄. φωνήεντα δὲ λέγεται, διότι φωνὴν ἀφ᾽ ἑαυτῶν ἀποτελεῖ, οἷον ᾱ, η̄. Τῶν δὲ φωνηέντων μακρὰ μέν εἰσι δύο, η̄ καὶ ω̄, βραχέα δὲ δύο, ᾰ καὶ ο̄. δίχρονα δὲ τρία, ᾱ, ῑ καὶ ῡ. δίχρονα δὲ λέγεται, ἐπειδὴ ἐκτείνεται καὶ συστέλλεται. Προτακτικὰ φωνήεντα πέντε, ᾱ, ᾰ, η̄, ο̄, ω̄. προτακτικὰ δὲ λέγεται, ὅτι προτασσόμενα τοῦ ῑ καὶ τοῦ ῡ συλλαβὴν ἀποτελεῖ, αι, αυ. ὑποτακτικὰ δὲ δύο, ῑ καὶ ῡ. τὰ ῡ δὲ ἐνίοτε προτακτικόν ἐστι τοῦ ῑ, ὡς ἐν τῷ μυῖα καὶ ἄρπυια, υἱός, καὶ τοῖς ὁμοίοις. Δίφθογγοι δέ εἰσιν ἕξ, αι, αυ, ει, ευ, οι, ου.

Σύμφωνα δὲ τὰ λοιπὰ ἑπτακαίδεκα, β̄, γ̄, δ̄, ζ̄, θ̄, κ̄, λ̄, μ̄, ν̄, ξ̄, π̄, ρ̄, σ̄, τ̄, φ̄, χ̄, ψ̄. σύμφωνα δὲ λέγεται, ὅτι αὐτὰ μὲν καθ᾽ ἑαυτὰ φωνὴν οὐκ ἔχει, συντασσόμενα δὲ μετὰ τῶν φωνηέντων φωνὴν ἀποτελεῖ. Τούτων ἡμίφωνα μὲν ὀκτώ, λ̄, ν̄, ρ̄, σ̄, ζ̄, ξ̄, ψ̄, η̄, μ̄. ἡμίφωνα δὲ λέγεται, ὅτι παρόσον ἧττον τῶν φωνηέντων εὔφωνα καθέστηκεν ἔν τε τοῖς μυγμοῖς καὶ σιγμοῖς. ἄφωνα δέ ἐστιν ἐννέα, β̄, γ̄, δ̄, θ̄, κ̄, π̄, τ̄, φ̄, χ̄· ἄφωνα δὲ λέγεται, ὅτι μᾶλλον τῶν ἄλλων ἐστὶ κακόφωνα, ὥσπερ ἄφωνον λέγομεν τραγῳδὸν τὸν κακόφωνον. Τούτων ψιλὰ μὲν τρία, κ̄, π̄, τ̄, δασέα δὲ τρία, θ̄, φ̄, χ̄, μέσα δὲ τούτων τρία, β̄, γ̄, δ̄· μέσα δὲ εἴρηται, ὅτι τῶν μὲν ψιλῶν ἐστὶ δασύτερα, τῶν δὲ δασέων ψιλότερα. καὶ ἔστι τὸ μὲν β̄ μέσον τοῦ π̄ καὶ τοῦ φ̄, τὸ δὲ γ̄ μέσον τοῦ κ̄ καὶ τοῦ χ̄, τὸ δὲ δ̄ μέσον τοῦ τ̄ καὶ τοῦ θ̄. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν φ̄ τῷ π̄, οὕτως·

ἀλλά μοι εἴφ᾽ ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα·

τὸ δὲ χ̄ τῷ κ̄·

αὐτίχ᾽ ὁ μὲν χλαῖναν τε χιτῶνά τε ἕννυτ᾽ Ὀδυσσεύς·

τὸ δὲ θ̄ τῷ τ̄·

ὡς ἔφαθ' · οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.

Ἔτι δὲ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρία, ξ̄, ξ̆, ψ̄. διπλᾶ δὲ εἴρηται, ὅτι ἓν ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειται, τὸ μὲν ξ̄ ἐκ τοῦ σ̄ καὶ δ̄, τὸ δὲ ξ̆ ἐκ τοῦ κ̆ καὶ σ̄, τὸ δὲ ψ̄ ἐκ τοῦ π̄ καὶ σ̄. Ἀμετάβολα δὲ τέσσαρα, λ̄, μ̄, ν̄, ρ̄. ἀμετάβολα δὲ εἴρηται, ὅτι οὐ μεταβάλλεται οὔτε ἐν τοῖς μέλλουσι τῶν ῥημάτων οὔτε ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων. τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται. Τελικὰ ἀρσενικῶν ὀνομάτων ἀνεπεκτάτων κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν στοιχεῖά ἐστι πέντε, ν̄, ξ̄, ρ̄, σ̄, ψ̄, οἷον Δίων, Φοῖνιξ, Νέστωρ, Πάρις, Πέλοψ· θηλυκῶν δὲ ὀκτώ, ᾱ, η̄, ω̄, ν̄, ξ̄, ρ̄, σ̄, ψ̄, οἷον Μοῦσα, Ἑλένη, Κλειώ, χελιδών, ἕλιξ, μήτηρ, Θέτις, λαῖλαψ· οὐδετέρων δὲ ἕξ, ᾱ, ῑ, ν̄, ρ̄, σ̄, ῡ, οἷον ἅρμα, μέλι, δένδρον, ὕδωρ, δέπας, δόρυ· τινὲς δὲ προστιθέασι καὶ τὸ ο̄, οἷον ἐκεῖνο, τοῦτο, ἄλλο. δυϊκῶν δὲ τρία, ᾱ, ε̄, ω̄, οἷον Ἀτρείδα, Ἕκτορε, φίλω. πληθυντικῶν τέσσαρα, ῑ, ς̄, ᾱ, η̄, οἷον φίλοι, Ἕκτορες, βιβλία, βέλη.

8.

ΠΕΡΙ ΣΥΛΛΑΒΗΣ.

Συλλαβὴ δέ ἐστι κυρίως σύλληψις συμφώνου μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον Κάρ, βοῦς· καταχρηστικῶς δὲ καὶ ἡ ἐξ ἑνὸς φωνήεντος, οἷον ᾱ, ἡ.

9.

ΠΕΡΙ ΜΑΚΡΑΣ ΣΥΛΛΑΒΗΣ.

Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους ὀκτώ, φύσει μὲν τρεῖς, θέσει δὲ πέντε. καὶ φύσει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται, οἷον ἥρως, ἢ ὅταν ἔχῃ ἔν τι τῶν διχρόνων κατ' ἔκτασιν παραλαμβανόμενον, οἷον Ἄρης, ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον

Ἅλς. θέσει δὲ ἤτοι ὅταν εἰς δύο σύμφωνα λήγῃ, οἷον ἅλς· ἢ ὅταν βραχεῖ η βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, οἷον ἄγρος· η ὅταν εἰς ἁπλοῦν σύμφωνον λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, οἷον ἔργον· ἢ ὅταν διπλοῦν σύμφωνον ἐπιφέρηται, οἷον ἕξω· ἢ ὅταν εἰς διπλοῦν σύμφωνον λήγῃ, οἷον ἅπαξ.

10.

ΠΕΡΙ ΒΡΑΧΕΙΑΣ ΣΥΛΛΑΒΗΣ.

Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο, ἤτοι ὅταν ἔχῃ ἕν τι τῶν φύσει βραχέων, οἷον βρέφος, ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ συστολὴν παραλαμβανόμενον, οἷον Ἄρης.

11.

ΠΕΡΙ ΚΟΙΝΗΣ ΣΥΛΛΑΒΗΣ.

Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς, ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον

οὔ τί μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσιν·

ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, ὧν τὸ μὲν δεύτερον ἀμεταβόλον, τὸ δὲ ἡγούμενον καθ' ἓν ἄφωνόν ἐστιν, οἷον

Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ·

ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.

12.

ΠΕΡΙ ΛΕΞΕΩΣ.

Λέξις ἐστὶ μέρος τοῦ κατὰ σύνταξιν λόγου ἐλάχιστον.

13.

ΠΕΡΙ ΛΟΓΟΥ.

Λόγος δέ ἐστι πεζῆς τε καὶ ἐμμέτρου λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσα. Τοῦ δὲ λόγου μέρη ὀκτώ, ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίῤῥημα καὶ σύνδεσμος. ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται.

14.

ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

Ὄνομά ἐστι μέρος λόγου πτωτικόν, σῶμα ἢ πρᾶγμα σημαῖνον, σῶμα μὲν οἷον λίθος, πρᾶγμα δὲ οἷον παιδεία, κοινῶς τε καὶ ἰδίως λεγόμενον, κοινῶς μὲν οἷον ἄνθρωπος, ἵππος, ἰδίως δὲ οἷον Σωκράτης, Πλάτων. Παρέπεται δὲ τῷ ὀνόματι πέντε, γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις.

Γένη μὲν οὖν εἰσὶ τρία, ἀρσενικόν, θηλυκὸν καὶ οὐδέτερον. ἔνιοι δὲ προστιθέασι τούτοις καὶ ἕτερα δύο, κοινόν τε καὶ ἐπίκοινον, κοινὸν μὲν οἷον ἄνθρωπος, ἵππος, ἐπίκοινον δὲ οἷον χελιδών, ἀετός.

Εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον. πρωτότυπον μὲν οὖν ἐστὶ τὸ κατὰ τὴν πρώτην θέσιν λεχθέν, οἷον γῆ, παράγωγον δὲ τὸ ἀφ' ἑτέρου τὴν γένεσιν ἐσχηκός, οἷον γαιήϊος. Εἴδη δὲ παραγώγων εἰσὶν ἑπτά, πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑποκοριστικόν, παρώνυμον, ὑπερθετικὸν καὶ ῥηματικόν. Πατρωνυμικὸν μὲν οὖν ἐστὶ κυρίως τὸ ἀπὸ πατρὸς ἐσχηματισμένον, καταχρηστικῶς δὲ καὶ ἀπὸ προγόνων, οἷον Πηλείδης ὁ Ἀχιλλεὺς καὶ Αἰακίδης. τύποι δὲ πατρωνυμικῶν ἀρσενικῶν μὲν τρεῖς, ὁ εἰς δης, ὁ εἰς ων, ὁ εἰς αδιος, οἷον Ἀτρείδης, Ἀτρείων, καὶ ὁ τῶν Αἰολέων ἴδιος τύπος Ἀῤῥάδιος· Ἄῤῥα γὰρ παῖς ὁ Πιττακός. θηλυκῶν δὲ ὁμοίως τύποι εἰσὶ τρεῖς, ὁ εἰς ις, οἷον Πριαμίς, ὁ εἰς ας, οἷον

Πελιάς, καὶ ὁ εἰς η, οἷον Ἀδρηστίνη. ἀπὸ δὲ μητέρων οὐ σχηματίζει πατρωνυμικὸν εἶδος ὁ Ὅμηρος, ἀλλ' οἱ νεώτεροι. Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, ἐμπεριειλημμένου τοῦ κτήτορος, οἷον Νηλήϊαι ἵπποι, Ἑκτόρεος χιτών, Πλατωνικὸν βιβλίον. Συγκριτικὸν δέ ἐστι τὸ τὴν σύγκρισιν ἔχον ἑνὸς πρὸς ἕνα ὁμοιογενῆ, οἷον Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντος, ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖς, ὡς Ἀχιλλεὺς ἀνδρειότερος τῶν Τρώων. τῶν δὲ συγκριτικῶν τύποι εἰσὶ τρεῖς, ὁ εἰς τερος, οἷον ὀξύτερος, βραδύτερος, καὶ ὁ εἰς ων καθαρόν, οἷον βέλτιων, καλλίων, καὶ ὁ εἰς σων, οἷον κρείσσων, ἥσσων. Ὑπερθετικὸν δέ ἐστι τὸ κατ' ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσει. τύποι δὲ αὐτοῦ εἰσὶ δύο, ὁ εἰς τατος, οἷον ὀξύτατος, βραδύτατος. καὶ ὁ εἰς στος, οἷον μέγιστος, ἄριστος. Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου δηλοῦν ἀσυγκρίτως, οἷον ἀνθρωπίσκος, λίθαξ, μειρακύλλιον. Παρώνυμον δέ ἐστι τὸ παρ' ὄνομα ἢ ὡς ἐξ ὀνόματος ποιηθέν, οἷον Θέων, Τρύφων. Ῥηματικὸν δέ ἐστι τὸ ἀπὸ ῥήματος παρηγμένον, οἷον Φιλήμων, Νοήμων.

Σχήματα δὲ ὀνομάτων εἰσὶ τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον, ἁπλοῦν μὲν οἷον Μέμνων, σύνθετον δὲ οἷον Ἀγαμέμνων, παρασύνθετον δὲ οἷον Ἀγαμεμνονίδης, Φιλιππίδης. Τῶν δὲ συνθέτων διαφοραί εἰσι τέσσαρες. ἃ μὲν γὰρ αὐτῶν εἰσὶν ἐκ δύο τελείων, ὡς χειρίσοφος, ἃ δὲ ἐκ δύο ἀπολειπόντων, ὡς Σοφοκλῆς, ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείου, ὡς Φιλόδημος, ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντος, ὡς Περικλῆς.

Ἀριθμοὶ δὲ τρεῖς, ἑνικός, δυϊκὸς καὶ πληθυντικός, ἑνικὸς μὲν οἷον Ὅμηρος, δυϊκὸς δὲ οἷον τὼ Ὁμήρω, πληθυντικὸς δὲ οἷον Ὅμηροι. εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρες καὶ κατὰ πολλῶν λεγόμενοι, οἷον δῆμος, χορός, καὶ

πληθυντικοὶ κατὰ ἑνικῶν τε καὶ δυϊκῶν, ἑνικῶν μὲν ὡς Ἀθῆναι, Θῆβαι, δυϊκῶν δὲ ὡς ἀμφότεροι.

Πτώσεις δέ εἰσιν ὀνομάτων πέντε, ὀρθή, γενική, δοτική, αἰτιατικὴ καὶ κλητική. Λέγεται δὲ ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖα, ἡ δὲ γενικὴ κτητικὴ καὶ πατρική, ἡ δὲ δοτικὴ ἐπισταλτική, ἡ δὲ αἰτιατικὴ κατ' αἰτίαν, ἡ δὲ κλητικὴ προσαγορευτική.

Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ αὐτὰ εἴδη προσαγορεύεται, κύριον, προσηγορικόν, ἐπίθετον, πρός τι ἔχον, ὡς πρός τι ἔχον, ὁμώνυμον, συνώνυμον, φερώνυμον, διώνυμον, ἐπώνυμον, ἐθνικόν, ἐρωτηματικόν, ἀόριστον, ἀναφορικόν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, περιληπτικόν, ἐπιμεριζόμενον, περιεκτικόν, πεποιημένον, γενικόν, εἰδικόν, τακτικόν, ἀριθμητικόν, μετουσιαστικόν, ἀπολελυμένον.

Κύριον μὲν οὖν ἐστὶ τὸ τὴν ἰδίαν οὐσίαν σημαῖνον, οἷον Ὅμηρος, Σωκράτης. Προσηγορικὸν δέ ἐστι τὸ κοινὴν οὐσίαν σημαῖνον, οἷον ἄνθρωπος, ἵππος. Ἐπίθετον δέ ἐστι τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν ὁμωνύμως τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον. λαμβάνεται δὲ τριχῶς, ἀπὸ ψυχῆς, ἀπὸ σώματος καὶ ἀπὸ τῶν ἐκτός, ἀπὸ μὲν ψυχῆς ὡς τὸ σώφρων, ἀκόλαστος, ἀπὸ δὲ σώματος ὡς τὸ ταχύς, βραδύς, ἀπὸ δὲ τῶν ἐκτὸς ὡς τὸ πλούσιος, πένης. Πρός τι δὲ ἔχον ἐστὶν ὡς πατήρ, υἱός, φίλος, δεξιός. Ὡς πρός τι δὲ ἔχον ἐστὶν ὡς νύξ, ἡμέρα, θάνατος, ζωή. Ὁμώνυμον δέ ἐστιν ὄνομα τὸ κατὰ πολλῶν ὁμωνύμως τιθέμενον, οἷον ἐπὶ μὲν κυρίων, ὡς Αἴας ὁ Τελαμώνιος καὶ Αἴας ὁ Οἰλέως, ἐπὶ δὲ προσηγορικῶν, ὡς μῦς θαλάσσιος καὶ μῦς γηγενής. Συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, οἷον ἄορ, ξίφος, μάχαιρα, σπάθη, φάσγανον. Φερώνυμον δέ ἐστι τὸ ἀπό τινος συμβεβηκότος τεθέν, ὡς Τισαμενὸς καὶ Μεγαπένθης. Διώνυμον δέ ἐστιν ὀνόματα δύο καθ' ἑνὸς

κυρίου

κυρίου τεταγμένα, οἷον Ἀλέξανδρος ὁ καὶ Πάρις, οὐκ ἀναστρέφοντος τοῦ λόγου· οὐ γὰρ εἴ τις Ἀλέξανδρος, οὗτος καὶ Πάρις. Ἐπώνυμον δέ ἐστιν, ὃ καὶ διώνυμον καλεῖται, τὸ μεθ' ἑτέρου κυρίου καθ' ἑνὸς λεγόμενον, ὡς ἐνοσίχθων ὁ Ποσειδῶν καὶ Φοῖβος ὁ Ἀπόλλων. Ἐθνικὸν δέ ἐστι τὸ ἔθνους δηλωτικόν, ὡς Φρύξ, Γαλάτης. Ἐρωτηματικὸν δέ ἐστιν, ὃ καὶ πευστικὸν καλεῖται, τὸ κατ' ἐρώτησιν λεγόμενον, οἷον τίς, ποῖος, πόσος, πηλίκος. Ἀόριστον δέ ἐστι τὸ τῷ ἐρωτηματικῷ ἐναντίως τιθέμενον, οἷον ὅστις, ὁποῖος, ὁπόσος, ὁπηλίκος. Ἀναφορικὸν δέ ἐστιν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, τὸ ὁμοίωσιν σημαῖνον, οἷον τοσοῦτος, τηλικοῦτος, τοιοῦτος. Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος σημαῖνον, οἷον δῆμος, χορός, ὄχλος. Ἐπιμεριζόμενον δέ ἐστι τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφοράν, οἷον ἕτερος, ἑκάτερος, ἕκαστος. Περιεκτικὸν δέ ἐστι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τὸ περιεχόμενον, οἷον δαφνών, παρθενών. Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένον, οἷον φλοῖσβος, ῥοῖζος, ὀρυμαγδός. Γενικὸν δέ ἐστι τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆναι, οἷον ζῶον, φυτόν. Εἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέν, οἷον βοῦς, ἵππος, ἄμπελος, ἐλαία. Τακτικὸν δέ ἐστι τὸ τάξιν δηλοῦν, οἷον πρῶτος, δεύτερος, τρίτος. Ἀριθμητικὸν δέ ἐστι τὸ ἀριθμὸν σημαῖνον, οἷον εἷς, δύο, τρεῖς. Μετουσιαστικὸν δέ ἐστι τὸ μετέχον οὐσίας τινός, οἷον χρύσειος, ἀργύρειος. Ἀπολελυμένον δέ ἐστιν ὃ καθ' ἑαυτὸ νοεῖται, οἷον θεός, λόγος.

Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο, ἐνέργεια καὶ πάθος, ἐνέργεια μὲν ὡς κριτής ὁ κρίνων, πάθος δὲ ὡς κριτός ὁ κρινόμενος.

15.

ΠΕΡΙ ΡΗΜΑΤΟΣ.

Ῥῆμά ἐστι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστῶσα. Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, χρόνοι, πρόσωπα, συζυγίαι. καὶ ἐγκλίσεις μέν εἰσι πέντε, ὁριστική, προστακτική, εὐκτική, ὑποτακτικὴ καὶ ἀπαρέμφατος. διαθέσεις δέ εἰσι τρεῖς, ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μὲν οἷον τύπτω, πάθος δὲ οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργειαν ποτὲ δὲ πάθος παριστῶσα, οἷον πέποιθα, διέφθορα, ἔποιησάμην, ἐγραψάμην. εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον, πρωτότυπον μὲν οἷον ἄρδω, παράγωγον δὲ οἷον ἀρδεύω. σχήματα δὲ τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μὲν οἷον φρονῶ, σύνθετον δὲ οἷον καταφρονῶ, παρασύνθετον δὲ οἷον ἀντιγονίζω, φιλιππίζω. ἀριθμοὶ δὲ τρεῖς, ἑνικός, δυϊκὸς καὶ πληθυντικός· ἑνικὸς μὲν οἷον τύπτω, δυϊκὸς δὲ οἷον τύπτετον, πληθυντικὸς δὲ οἷον τύπτομεν. πρόσωπα δὲ τρία, πρῶτον, δεύτερον, τρίτον· πρῶτον οἷον τύπτω, δεύτερον οἷον τύπτεις, τρίτον οἷον τύπτει· πρῶτον μὲν ἀφ᾽ οὗ ὁ λόγος, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος, τρίτον δὲ περὶ οὗ ὁ λόγος. χρόνοι δὲ τρεῖς, ἐνεστώς, παρεληλυθώς, μέλλων. τούτων ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας, παρατατικόν, παρακείμενον, ὑπερσυντελικόν, ἀόριστον, ὧν συγγένειαί εἰσι τρεῖς, ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντελικόν, ἀορίστου πρὸς μέλλοντα.

16.

ΠΕΡΙ ΣΥΖΥΓΙΑΣ.

Συζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσις. Εἰσὶ δὲ συζυγίαι βαρυτόνων μὲν ῥημάτων ἓξ, ὧν ἡ μὲν πρώτη ἐκφέρεται διὰ τοῦ β ἢ φ ἢ π ἢ πτ, οἷον λείβω, γράφω, τέρπω, κόπτω· ἡ δὲ δευτέρα διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κτ,

οἷον λέγω, πλέκω, τρέχω, τίκτω· ἡ δὲ τρίτη διὰ τοῦ δ̄ ἢ θ̄ ἢ τ̄, οἷον ᾄδω, πλήθω, ἀνύτω· ἡ δὲ τετάρτη διὰ τοῦ ζ̄ ἢ τῶν δύο σσ̄, οἷον φράζω, νύσσω, ὀρύσσω· ἡ δὲ πέμπτη διὰ τῶν τεσσάρων ἀμεταβόλων, λ̄, μ̄, ν̄, ρ̄, οἷον πάλλω, νέμω, κρίνω, σπείρω· ἡ δὲ ἕκτη διὰ καθαροῦ τοῦ ω̄, οἷον ἱππεύω, πλέω, βασιλεύω, ἀκούω. Τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν εἰσάγουσι διὰ τοῦ ξ̄ καὶ ψ̄, οἷον ἔλεξω καὶ ἔψω. 5

17.

ΠΕΡΙ ΤΩΝ ΠΕΡΙΣΠΩΜΕΝΩΝ. 10

Περισπωμένων δὲ ῥημάτων συζυγίαι τρεῖς, ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς εῑ διφθόγγου, οἷον νοῶ νοεῖς νοεῖ· ἡ δὲ δευτέρα διὰ τῆς ᾱ διφθόγγου, προσγραφομένου μὲν τοῦ ῑ, οὐ συνεκφωνουμένου δέ, οἷον βοῶ βοᾷς βοᾷ· ἡ δὲ τρίτη διὰ τῆς οῑ διφθόγγου, οἷον χρυσῶ χρυσοῖς χρυσοῖ. 15

18.

ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΜΙ.

Τῶν δὲ εἰς μῑ ληγόντων ῥημάτων συζυγίαι εἰσὶ τέσσαρες, ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἀπὸ τῆς πρώτης τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ τιθῶ γέγονε τίθημι· ἡ δὲ δευτέρα ἀπὸ τῆς δευτέρας, ὡς ἀπὸ τοῦ ἱστῶ γέγονεν ἵστημι· ἡ δὲ τρίτη ἀπὸ τῆς τρίτης, ὡς ἀπὸ τοῦ διδῶ γέγονε δίδωμι· ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, ὡς ἀπὸ τοῦ πηγνύω γέγονε πήγνυμι. 20 25

19.

ΠΕΡΙ ΜΕΤΟΧΗΣ.

Μετοχή ἐστι λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος. Παρέπεται δὲ αὐτῇ ταῦτα ἃ καὶ τῷ ῥήματι καὶ τῷ ὀνόματι, δίχα προσώπων τε καὶ ἐγκλίσεων. 30

20.

ΠΕΡΙ ΑΡΘΡΟΥ.

Ἄρθρον ἐστὶ μέρος λόγου πτωτικόν, προτασσόμενον καὶ ὑποτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων. καὶ ὑποτασσόμενον μὲν τὸ ὅς, προτασσόμενον δὲ τὸ ὁ. Παρέπεται δὲ αὐτῷ τρία, γένη, ἀριθμοί, πτώσεις. γένη μὲν οὖν εἰσὶ τρία, ὁ ποιητής, ἡ ποίησις, τὸ ποίημα. ἀριθμοὶ δὲ τρεῖς, ἑνικός, δυϊκὸς καὶ πληθυντικός· ἑνικὸς μὲν οἷον τὸ ὁ - ἡ - τό, δυϊκὸς δὲ τώ - τά, πληθυντικὸς δὲ οἱ - αἱ - τά. πτώσεις δὲ ὁ - τοῦ - τῷ - τόν - ὦ, ἡ - τῆς - τῇ - τὴν - ὦ, τό - τοῦ - τῷ - τό - ὦ.

21.

ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΑΣ.

Ἀντωνυμία δέ ἐστι λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη, προσώπων ὡρισμένων δηλωτική. Παρέπεται δὲ αὐτῇ ἕξ, πρόσωπα, γένη, ἀριθμοί, πτώσεις, σχήματα καὶ εἴδη.

22.

ΠΕΡΙ ΠΡΩΤΟΤΥΠΩΝ.

Πρόσωπα πρωτοτύπων μὲν ἐγώ - σύ - ἴ, παραγώγων δὲ ἐμός - σός - ός. Γένη πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται, διὰ δὲ τῆς ἀπ' αὐτῶν δείξεως, οἷον ἐγώ· τῶν δὲ παραγώγων ὁ ἐμός - ἡ ἐμή - τὸ ἐμόν. Ἀριθμοὶ δὲ πρωτοτύπων ἑνικὸς μὲν ἐγώ - σύ - ἴ, δυϊκὸς δὲ νῶϊ - σφῶϊ, πληθυντικὸς δὲ ἡμεῖς - ὑμεῖς - σφεῖς· παραγώγων δὲ ἑνικὸς ἐμός - σός - ός, δυϊκὸς ἐμώ - σώ - ώ, πληθυντικὸς ἐμοί - σοί - οί. Πτώσεις δὲ πρωτοτύπων μὲν ὀρθῆς ἐγώ - σύ - ἴ, γενικῆς δὲ ἐμοῦ - σοῦ - οὗ, δοτικῆς δὲ ἐμοί - σοί - οἱ, αἰτιατικῆς δὲ ἐμέ - σέ - ἑ, κλητικῆς δὲ σύ· παραγώγων δὲ ἐμός - σός - ός, ἐμοῦ - σοῦ - οὗ, ἐμῷ - σῷ - ῷ, ἐμόν - σόν - ὸν. Σχήματα δὲ δύο, ἁπλοῦν, σύν-

θετον· ἁπλοῦν μὲν ἐμοῦ - σοῦ - οὗ, σύνθετον δὲ ἐμαυτοῦ - σαυτοῦ - ἑαυτοῦ. Εἴδη δὲ δύο, ὅτι αἱ μέν εἰσι πρωτότυποι, ὡς ἐγώ - σύ - ἵ, αἱ δὲ παράγωγοι, ὡς πᾶσαι αἱ κτητικαί, αἳ καὶ διπρόσωποι καλοῦνται. παράγονται δὲ οὕτως, ἀπὸ μὲν ἑνικῶν αἱ ἕνα κτήτορα δηλοῦσαι, ὡς ἀπὸ τοῦ ἐμοῦ ὁ ἐμός· ἀπὸ δὲ δυϊκῶν αἱ δύο, ὡς ἀπὸ τοῦ νῶϊ νῶϊτερος· ἀπὸ δὲ πληθυντικῶν αἱ πολλούς, ὡς ἀπὸ τοῦ ἡμεῖς ἡμέτερος. Τῶν δὲ ἀντωνυμιῶν αἱ μέν εἰσιν ἀσύναρθροι, αἱ δὲ σύναρθροι· ἀσύναρθροι μὲν οἷον ἐγώ, σύναρθροι δὲ οἷον ὁ ἐμός.

23.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΝ.

Πρόθεσίς ἐστι λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε συνθέσει καὶ συντάξει. εἰσὶ δὲ αἱ πᾶσαι προθέσεις ὀκτὼ καὶ ἓκα, ὧν μονοσύλλαβοι μὲν ἐξ, ἐν, εἰς, ἐξ, πρό, πρός, σύν, αἵ τινες οὐκ ἀναστρέφονται, δισύλλαβοι δὲ δύο καὶ δέκα, ἀνά, κατά, διά, μετά, παρά, ἀντί, ἐπί, περί, ἀμφί, ἀπό, ὑπό, ὑπέρ.

24.

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΟΣ.

Ἐπίρρημά ἐστι μέρος λόγου ἄκλιτον, κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι. Τῶν δὲ ἐπιρρημάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ σύνθετα· ἁπλᾶ μὲν οἷον πάλαι, σύνθετα δὲ οἷον προπαλαι. τὰ δὲ χρόνου δηλωτικά, οἷον νῦν, τότε, αὖθις· τούτοις δὲ ὡς εἴδη ὑποτακτέον τὰ καιροῦ παραστατικά, οἷον σήμερον, αὔριον, τότε, τέως, πρίν. τὰ δὲ μεσότητος, οἷον καίτοι, σχεδόν, ἐνίοτε. τὰ δὲ ποιότητος, οἷον πῦξ, λάξ, ἐπιτροχάδην, ἀγχιστίνδην. τὰ δὲ ποσότητος, οἷον πολλάκις, ὀλιγάκις, ἰκριάκις. τὰ δὲ ἀριθμοῦ δηλωτικά, οἷον εἷς, τρεῖς, τετράκις. τὰ δὲ τοπικά, οἷον ἔνθα, πάνυ. ἃ σχέσεις εἰσὶ τρεῖς, ἢ ἐν τόπῳ, ἢ εἰς

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ

ΔΙΟΝΥΣΙΟΥ

ΓΡΑΜΜΑΤΙΚΗΝ.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΤΕΧΝΗΣ ΔΙΟΝΥΣΙΟΥ

ΑΠΟ ΤΩΝ ΔΙΑ ΠΑΑΤΟΥΣ.

Οἱ περὶ τέχνης ἐθέλοντες διαλαβεῖν τὸ χρήσιμον τοῦ σκοποῦ προδείκνυουσι· τέχνης γὰρ οὐδέν ἐστι χρησιμώτερον, καὶ τοῦτό ἐστιν αὐτόθεν δῆλον. καὶ γὰρ πενίας ἡμᾶς ἀπαλλάττει καὶ τῶν ἐκ ταύτης γενομένων ἀπορίων, καὶ διαφέροντα τὸν βίον τῶν ἀνθρώπων ἀπεργάζεται πρὸς τὴν τῶν ἀλόγων ζώων ἀνεπιτήδευτον διαγωγήν, καὶ λεπτύνει τὸν νοῦν, καὶ τὰς περὶ βιοτὴς φροντίδας ῥυθμίζει. τούτων μάρτυς τῶν λεχθέντων Ἵππαρχος ὁ κωμικός, διά τινος τῶν αὐτοῦ κωμῳδιῶν λέγων

πολλῷ γάρ ἐστι κτῆμα τιμιώτατον
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.

Ἐπεὶ οὖν ταῦτα εἰρήκαμεν περὶ τῆς τέχνης, ἀναγκαῖον εἰπεῖν τὸν ὅρον αὐτῆς, πρῶτον μαθόντας τί ἐστιν ὅρος, καὶ πόθεν λαμβάνεται ὅρος, καὶ τί ἴδιον ὅρου. εἴπωμεν καὶ τίς ἐστιν ὅρος ὅρου καὶ τίς ὑγεία, καὶ πῶς λέγεται.

Ἀριστοτέλης οὖν οὕτως ὁρίζεται τὸν ὅρον· ὅρος ἐστὶν ὁ τὸ τί εἶναι δηλῶν. καὶ διὰ μὲν τοῦ εἰπεῖν τὸ τί ἐδήλωσε τὴν οὐσίαν· τὸ γὰρ τί οὐσίας ἐστὶ δηλωτικόν· διὰ δὲ τοῦ εἰπεῖν εἶναι καὶ προθέσθαι ῥήματι παρωχημένου χρόνου ἐδήλωσεν ὅτι προϋπάρχει τὸ ὁριστὸν τοῦ ὅρου. ὁ δὲ Χρύσιππος λέγει ὅτι ὅρος ἐστὶν ἡ τοῦ ἰδίου ἀπόδοσις, τουτέστιν ὁ τὸ ἴδιον ἀποδιδούς. ὁ δὲ Ἀντίπατρος ὁ Στωϊκὸς λέγει· ὅρος ἐστὶ λόγος κατ᾽ ἀνάγκην ἐκφερόμενος, τουτέστι κατ᾽ ἀντιστροφήν· καὶ γὰρ ὁ ὅρος ἀντιστρέφειν θέλει. Ἄλλοι δὲ λέγουσιν, ὅτι ὅρος ἐστὶ λόγος [ἐκ] τῶν καθόλου καὶ κοινῶν ἰδίαν διάνοιαν ἀποτελῶν. ὁριζόμενοι γὰρ τὸν ἄνθρωπον, λέγομεν ὅτι ἄνθρωπός ἐστι ζῶον λογικόν,

στημα δὲ οἱονεὶ συνάθροισμα· οὕτω γὰρ εἰώθαμεν λέγειν σύστημα στρατιωτῶν, τουτέστι συνάθροισμα. οὐ γάρ ἐστι τέχνη μονοειδής, ἀλλ' ἐκ διαφόρων πολλῶν συνίστανται αἱ τέχναι. οὐ γὰρ ὁ μόνον ξέσαι εἰδὼς οὗτος τέκτων, ἀλλ' εἰ μὴ καὶ τρυπῆσαι καὶ κολλῆσαι καὶ ἁρμόσαι. ἐκ καταλήψεων δὲ οἱονεὶ ἐξ ἐφευρημάτων, ἐκ γνώσεων, ἐκ θεωρημάτων. ἐκ γὰρ θεωρημάτων ἡ ἰατρική. οὐ γὰρ ἀπ' ἀρχῆς ὡς εἰσὶ γεγόνασιν αἱ τέχναι, ἀλλὰ ἐκατελάβετο ὁ δεῖνα πρὸ πολλοῦ χρόνου τὸ τρυπᾶν καὶ ὁ δεῖνα τὸ ξέειν, καὶ παρέδωκε τοῖς καθ' ἑαυτόν, καὶ ὁ 1
δεῖνα τὸ πρίζειν· καὶ οὕτως ἐξ ἑνὸς εἰς ἕνα συμπεραιούμεναι αἱ τέχναι τὸ τέλειον κατειλήφασι. καὶ ἡ ἰατρικὴ δὲ οὐκ ἐξ ἑνὸς ἢ δευτέρου θεωρήματος μόνου, ἀλλὰ καὶ ἐκ πλειόνων συνέστη. οἱ δὲ συστησάμενοι ταύτην οὐκ ἀμογητὶ συνεστήσαντο, οὐδὲ ἐφάπαξ, ἀλλὰ 1
πολλῶν ἀνδρῶν πολλὴν συνεισενεγκαμένων σπουδήν, καὶ πολλοὺς πόνους ὑποστάντων, τοῦ μὲν τόδε τὸ θεώρημα εὑρηκότος καὶ πολλάκις πειράσαντος καὶ μήπω ἀξιώσαντος αὐτὸ τῇ τέχνῃ προσάψαι, ἄχρις ἂν ἀπὸ τῆς τῶν πραγμάτων ἐβεβαιώθη μαρτυρίας, καὶ ἑτέρου ὁμοίως 2
τινὰ εὑρηκότος θεωρήματα, καὶ ἄλλου ἄλλα, κἀνταῦθα ἐκ τῶν κατὰ μέρος ἱδρῶτι πολλῷ ἀθροίσματος γενομένου καὶ τὴν τέχνην ἐργασαμένου. μή τις δὲ οἰέσθω ἄθροισμα μόνον πολλῶν θεωρημάτων τὴν ἰατρικὴν ὑπάρχειν, ἀλλὰ καὶ συνέχειαν φυλαττόντων πρὸς ἄλληλα καὶ τάξιν 2
τινὰ καὶ ἀκολουθίαν, καὶ εἰς ἓν ἅπαντα τέλος ὁρῶντα, τὴν ὑγείαν. οὐκοῦν εἰκότως λέξομεν αὐτὴν ἐκ θεωρημάτων συνίστασθαι συγγεγυμνασμένων πρός τι τέλος· ἓν γὰρ τέλος αὐτῆς ὑγεία. ἀλλὰ καὶ εὔχρηστον τὸ τέλος τοσοῦτον, ὡς μήτε τὰς ἄλλας δύνασθαι τὸ οἰκεῖον 3
τέλος τούτου χωρὶς ἐπιδείξασθαι. τῶν ἐν τῷ βίῳ ἐγγεγυμνασμένων οἱονεὶ δεδοκιμασμένων. ἕως γὰρ νῦν δοκιμάζονται, καὶ λεπτότεραι ἑαυτῶν καὶ ἀκριβέστεραι αἱ

τέχναι προέρχονται. ἐγγεγυμνασμένων οὖν ἀντὶ τοῦ ἐξηκριβολογημένων. εἴληπται δὲ ἡ λέξις ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν· οὗτοι γὰρ γυμνώσαντες ἑαυτοὺς εἰς τὸν κατ' ἀλλήλων ἀγῶνα χωροῦσιν, ὅς ἐστι βάσανος ἀρετῆς. ἢ ἐγγεγυμνασμένων τουτέστι μεμελετημένων· οὐδὲ γὰρ ἀνιδρωτὶ συνέστησαν αἱ τέχναι. Ἀθήναιος δὲ τὴν ἐναντιότητα παρέλαβεν. οὗτος δὲ καὶ τὸ καταλήψεων ἀντὶ τοῦ θεωρημάτων ἐκλαμβάνει. θεώρημα δὲ εἴρηται ἀπὸ τοῦ ἐκ θεοῦ τὴν ὥραν ἔχειν· ὥρα δέ ἐστιν ἡ φροντίς. πρός τι τέλος εὔχρηστον, ἐπειδὴ πᾶσα τέχνη ὀνομάζεται ἐκ τοῦ τέλος ἔχειν βιωφελὲς καὶ χρήσιμον. καὶ γὰρ ἡ γεωργικὴ τὰ ἀπὸ τῆς γῆς ἀγαθὰ πορίζει, καὶ αἱ λοιπαὶ πᾶσαι, οἷον χαλκευτικὴ καὶ τεκτονικὴ καὶ ἑξῆς, τὰ πρὸς ἀσφάλειαν ἐπινοοῦνται. ὡς ἥ γε τέχνη ἡ μὴ ἔχουσά τι τέλος χρειῶδες καὶ ὠφέλιμον οὐ τέχνη ἀλλὰ κακοτεχνία ὀνομάζεται. κυβευτικὴ γοῦν, καίτοι λεπτομερὴς οὖσα καὶ ἀκριβής, οὐκ ἂν λεχθείη τέχνη, ὅτι πολλοὺς τῶν ἰδίων ἐστέρησε, καὶ τὸ τέλος ἐπιβλαβὲς τοῖς κεκτημένοις ἔχει. καὶ ἡ γοητευτική, καθὸ τὸ τέλος οὐκ εὔχρηστον ἔχει, καὶ αὐτὴ κακοτεχνία ὀνομάζεται. Ἰστέον δὲ ὅτι, ὥσπερ τῆς ἰατρικῆς τέλος ἐστὶν ἡ ὑγεία καὶ τῆς ῥητορικῆς τὸ πείθειν, τὸν αὐτὸν τρόπον καὶ τῆς γραμματικῆς τὸ τέλος ὁ ἑλληνισμός.

Ἑπτὰ δέ τινα τῇ καθόλου τέχνῃ παράκειται, τεχνοειδές, ἡμιτέχνιον, μικροτεχνία, ψευδοτεχνία, κακοτεχνία, ματαιοτεχνία, ἀτεχνία. Καὶ τεχνοειδὲς μέν ἐστιν ἀλόγου ζώου δύναμις φυσικὴ μιμουμένη τέχνην, ὡς ἡ τῶν μελισσῶν πλαστικὴ καὶ τῶν χελιδόνων οἰκοδομή. Ἡμιτέχνιον δέ ἐστιν ἡ ἐξ ὀλίγων θεωρημάτων συνεστηκυῖα τέχνη, ὡς ἡ ξυστικὴ καὶ ἡ ἀπονυχιστική. Μικροτεχνία ἐστὶν ἧς τὸ ἀποτέλεσμα βραχύτατόν ἐστιν, ὡς Ἐπιμιρκίδου τοῦ Ἀθηναίου καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου· οὗτοι γὰρ ἐποίησαν σιδηροῦν ἅρμα ὑπὸ μυίας ἑλ-

πόμενον καὶ τῷ πτερῷ τῆς μυίας καλυπτόμενον. Ψευδοτεχνία δέ ἐστι βραχεῖα τέχνη, μείζονος ὑποδυομένη τέχνης ἔργον, ὥσπερ οἱ φαρμακοπῶλαι ἤγουν οἱ μυρεψοί· οὗτοι γὰρ λέγουσιν ἑαυτοὺς ἰατρούς. Κακοτεχνία δ' ἐστὶν ἕξις εὑρημένη ἐπὶ κακῷ τῷ βίῳ, ὥσπερ ἡ τῶν δηλητηρίων καὶ ἡ τῶν τυμβωρύχων. Ματαιοτεχνία δὲ ἡ σχοινοβατική — ἤγουν ὁ ἐν τῇ σχοίνῳ περίπατος — καὶ ὥσπερ ὁ κοντοπαίκτης. Ἀτεχνία δέ ἐστιν ἁμάρτημα τῷ τεχνίτῃ γενόμενον.

Φασὶ δὲ τῶν τεχνῶν διαφορὰς τέσσαρας εἶναι. λέγουσι γὰρ ὅτι τῶν τεχνῶν αἱ μέν εἰσι ποιητικαί, αἱ δὲ θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ μικταί. Καὶ ποιητικὴ μέν ἐστιν ἡ ὕλην τινὰ λαβοῦσα κατασκευάζει ἐντέχνως, ὥσπερ ἡ χαλκευτικὴ καὶ ἡ σκυτοτομικὴ καὶ ἡ τεκτονική. Πρακτικὴ δέ ἐστιν ἡ δι' ὀργάνων καταπραττομένη τινά, ὥσπερ ἡ στρατιωτική, ἤ τις μηχαναῖς τε καὶ ὀργάνοις τοὺς ἐναντίους καταγωνίζεται. Θεωρητικὴ δέ ἐστιν ἡ τὰ πράγματα θεωροῦσα διὰ λιτῆς θεωρίας, ὥσπερ ἡ ἀστρονομία καὶ ἡ φιλοσοφία. ἰστέον δὲ ὅτι θεωρία ἐστίν, ἡνίκα τις θεωρεῖ μόνον καὶ οὐδὲν λέγει, ὡς ὅταν ὁ ἀστρονόμος θεωρῇ μόνον τὰ ἄστρα. Μικτὴ δέ ἐστιν ἡ ἐκ τούτων τῶν προειρημένων συγκειμένη, ὡς ἡ ἰατρική· τὸ μὲν γὰρ αὐτῆς περὶ τοὺς λόγους ἐστὶ καταγινόμενον ἐν θεωρίᾳ καὶ . . . , τὸ δὲ χειρουργικόν ἐστι καὶ πρακτικόν. . . . . καὶ γὰρ τὸ μὲν διορθωτικὸν καὶ ἡ ὀρθογραφία τοῦ ποιητικοῦ εἰσίν, ἡ δὲ θεωρία τῶν μερῶν τοῦ λόγου τοῦ θεωρητικοῦ εἰσί.

Λούκιος δὲ ὁ Ταρραῖος λέγει ὅτι τῆς τέχνης εἴδη τέσσαρα, ἀποτελεσματικόν, πρακτικόν, ὀργανικόν, θεωρηματικόν. Καὶ ἀποτελεσματικαὶ μέν εἰσι τέχναι, ὅσαι εἰς συντέλειαν ᾖσαν καὶ τὸ συμφέρον ἀπαρτίζουσι καὶ συμπεραίνουσι πᾶν τὸ κατασκευαζόμενον τὸ ἐξ ἑνὸς ἢ καὶ πλειόνων, ἐξ ἑνὸς μέν, ὥσπερ ἡ τεκτονικὴ καὶ ἡ χαλκευτικὴ·

τική· καὶ γὰρ ἡ τεκτονικὴ ἐξ ἑνὸς μέρους κατασκευάζεται, ἐκ τῶν ξύλων, καὶ ἡ χαλκευτικὴ ἐξ ἑνός, τοῦ χαλκοῦ· ἐκ πλειόνων δέ, ὥςπερ ἡ οἰκοδομικὴ ἐκ πλειόνων κατασκευάζεται, ἐξ ἀσβέστου καὶ λίθων, καὶ ἡ ὑφαντικὴ ἐρίου καὶ διαφόρων ὑφασμάτων. αἱ δὲ τοιαῦται κριτὴν ἔχουσι τὸν χρόνον· ἐφ᾽ ὅσον γὰρ ἂν ὁ χρόνος διατηρῇ αὐτάς, ἐπὶ τοσοῦτον μένουσι. Πρακτικαὶ δέ εἰσιν αἵ τινες κατὰ πράξεως κίνησιν γίνονται. τούτων δὲ τάξεις εἰσὶ πέντε, αὐτοκίνητος, ἀντίπαλος, στοχαστική, μεθοδική, ὑπουργηματική. καὶ αὐτοκίνητος μέν ἐστιν ἡ ἐξ αὐτοῦ τοῦ ἀνθρώπου καθ᾽ ἑαυτὸν κινουμένου συνεστῶσα, ὥςπερ ἡ ὀρχηστική· ταῦτα ὁ ἄνθρωπος κινούμενος συνίστησιν. ἀντίπαλος δέ ἐστιν ἡ πρὸς ἕτερον ἀντιτεταγμένη, ἤτοι ἄνοπλον ἢ ἔνοπλον, ἄνοπλον μὲν οἷον παλαιστικὴ καὶ παγκρατιαστική, ἔνοπλον δὲ οἷον ὁπλομαχία καὶ πυκτική· καὶ γὰρ οἱ πύκται βύρσας ἐπιτιθέασι ταῖς χερσὶν αὐτῶν, καὶ οὕτω γυμνάζονται. στοχαστικὴ δέ ἐστιν ἡ κατὰ στοχασμὸν ὡρισμένον γινομένη, ὥςπερ ἡ ῥητορικὴ καὶ ἡ ἀκοντιστική. μεθοδική ἐστιν ἡ μεθόδῳ τινὶ πραττομένη, ὥςπερ ἡ κυνηγετικὴ καὶ ἡ ἁλιευτική· αὗται γὰρ διὰ μεθόδου τινὸς γίνονται. ὑπουργηματικὴ δέ ἐστιν ἡ μεθ᾽ ὑπουργίας ἑτέρων δρωμένη, ὥςπερ ἡ ἡνιοχευτικὴ καὶ ἡ κυβερνητική· αὗται γὰρ μεθ᾽ ὑπουργίας ἑτέρων γίνονται, καὶ ἡ μὲν ἡνιοχευτικὴ διὰ τῶν ἵππων καὶ τῶν χαλινῶν γίνεται, ἡ δὲ κυβερνητικὴ διὰ τοῦ πηδαλίου. πᾶσαι γὰρ αἱ πρακτικαὶ τέχναι κριτὴν ἔχουσι τὸν τῆς πράξεως καὶ ἐνεργείας μόνον καιρόν· καὶ γὰρ τῷ καιρῷ, ἐν ᾧ καὶ γίνονται, ἐν αὐτῷ καὶ εἰσίν. Ὀργανικαὶ δέ εἰσιν ὅσαι δι᾽ ὀργάνων συνεστήκασι. τούτων δὲ εἴδη τρία, ἐμπνευστικόν, ἁπτικὸν καὶ τὸ συναμφότερον. καὶ ἐμπνευστικὸν μὲν ὥςπερ ἡ συριστική· ἐμπνέουσι γὰρ ἐν τῇ σύριγγι καὶ ἐν τῇ σάλπιγγι, καὶ οὕτω συρίζουσι καὶ σαλπίζουσιν. ἁπτικὸν δέ ἐστιν ὥςπερ ἡ κιθαριστική·

ἐφ᾽ ἑνὸς καὶ δευτέρου δοκιμαζομένη, οἷον ὅταν λέγωμεν τὸν πλεύσαντα ἅπαξ ἢ δὶς πεῖραν εἰληφέναι τοῦ πλεῖν. Ἡ μὲν οὖν πεῖρα εἰς ἐμπειρίαν προκόπτει, ἡ δὲ ἐμπειρία εἰς τέχνην, ἡ δὲ τέχνη εἰς ἐπιστήμην, ἡ δὲ ἐπιστήμη εἰς τὴν καθόλου τέχνην. ἐπεὶ γὰρ τῶν τεχνῶν αἱ μέν εἰσι θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί, αἱ δὲ μικταί, θεωρητικὴ δέ ἐστιν ἡ καθόλου σοφία, δῆλον ὅτι ὑπὸ τὴν καθόλου τέχνην ἀνάγεται.

Ἰστέον δὲ ὅτι περὶ πᾶσαν τέχνην ὀκτώ τινα θεωρεῖ- 10
ται· εἰσὶ δὲ ταῦτα αἴτιον, ἀρχή, ἔννοια, ὕλη, μέρη, ἔρ-
γα, ὄργανα, τέλος. ἐπεὶ οὖν τέχνη ἐστὶν ἡ γραμματική,
δῆλον ὅτι καὶ αὕτη ταῦτα τὰ ὀκτὼ ἔχει θεωρούμενα
περὶ αὐτήν.

Αἴτιον οὖν ἐστὶ τῆς γραμματικῆς ἡ ἀσάφεια. καὶ 15
γὰρ οἱ ἄνθρωποι ἐντυγχάνοντες ποιήμασι καὶ πεζοῖς συγ-
γράμμασι, τὴν ἀρχαίαν καὶ ἀπεξεσμένην φωνὴν οὐκ
ἀποσώζοντες, ἐπεζήτησαν τέχνην τὴν σαφηνίσαι ταύτην
δυναμένην. καὶ πολὺ πλέον ἐπεζήτησαν τὴν γραμματικὴν
ἐν τοῖς ποιήμασι, γλώσσαις τε καὶ λέξεσι ξέναις χρω- 20
μένη καὶ παραποιοῦσα καὶ ἐξιστοροῦσα πολλὰ σχήματι,
συντάξεσιν, ἐννοήμασι. Τύχα δὲ οὐχ ἡ ἀσάφεια [αἰτία]
τῆς γραμματικῆς, ἀλλ᾽ ἡ σαφήνεια· ὥςπερ γὰρ οἱ νοσή-
σαντες κατ᾽ ἐπιζήτησιν ὑγείας εὗρον τὴν ἰατρικήν, οὕτω
καὶ οἱ περιπεσόντες γραφαῖς ἀσαφέσι σαφηνείας χάριν 25
τὴν γραμματικὴν ἐπενόησαν. ὥςτε δυνάμει ταὐτὸν εἶναι
καὶ τὸ τέλος καὶ τὸ αἴτιον τῆς γραμματικῆς. καὶ γὰρ
τὸ τέλος αὐτῆς ἐστὶ τὸ διὰ τοῦ ἑλληνισμοῦ τὰ ἀσαφῆ
σαφηνίσαι· ἀλλὰ καὶ αἴτιον αὐτῆς ἡ σαφήνεια. Παρά
τισι δὲ τὸ αὐτὸ καὶ ἀρχὴ λέγεται. Ἀριστοτέλης δὲ τὸ 30
αἴτιον λέγει τετραχῶς νοεῖσθαι, ὅθεν, ἐξ οὗ, δι᾽ ὅ, καθ᾽ ὅ.
καὶ ὅθεν μέν ἐστι τὸ ποιητικὸν αἴτιον, οἷον ὡς ὅταν
λέγωμεν αἴτιον εἶναι τὸν θεὸν τοῦ κόσμου· ὑπὸ τοῦ

θεοῦ γὰρ γέγονεν ὁ κόσμος. καὶ πάλιν ὅτε λέγομεν αἴτιον τοῦ ἀγάλματος τοῦ Διὸς τὸν Φειδίαν· ὑπὸ τούτου γὰρ γέγονεν. ἐξ οὗ ἐστὶ τὸ ὑλικόν, ὡς ὅταν λέγωμεν ὅτι ἐκ τοῦ ἐλέφαντος καὶ τοῦ χρυσοῦ ἐγένετο τὸ ἄγαλμα τοῦ Διός. καθ' ὃ δέ ἐστι τὸ εἰδικόν· κατὰ γὰρ τὸ εἶδος χαρακτηρίζονται τὰ πράγματα, οἷον ὡς ὅταν λέγωμεν ὅτι εἶδός τι ἐνενόησε περιθεῖναι τῇ ὕλῃ ὁ Φειδίας, καὶ οὕτως ἐποίησε τὸ ἄγαλμα τοῦ Διός. τὸ δὲ δι' ὃ τελικὸν αἴτιον, τουτέστι τὸ ἀποτέλεσμα καὶ δημιούργημα . οἷον . δία τουτ ἐστιν ἐφ' ᾧ σκοπὸν . . 5 10

Ἡ δὲ ἀρχὴ λέγεται μὲν καὶ ὁσαχῶς τὸ αἴτιον, λέγεται δὲ καὶ ἡ ἐκ τοῦ μέρους ἢ μόριον, καθό φαμεν χρόνου ἀρχὴν καὶ βιβλίου ἀρχήν. οὕτως οὖν καὶ τῆς γραμματικῆς ἀρχὴν νομίζουσι τὴν περὶ τὰς λέξεις θεωρίαν πρώτην γεγονέναι ταύτῃ. γεγενῆσθαί τινα περὶ τὴν τάξιν ἀσαφῆ καὶ τὰ περὶ τὴν διάνοιαν. τριῶν γὰρ ὄντων περὶ ἃ ἡ ἀσάφεια θεωρεῖται, λέξεως, συντάξεως, διανοίας, προῆλθεν ἡ περὶ τὰς λέξεις θεωρία εὐλόγως, ἐπειδὴ ἡ λέξις ἁπλῆ ἐστίν, ἡ δὲ σύνταξις σύνθετος· ἀπὸ γὰρ πλειόνων λέξεων σύγκειται. τὰ δὲ ἁπλᾶ προτερεύουσι τῶν συνθέτων. καὶ γὰρ τὸ σοφός, ἁπλοῦν ὑπάρχον, προτερεύει τοῦ φιλόσοφος, συνθέτου ὑπάρχοντος. ἡ δὲ σύνταξις προτέτακται τῆς σημασίας, ἐπειδὴ διὰ τῆς συντάξεως καὶ τῆς συνθήκης τῶν λέξεων τίκτεται ἡ τῆς σημασίας σαφήνεια. 15 20 25

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὴν ἔννοιαν. Δεῖ εἰδέναι ὅτι ἔννοιαν λέγουσι τὸν ὅρον, ἐπειδὴ ἐννοηματικοῖς ὅροις κέχρηνται οἱ φιλόσοφοι ἤγουν ὑπογραφικοῖς, ἢ ἐπειδὴ λεγόντων ἡμῶν τὸν ὅρον ἀνατρέχει ἡ ἔννοια ἡ ἡμετέρα ἐπὶ τὸ ὁριστόν. καὶ γὰρ ἐὰν εἴπωμεν ζῶον λογικὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ εὐθέως ἀνατρέχει ἡ ἡμετέρα ἔννοια εἰς τὸ ἄνθρωπος. δέον οὖν ζητῆσαι τὴν ἔννοιαν τῆς γραμματικῆς ἤγουν τὸν ὅρον. 30

ἀλλ' ἐπειδὴ λόγος ὁ λέγων σαφηνίζειν ἀνάγκη τὴν ὁμω-
νυμίαν, δεῖ γινώσκειν καὶ τὴν ὁμωνυμίαν, καὶ οὕτως
ὁρίζεσθαι ἐκεῖνο, περὶ οὗ ἃ σκοπὸς ἔχει διαλαβεῖν. περὶ
γραμματικῆς οὖν βουλόμενοι διαλαβεῖν, εἴπωμεν πο-
σαχῶς λέγεται ἡ γραμματική, καὶ εἶθ' οὕτως τὸν ὅρον 5
αὐτῆς διαλέξομεν. Διχῶς οὖν λέγεται παρὰ τοῖς ἀρ-
χαίοις, γραμματικὴ μικρὰ καὶ γραμματικὴ μεγάλη. καὶ
μικρὰ μέν ἐστιν ἧς ἔργον τοὺς χαρακτῆρας τῶν γραμ-
μάτων εἰδέναι καὶ τὰς συλλήψεις αὐτῶν, τοὺς μετιόν-
τας ταύτην νῦν διδασκάλους καλοῦσι, καὶ ἔστιν αὕτη 10
τέχνη περὶ τοῦ γράφειν καὶ ἀναγινώσκειν τὴν ἔγγραφον
φωνήν. μεγάλην δὲ γραμματικὴν λέγουσι τὴν καταγινο-
μένην περὶ τὴν ἑρμηνείαν τῶν ποιητῶν, ἥν τινα οὕτως
ὁρίζουσι· γραμματική ἐστι τέχνη θεωρητικὴ τῶν παρὰ
ποιηταῖς τε καὶ λογεῦσι. λογεῖς δὲ λέγουσι τοὺς ἱστορι- 15
κοὺς καὶ φιλοσόφους καὶ ἰατροὺς καὶ ὅσους ἐν τῷ χορῷ
τῶν λογίων τιθέναι δίκαιον. καὶ γὰρ φιλοσόφου ὄντος
τοῦ θεωρήματος, ἡ μὲν ἀφήγησις καὶ ἡ σύνταξις τῷ
γραμματικῷ ἁρμόζει, τὸ δὲ ζήτημα αὐτὸ τῷ φιλοσόφῳ,
πρόεισιν οὖν ἡ γραμματικὴ μέχρι τούτων. 20

Ὕλη δὲ γραμματικῆς ἐστὶν ὁ γενικὸς λόγος [. λόγος δὲ]
λέξεων σύνθεσις, διάνοιαν αὐτοτελῆ κατὰ σύμμετρον περι-
γραφὴν ἀπαρτίζουσα. περιγραφὴν δέ, ἵνα μὴ μακροαπόδοτος
ὁ λόγος καὶ ἀσύμμετρος ᾖ. τοῦ δὲ γενικοῦ λόγου ὁ μέν ἐστι
πεζός, ὁ δὲ ποιητικός. ἐπισκέπτεται δὲ ὁ γραμματικὸς 25
τὰ τοῦ λόγου μέρη καὶ τὰ συμβεβηκότα αὐτοῖς, οἷον
προφοράν, σημασίαν καὶ τὰ τοιαῦτα. Καταγίνεται δὲ
ἡ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ περὶ τὸν γενικὸν λόγον, ἀλ-
λὰ διαφέρουσι τοῖς τέλεσι. τῆς μὲν γὰρ διαλεκτικῆς τὰ-
ληθές, τῆς δὲ ῥητορικῆς τὸ πείθειν, τῆς δὲ γραμματικῆς 30
τέλος ἐστὶν ἡ κατάληψις τοῦ λόγου, τουτέστι τὸ διδά-
σκειν τί σημαίνει καὶ πῶς σημαίνει, οἷον διὰ ποίων με-
ρῶν ὁ λόγος δηλοῦται.

Μέρη δὲ τῆς γραμματικῆς εἰσὶ τέσσαρα, ἀναγνωστικόν, διορθωτικόν, ἐξηγητικόν, κριτικόν. ἢ λέγεται ὁ γενικὸς λόγος, καὶ ποιεῖ τὸ ἀναγνωστικόν· ἢ γράφεται, καὶ ποιεῖ τὸ διορθωτικόν· ἢ δηλοῦται, καὶ ποιεῖ τὸ ἐξηγητικόν· ἢ ζητοῦμεν πῶς δηλοῦται, καὶ ποιοῦμεν τὸ κριτικόν· κρίνοντες γὰρ γινώσκομεν πῶς δηλοῦται. πρῶτον γὰρ ἀναγινώσκει τὸ παιδίον, καὶ οὕτως [διορθοῦται] ὁ διδάσκαλος, καὶ μετὰ ταῦτα ἐξηγεῖται, καὶ μετὰ ταῦτα κρίνει. 5

Ἔργα δὲ τῆς γραμματικῆς . . . . . γάρτοι τὴν γραμματικὴν φυλαττομένην πᾶσαν ἱστορίαν ἔγνωμεν, τά τε τοῖς σοφοῖς θεωρήματα καὶ τὰ προσαχθέντα τοῖς πολιτικοῖς· καὶ πᾶν ὁτιοῦν τὸ γνωστὸν ἀνθρώπῳ γινόμενον ἢ θεωρούμενον διδασκόμεθα δι' αὐτῆς. *) 10

Ὥρα δὴ λοιπὸν ἅψασθαι ἡμᾶς τῆς περὶ ὅρων διδασκαλίας. χρήσιμοι γὰρ οἱ ὅροι πρὸς τὰς καταλήψεις εἰσὶ τῶν τεχνῶν. ἅπασα γὰρ ἡ λογικὴ θεωρία τὴν σύστασιν ἔχει ἔκ τε ὅρων καὶ διαιρέσεων. κατὰ γὰρ τὸν Πλάτωνα δεινοῦ τὴν τέχνην ἀνδρός ἐστι τά τε πολλὰ ἓν ποιῆ- 15

---

*) Πόσα θεωρούμενα περὶ τὴν γραμματικήν; Ὀκτώ, αἴτιον, ἀρχή, ἔννοια, ὕλη, μέρη, ὄργανα, ἔργα καὶ τέλος. αἴτιον [μὲν ὅτι] κατὰ πᾶσαν λέξιν αἴτιον ὁρᾶται καὶ αἰτιατόν. ἀρχὴ δὲ ὅτι ἀρχὴν ἔχει τὰ στοιχεῖα. ἔννοιαν δὲ λέγει τὸν σκοπόν· σκοπὸς γὰρ ὁρᾶται καὶ περὶ τὴν γραμματικήν, ὥςπερ καὶ περὶ τὴν διαλεκτικὴν καὶ τὰς λοιπὰς τέχνας καὶ ἐπιστήμας. ὕλην δὲ ἔχει πᾶσαν Ἑλληνίδα φωνήν. μέρη δὲ λέγει ἢ ὅτι πᾶσα Ἑλληνικὴ φωνὴ εἰς ὀκτὼ μέρη διαιρεῖται, ἢ ὅτι τῆς γραμματικῆς μέρη κυρίως τέσσαρα, διορθωτικόν, ἀναγνωστικόν, ἐξηγητικόν, κριτικόν. ὄργανα δέ εἰσι τέσσαρα τὰ περὶ τὴν γραμματικὴν ὄντα, γλωσσηματικόν, μετρικόν, τεχνικόν, ἱστορικόν. ἔργον τὸ τὸν ἔμμετρον καὶ πεζὸν λόγον τεχνᾶσθαι. τέλος τὸ μὴ ἁμαρτάνειν μήτε περὶ μίαν λέξιν μήτε περὶ πλείονας· τὸ γὰρ περὶ μίαν ἁμαρτάνειν βαρβαρισμός ἐστι, τὸ δὲ περὶ πλείονας σολοικισμός. σολοικισμὸς δέ ἐστιν ὁ τοῦ σώου λόγου οἰκισμός, ἤγουν ὕβρις ὁλοκλήρου λόγου. 20 25 30

σαι καὶ τὸ ἓν πολλά. τούτων δὲ τὸ μὲν ὁρισμοῦ, τὸ δὲ διαιρέσεων. καὶ γὰρ ὁ ὁρισμὸς τὰ πολλὰ ἓν ποιεῖ, ὡς ἐπὶ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου· ἡ δὲ διαίρεσις τὸ ἓν πολλά. καὶ γὰρ λαβόντες τὴν οὐσίαν, διαιροῦμεν αὐτὴν εἰς πολλά· λέγομεν γὰρ ὅτι ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον, καὶ τὰ ἑξῆς ὁμοίως.

Ὅροις δεῖ κεχρῆσθαι ἥπερ ὑπογραφαῖς. καὶ γὰρ οἱ ὅροι τιμιώτεροί εἰσι τῶν ὑπογραφῶν, ὥςπερ αἱ ζωγραφίαι τιμιώτεραί εἰσι τῶν σκιαγραφιῶν. καὶ γὰρ αἱ μὲν ζωγραφίαι λαμπρότερον καὶ διαυγέστερον τὸν γραφέν- 10
τα δεικνύουσιν, αἱ δὲ σκιαγραφίαι ἀμυδρότερον τὸ γραφὲν παριστῶσιν, ὥςτε καὶ νομίζειν ἡμᾶς ἐκ τοῦ ἀμυδρὸν εἶναι τὸν χαρακτῆρα τοῦ ἀνδρός, ὅτι δυνάμεθα ἐπάνω τῆς σκιαγραφίας οὐ μόνον ἐκεῖνον τὸν ἄνδρα ζω-
γραφῆσαι, οὗ τινός ἐστιν ἡ σκιαγραφία, ἀλλὰ καὶ ἕκα- 15
στον ἄνθρωπον, τὸν αὐτὸν τρόπον καὶ οἱ ὅροι, τῶν καθολικῶν ὄντες, κρείττους εἰσὶ τῶν ὑπογραφῶν, αἵ τινες τοῖς μερικοῖς ἁρμόζουσι. καὶ γὰρ βουλόμενός τις ὑπογραφῇ χρήσασθαι αὐτὸ μόνον ὑπογράφει εἰ τύχοι λέγόντων
Σωκράτης ἐστὶν υἱὸς Σωφρονίσκου, φιλόσο- 20
φος, προκοίλιος, κολοβός, σιμός· ὁ δὲ βουλόμε-
νος ὅρῳ χρήσασθαι οὐχ ἕνα μόνον ὁρίζεται ἄνθρωπον, ἀλλὰ πάντα ἄνθρωπον. τὸ γὰρ ζῶον λογικὸν καὶ τὰ ἑξῆς οὐ μόνῳ Σωκράτει ἁρμόζει, ἀλλὰ καὶ ἑκάστῳ ἀνθρώ-
πῳ. καὶ Ἐπίκουρος δέ, ἀεὶ ὑπογραφαῖς κεχρημένος, δη- 25
λῶν ὅτι τιμιώτεροι οἱ ὅροι, ὅροις ἀντὶ ὑπογραφῶν ἐν τῇ τῆς φυσικῆς ἀκροάσεως πραγματείᾳ [ἐχρήσατο]· διαιρῶν γὰρ τὸ πᾶν εἰς τε ἄτομον καὶ κενόν, ὅροις ἐχρήσατο, λέγων ὅτι ἄτομόν ἐστι σῶμα στερεόν, ἀμέτοχον κενοῦ παρεμπλοκῆς· κενόν ἐστι φύσις ἀναφής, τουτέστιν ἀψη- 30
λάφητος.

Ἴστέον δὲ ὅτι οἱ ὅροι τῶν καθόλου καὶ ἀεὶ μενόντων εἰσίν, ὡς καὶ Ἀριστοτέλης εἴρηκεν ἐν τῷ περὶ ἰδεῶν,

ἃ πρὸς τὰς Πλάτωνος ἰδέας ἐστὶν αὐτῷ πεποιημένα. τὰ μὲν μερικὰ πάντα μεταβάλλουσι καὶ οὐδέποτε ὡσαύτως ἔχουσι, τὰ δὲ καθόλου ἄτρεπτα καὶ ἀΐδιά εἰσιν· ἃ δὴ συλλαβὼν ὁ τεχνικὸς ὁρίζεται. οἷον περιπεσὼν λευκοῖς πλείοσι, τουτέστι χιόνι καὶ γύψῳ καὶ γάλακτι καὶ τοῖς παραπλησίοις, ἐνενόησέ τι λευκὸν ἁπάντων τούτων διῆκον καὶ μένον ἀεί, καὶ τοῦτο ὡρίσατο, λέγων ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, τουτέστιν ἀσφαλῶς διακρῖναι τὰ ὁρώμενα παρασκευάζον. ὁμοίως δὲ καὶ τὸν ἄνθρωπον ὁριζόμενος, οὐ Πλάτωνα μόνον, οὐ τὸν Πυθαγόραν, οὐ Δημόκριτον ὡρίσατο, ἀλλὰ πάντα ἄνθρωπον. χρὴ δὲ σκοπεῖν τὸν ὁρίζεσθαι μέλλοντα, τί ἐστιν ἑκάστῳ τῶν καθόλου ἴδιον. οἷον τῷ ἀνθρώπῳ ἴδιόν ἐστι τὸ ἐζῳῶσθαι, τουτέστι τὸ ζῶον εἶναι, τὸ θνητόν, τὸ λογικόν· κατὰ ταῦτα τοίνυν ὡρίσαντο, εἰπόντες ἄνθρωπός ἐστι ζῶον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. διὰ τοῦτο καὶ ὁ Ἀριστοτέλης εἶπεν ὅρος ἐστὶν ὁ τὸ τί εἶναι δηλῶν, τουτέστιν ὁ δηλῶν τί ὤφειλεν εἶναι ἑκάστῳ. καὶ τῇ γραμματικῇ ἴδιόν ἐστι τὸ τέχνην αὐτὴν εἶναι τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν.

Ἐπεὶ δὲ οἱ ὅροι μόνου τοῦ ὁριστοῦ εἰσί, καὶ ἀντιστρέφειν θέλουσι, καὶ τὴν οὐσίαν δηλοῦσι — τοῦτο γὰρ ἴδιον τῶν ὅρων —, ληπτέον αὐτοῦ πρῶτον μὲν τὰ γένη, ἔπειτα τὰς διαφοράς. ὁ γὰρ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, ἐκ γένους μέν, ἐπεὶ τὸ γένος τὴν οὐσίαν τοῦ ὁριστοῦ σημαίνει, ἐκ συστατικῶν [δὲ] διαφορῶν, ἐπειδὴ αἱ συστατικαὶ διαφοραὶ σύνιστῶσι τὸ ὁριστόν. καὶ γὰρ τὸ μὲν ζῶον δηλοῖ τὴν οὐσίαν τοῦ ὁριστοῦ, τουτέστι τοῦ ἀνθρώπου· αἱ δὲ συστατικαὶ διαφοραί, τουτέστι τὸ λογικόν, θνητόν, συνιστῶσι τὸν ἄνθρωπον. ἔστι δὲ γένος μὲν τὸ κατὰ πλειόνων ἀνομοίων τοῖς εἴδεσιν ἐν τῷ τί ἐστι κατηγορούμενον, οἷον φυτόν. τοῦτο γὰρ κατὰ πλειόνων ἀνομοίων φέρεται, κατὰ

ἀμπέλου, καρὰ συκῆς, κατὰ ἐλαίας, ἅ τινα πλείονά εἰσι καὶ ἀνόμοια· καὶ κατηγορεῖται ἐν τῷ τί ἐστι, τουτέστι κατ' αὐτῶν ἀγορεύεται καὶ φέρεται. ἐὰν γὰρ εἴπω τί ἐστιν ἐλαία; ἀνάγκη τὸ γένος ὀνομάσαι, καὶ εἰπεῖν ὅτι φυτόν. εἴδη δέ εἰσι τὰ ἐμπεριεχόμενα τοῖς γένεσι καὶ δηλοῦντα τὴν ἰδίαν οὐσίαν, οἷον ἄνθρωπος, ἵππος, λέων. ταῦτα γὰρ ἐκ γένους ἐμπεριέχονται, λέγω δὲ ἐκ τοῦ ζώου, καὶ τὴν οὐσίαν δηλοῦσιν. ὁ γὰρ λέων δηλοῖ τὴν ἰδίαν οὐσίαν, τί ἐστι, διὰ τῆς προσηγορίας. διαφορὰ δέ ἐστιν ἡ οὐσίαν καὶ ποιότητα ἀπ' ἀλλήλων διαχωρίζουσα, οἷον τὸ θνητόν, τὸ ἀθάνατον, καὶ πάλιν τὸ λογικὸν καὶ τὸ ἄλογον. αὗται δὲ καὶ φυσικαὶ ποιότητες λέγονται, ὅτι ἀχώριστοί εἰσι καὶ ἐκ φύσεως πᾶσιν ἴσως ὑπάρχουσι· καὶ γὰρ πάντες οἱ ἄνθρωποι ἴσως θνητοί εἰσι, καὶ πάντες ἴσως λογικοί εἰσιν. ὅταν δὲ εἴπωμεν, ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσιν Ἕλληνες, οἱ δὲ βάρβαροι, συμβεβηκυίας δηλοῦμεν ποιότητας, ἐπειδὴ οὐ φύσει καὶ οὐ πᾶσιν ἴσως ἁρμόζουσι τὰ τούτων ἤθη· καὶ γὰρ ἤθεσι καὶ διαλέκτῳ καὶ ἀγωγαῖς διαφέρουσιν Ἕλληνες βαρβάρων. γινώσκειν δὲ χρὴ ὅτι τῶν Ἑλλήνων οἱ μέν εἰσι Δωριεῖς, οἱ δ' Αἰολεῖς, οἱ δ' Ἴωνες, οἱ δὲ Ἀττικοί. συμβεβηκυίας δὲ διὰ τούτων δηλοῦμεν ποιότητας. καὶ γὰρ καὶ οὗτοι τρόποις καὶ ἤθεσι διαφέρουσιν ἀλλήλων. δοκεῖ γὰρ τὸ Δώριον ἀνδρωδέστερόν τε εἶναι τοῖς βίοις, καὶ μεγαλοπρεπὲς τοῖς φθόγγοις τῶν ὀνομάτων καὶ τῷ τῆς φωνῆς τόνῳ. τὸ Ἰωνικὸν δὲ ἐν πᾶσι τούτοις ἀνειμένον· χαῦνοι γὰρ οἱ Ἴωνες. τὸ δὲ Ἀττικὸν εἴς τε δίαιταν καὶ φωνῆς ἐπιτέχνησιν ἀεὶ διαφέρει. τὸ δὲ Αἰολικὸν τῷ τ' αὐστηρῷ τῆς διαίτης καὶ τῷ τῆς φωνῆς ἀρχαιοτρόπῳ. διὰ τοῦτο καὶ τὴν βαρύτητα τῶν τόνων καὶ τὴν ψιλότητα τοῦ πνεύματος ἐζηλώκασι. *)

---

*) Τοῦτο δὲ οὐκ ἔστι πιθανόν. τί γὰρ ἡ βαρεῖα τάσις καὶ

Ἴδιον δὲ λέγεται τὸ μόνῳ τινὶ ὑπάρχον, οἷον ἴδιον ἡλίου τὸ φωτίζειν, ζώου τὸ αἰσθάνεσθαι, ψυχῆς δὲ τὸ αὐτοκίνητον.

Ὀφείλομεν δὲ γένη ἐν τῷ ὅρῳ τιθέναι τὰ ἐγγυτάτω, οὐ τὰ πορρωτάτω. ὀφείλει γὰρ ὁ τὸν ἄνθρωπον ὁρίζων [μὴ] λέγειν ὅτι ἄνθρωπός ἐστιν οὐσία λογικὴ θνητὴ καὶ ἕξις, ἐπειδὴ τὸ οὐσία ἀπέχει, κἂν γένος τοῦ ἀνθρώπου ἐστί· διὰ μέσου [γὰρ] τοῦ ζώου ἐστὶ γένος τοῦ ἀνθρώπου ἡ οὐσία, δέον τὸν ὁριζόμενον τῷ ἐγγυτάτω γένει κεχρῆσθαι, λέγω δὴ τῷ ζώῳ. ὅθεν ὁ Χαῖρις οὐκ ὀρθῶς ὡρίσατο τὴν γραμματικήν, λέγων γραμματική ἐστιν ἕξις ἀπὸ τέχνης καὶ ἱστορίας διαγνωστικὴ ὧν παρ' Ἕλλησι λεκτῶν. καὶ γὰρ ἀπέχοντι γένει ἐχρήσατο· διὰ μέσου γὰρ τῆς τέχνης ἐστὶν ἡ ἕξις τῆς γραμματικῆς γένος. τῆς μὲν γένος ἐστὶν ἡ καθόλου τέχνη, τῆς δὲ τέχνης ἡ ἕξις, ὡς δηλοῖ καὶ ὁ Ζήνων, λέγων τέχνη ἐστὶν ἕξις ὁδοποιητική, τουτέστι δι' ὁδοῦ καὶ μεθόδου ποιοῦσά τι.

Γένη δεῖ τιθέναι ἐν τῷ ὅρῳ τὰ ὑπὸ πάντων ὁμο-

τὸ ψιλὸν πνεῦμα πρὸς τὸ αὐστηρὸν τῶν τρόπων αὐτῶν; ἀλλὰ διὰ τοῦτο βαρυντικοί εἰσι καὶ ψιλωτικοὶ οἱ Αἰολεῖς, ἐπειδὴ τοῖς ἀσθενεστέροις χαίρουσι. καὶ γὰρ τὸ φθείρω φθείρω λέγουσι καὶ τὸ σπείρω σπείρω· τὸ δὲ θέσει μᾶλλον ἀσθενέστερον τοῦ φύσει μακροῦ. εἰκότως οὖν καὶ τῇ βαρείᾳ τάσει καὶ τῷ ψιλῷ πνεύματι κέχρηνται. καὶ γὰρ ἡ βαρεῖα τάσις ἀσθενεστέρα ἐστὶ τῆς ὀξείας τάσεως. ἡ γὰρ βαρεῖα οὐκ ἔστι κύριος τόνος λέξεως, ἀλλὰ συλλαβῆς· ἡ δὲ ὀξεῖα κυριός ἐστι τόνος. κύριοι γὰρ τόνοι τῶν λέξεων δύο εἰσίν, ἡ ὀξεῖα καὶ ἡ περισπωμένη. καὶ δῆλον, εἴγε ἐν τῇ συλλαβῇ, ἐν ᾗ ἐστὶν ὁ κύριος τόνος τῶν λέξεων, οὐχ εὑρίσκομεν βαρεῖαν, ἀλλ' ἢ ὀξεῖαν ἢ περισπωμένην. ὅσον δὲ λέξις συλλαβῆς ἀνδρειότερον, τοσοῦτον καὶ ἡ ὀξεῖα τῆς βαρείας ἰσχυροτέρα. καὶ ἡ ψιλὴ δὲ τῆς δασείας ἀσθενεστέρα, εἴγε δασίος μὲν πνεύματος ἐπιφερομένου τρέπεται τὸ ψιλὸν εἰς τὸ δασὺ ἀντίστοιχον, ἅτε δὴ ἀσθενέστερον ὄν, οἷον ἀμφὶ αὐτόν – ἀμφ' αὐτόν, ἀμφὶ ἀγαθόν – ἀμφ' ἀγαθόν.

λογούμενα, οὐχ ὥςπερ ὁ Ξενοκράτης ὁριζόμενος εἶπε, ψυχή ἐστιν ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν· οὐκ ἔστι γὰρ δῆλον, εἰ γένος ψυχῆς ὁ ἀριθμός. ἀλλ' οὐδὲ τὴν γραμματικὴν ὁριστέον ἐμπειρίαν [τῶν] παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν. οὐ γάρ ἐστιν ἡ ἐμπειρία τῆς γραμματικῆς γένος· ἄτεχνον γάρ τι καὶ ἄλογον οὖσα ἡ ἐμπειρία. δηλοῖ Πλάτων ἐν τῷ Γοργίᾳ· τέχνην γὰρ αὐτὴν οὔφημι, ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα ἤγουν αἰτίαν, ᾧ προςφέρει, ἃ προςφέρει, ὁποῖα τὴν φύσιν ἐστίν.

Ἰστέον δὲ ὅτι οὔτε τῶν ἀνωτάτω γενῶν εἰσὶν ὅροι ἀλλ' ὑπογραφαί, οὔτε τῶν ἀτόμων, ἐπειδὴ ὁ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι. οἷον τί ἐστι ζῶον; οὐσία ἔμψυχος, αἰσθητική. ἰδού, τὸ μὲν οὐσία γένος ἐστί, τὸ δὲ ἔμψυχος, αἰσθητικὴ συστατικαὶ διαφοραί. εὐλόγως τῶν ἀνωτάτω γενῶν οὐκ ἔστιν ὅρος. Ἀλλ' οὐδὲ τῶν ἀτόμων, ἐπειδὴ ὁ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, διαφορὰ δέ ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον ἤγουν φερόμενον, κατ' ἀγγέλου καὶ κατὰ δαίμονος καὶ ἀνθρώπου, καὶ ἄλλη φύσις ἀγγέλου καὶ ἄλλη δαίμονος. κατηγορεῖται γάρ, τουτέστι φέρεται κατ' αὐτῆς ἐν τῷ ὁποῖόν τί ἐστιν. ἐρωτώμενοι γὰρ τί ἐστιν ἄνθρωπος; τὸ γένος ἀποκρινόμεθα, λέγοντες ζῶον. ἐρωτώμενοι δὲ ποῖόν τί ἐστι; τὰς συστατικὰς διαφορὰς ἀποκρινόμεθα, λέγοντες λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἐπειδὴ οὖν ὁ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, διαφορὰ δέ ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον, τὰ δὲ ἄτομα οὐ διαφέρουσιν ἀλλήλων τῷ εἴδει — ἓν γὰρ τὸ εἶδος καὶ μία φύσις Σωκράτους καὶ Πλάτωνος καὶ Ἀλκιβιάδου· πάντες γὰρ ἄνθρωποί εἰσιν· — εὐλόγως ἐν τῷ ὅρῳ τῶν

ἀτόμων εἴρηται συστατικὴ διαφορά. συστατικῆς δὲ διαφορᾶς μὴ οὔσης, οὐδὲ ὅρος γίνεται, [εἴγε] ἄνευ γένους καὶ συστατικῆς διαφορᾶς ὅρος οὐ συνίσταται. εἰ γὰρ καὶ δύναμαι τὸν Σωκράτην ὁρίσασθαι ὅτι Σωκράτης ἐστὶ ζῶον λογικὸν καὶ ἕξῆς, ἀλλ' οὖν οὐκ ἔστι τοῦ Σωκράτους οὗτος ὁ ὅρος, ἀλλὰ καθόλου παντὸς ἀνθρώπου. πᾶς γὰρ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, ἐκ γένους μὲν ἐπειδὴ τὸ γένος τὴν οὐσίαν τοῦ ὁριστοῦ δηλοῖ· τὸ γὰρ ζῶον τὴν οὐσίαν τοῦ ὁριζομένου παρίστησιν· ἐκ συστατικῶν δὲ διαφορῶν σύγκειται, ἐπειδὴ αὗται συνιστῶσι τὸ ὁριστὸν ἤγουν τὸν ἄνθρωπον. ἔστιν οὖν τῆς γραμματικῆς γένος ἡ τέχνη.

Ἰστέον δὲ ὅτι διαφοραὶ ἐκεῖναι ὤφειλον τεθῆναι ἐν τῷ ὅρῳ, αἵ τινες καὶ ἀντιδιήρηνται ἀλλήλαις καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγονται, τουτέστιν ὑπὸ τὴν αὐτὴν διαίρεσίν εἰσιν. οἷον τοῦ ζώου διαιρέσεις εἰσὶ πλείους κατὰ τὰς διαφοράς· τὰ μὲν γὰρ λέγεται θνητά, τὰ δὲ ἀθάνατα, καὶ πάλιν τὰ μὲν λογικά, τὰ δὲ ἄλογα. ἐκ τούτων οὖν τῶν ἀντιδιαιρουμένων ἀλλήλαις καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀναγομένων δεῖ τιθέναι ἐν τῷ ὅρῳ τοῦ ἀνθρώπου. οὕτως οὖν καὶ τὴν γραμματικὴν εἴπωμεν τέχνην θεωρητικήν, καὶ διὰ μὲν τοῦ εἰπεῖν τέχνην δηλοῦμεν τὸ γένος αὐτῆς· γένος δὲ αὐτῆς ἡ τέχνη· διὰ δὲ τοῦ εἰπεῖν θεωρητικὴν δηλοῦμεν τὴν συστατικὴν διαφοράν. αὕτη δὲ ἡ συστατικὴ διαφορὰ ἀντιδιήρηται ἑτέραις τισί, καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγεται. καὶ γὰρ τοῦ αὐτοῦ γένους ἐστὶν ἡ θεωρητικὴ καὶ πρακτικὴ καὶ ἀποτελεστική, καὶ ἀντιδιήρηνται ἀλλήλαις. διαφέρει δὲ ἡ πρακτικὴ τῆς ἀποτελεστικῆς, ὅτι ἡ μὲν πρακτικὴ ἐν τῷ πράττεσθαι ἔχει τὴν ὕπαρξιν· μετὰ γὰρ τὸ πρᾶγμα οὐκ ἔστιν, ὡς ἡ ὀρχηστικὴ ἐν τῷ ὀρχεῖσθαι ἔστι καὶ ὑπάρχει· ἐὰν γὰρ παύσηται ὁ ὀρχούμενος, σὺν αὐτῷ καὶ τὰ τῆς ὑπάρξεως ἀποπαύεται, καὶ οὐκ ἔστιν ἔτι ἡ ὄρχησις· ἡ δὲ ἀποτε-

λεστικὴ μετὰ τὸ πρᾶγμα ἔχει τὰ ἀποτελούμενα θεωρούμενα, ὡς ἐπὶ τῆς χαλκευτικῆς· μετὰ γὰρ τὸ ἀποτελέσαι τὸν χαλκέα τὴν ξέστιν θεωροῦμεν τὸ ἀποτελούμενον, λέγω δὴ τὴν ξέστιν. Ὁριστέον οὖν τὴν γραμματικὴν οὕτως· γραμματική ἐστι τέχνη θεωρητικὴ [τῶν] παρὰ ποιηταῖς τε καὶ λογεῦσι· λογεῖς δὲ οἱ πεζολόγοι. 5

Ἰστέον δὲ ὅτι [φύσει μὲν] πρότερά ἐστι τὰ στοιχεῖα καὶ ἀρχαὶ αὐτοῦ τοῦ πράγματος, οὗ τινὸς τὸν ὅρον ποιούμεθα· πρὸς δὲ ἡμᾶς πρῶτά εἰσι τὰ συγκρίματα ἤγουν αἱ συνελεύσεις αἱ ἐκ τούτων ἀποτελούμεναι, τουτέστιν αἱ συλλαβαί, αἱ λέξεις· ἐκ γὰρ τῶν στοιχείων γίνονται αἱ λέξεις. καὶ πάλιν φύσει πρῶτά εἰσι τὰ γένη τῶν εἰδῶν καὶ τὰ εἴδη τῶν καθ' ἕκαστα, οἷον ὁ καθόλου ἄνθρωπος τῶν κατὰ μέρος ἀνθρώπων· πρὸς ἡμᾶς δὲ πρῶτά εἰσι τὰ καθ' ἕκαστα τῶν εἰδῶν καὶ τὰ εἴδη τῶν γενῶν. εὐλόγως δέ. τὰ μὲν γὰρ ἀποτελέσματα αἰσθητά εἰσιν, αἱ δὲ ἀρχαὶ καὶ τὰ στοιχεῖα καὶ τὰ γένη νοητά εἰσι· γνωριμώτερα δὲ ἡμῖν τὰ αἰσθητὰ διὰ τὸ ἀεὶ συνδιαιτᾶσθαι ἡμῖν. αἴσθησις μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς ἐνέφυ, νοῦς δέ, ὥς φησιν ὁ Πλάτων, ἀγαπητὸν ὅτῳ καὶ πρὸς γῆρας ἀφίκοιτο. καὶ πάλιν προτέρα μὲν φύσει στιγμή ἐστι γραμμῆς καὶ γραμμὴ ἐπιφανείας καὶ ἐπιφάνεια αἰσθήσεως, ἐγγυτέρω δὲ τῆς αἰσθήσεως ἡ ἐπιφάνεια, καὶ μετ' ἐκείνην ἡ γραμμή, καὶ μετὰ τὴν γραμμὴν ἡ στιγμή. Ὁπηνίκα μὲν οὖν ἐπιστημονικῶς παραδῶμεν, διὰ τῶν φύσει πρώτων ὁριούμεθα, οἷον ἄνθρωπός ἐστι ζῶον λογικὸν καὶ τὰ ἑξῆς· πρότερα γὰρ τῇ φύσει τὰ γένη τῶν εἰδῶν. ὅτε δὲ τὰ φύσει πρότερα μὴ δύναταί τις καταλαβεῖν, τότε διὰ τῶν εὐχερεστέρων καὶ γιμωσκομένων δεῖ ποιεῖν τοὺς ὅρους, οἷον ἐπίπεδον στερεοῦ πέρας· ταῦτα γὰρ ἐγγυτέρω ταῖς αἰσθήσεσίν εἰσιν. ἐπὶ μέντοι τῆς γραμματικῆς τὸ φύσει πρῶτον ὀρθῶς

ἐτάξαμεν ἐν τῷ ὅρῳ ἤγουν τὸ τέχνη, ἐπειδὴ πάντες ἐπίστανται ὅτι ἡ γραμματικὴ τέχνη ἐστίν.

Δεῖ δὲ ἐξετάζειν, εἰ ἔστιν ἐν τῷ ὅρῳ λέξις ὁμώνυμος ἢ οὔ. οἷον ἡ αἴσθησις διττή ἐστιν, ἥ τε κατ' ἐνέργειαν καὶ ἡ κατὰ δύναμιν. καὶ ἡ κατ' ἐνέργειαν μέν, ὅτε ἀγρυπνοῦντες ἐνεργοῦμεν κατὰ τὰς αἰσθήσεις, ἡ κατὰ δύναμιν δέ, ὅτε φαμὲν καὶ τὸν ὑπνώσαντα ἔχειν αἴσθησιν· δυνάμει γὰρ αἰσθάνεται, οὐκ ἐνεργείᾳ. οὐ δεῖ εἰπεῖν αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητοῦ. τὸ γὰρ ἓν μόνον τῶν σημαινομένων ὁριούμεθα, λέγω δὴ τὸ ἐν ἐνεργείᾳ, οὐ τὸ δυνάμει ἤγουν τὸ κοιμώμενον· καὶ γὰρ ὁ κοιμώμενος αἴσθησιν ἔχει, οὐ μέντοι ἐνεργεῖ κατ' αὐτήν. καὶ πάλιν τὸν ἔρωτα οἱ μὲν Ἐπικούρειοί φασιν εἶναι σύντονον ἀφροδισίων ὄρεξιν, οἱ δὲ ἀπὸ τῆς Στοᾶς ἐπιβουλὴν φιλοποιίας νέων κορῶν διὰ κάλλος ἐμφαινομένην· διπλοῦς δὲ ὁ ἔρως ἐστίν, ὁ μὲν ψυχῆς, ὁ δὲ σώματος. Καὶ ἡ γραμματικὴ δὲ κατὰ τὸ παλαιὸν ἐν δύο σημαινομένοις ἦν. τὴν μὲν γὰρ μικρὰν ἐκάλουν, ἥ τις ἦν τέχνη περὶ τοῦ γράφειν καὶ ἀναγινώσκειν τὴν ἐγγράμματον φωνήν, τούς τε χαρακτῆρας τῶν γραμμάτων εἰδέναι καὶ τὰς συλλήψεις αὐτῶν ἤγουν τὰς συλλαβάς· τὴν δὲ μεγάλην ἐκάλουν τὴν ἐπὶ τοὺς ποιητὰς θεωρίαν, ἥν τινα νῦν ἐξηγοῦνται οἱ γραμματικοί, καὶ ἔστιν αὕτη τέχνη θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν.

Δεῖ δὲ τὸν ὅρον ἔμφασιν παρέχειν καὶ τῶν συστοίχων ἤγουν τῶν συγγενῶν, οἷον ὁ ὀρθῶς ὁριζόμενος τὴν ἐπιστήμην καὶ τὸν ἐπιστήμονα ὁρίζεται τρόπον τινά. τῇ δὲ γραμματικῇ ἐναντίον καὶ ἀντικείμενον οὐδέν ἐστιν. ἔμφασιν δὲ παρέχει ὁ ὅρος τῆς γραμματικῆς καὶ τῶν συστοίχων καὶ συγγενῶν αὐτῆς, λέγω δὴ τῶν γραμματικῶν. ἡ γὰρ γραμματικὴ τέχνη θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι· ἔνιον οὖν ὅτι γραμματικός ἐστιν ὁ τούτων θεωρητικός.

Ἔτι δεῖ τὸν ὅρον καὶ τοῖς μὴ πάνυ λογίοις δηλοῦν, τίνος ἐστὶν ὁ ὅρος, οὐχ ὥςπερ οἱ Στωϊκοὶ ὁριζόμενοι τὸν ἥλιον λέγουσιν, ὅτι ἡλιός ἐστιν ἄναμμα νοερὸν θαλασσίων ὑδάτων. καὶ γὰρ οὗτος οὐκ ἔστι πᾶσι πρόδηλος, ὅτι τοῦ ἡλίου ἐστίν, ὁ ὅρος. δύναμαι γὰρ καὶ ἐγὼ ἀντλῆσαι ὕδωρ, καὶ ταῦτα μὴ ὢν ἥλιος. ἀλλ' οὐκ ἔστι τὸ παρ' ἐμοῦ ἄναμμα νοερόν, ἀλλ' αἰσθητόν. ὥςτε οὐκ ὀρθῶς ὡρίσατο Τυραννίων τὴν γραμματικήν, εἰπὼν γραμματική ἐστι θεωρία μιμήσεως. οὐ μόνον γὰρ περὶ μίμησιν καταγίνεται, ἀλλὰ καὶ περὶ λέξεις μὴ ἐχούσας μίμησιν.

Δεῖ δὲ τὸν ὅρον καὶ ἀντιστρέφειν. ἀντιστρέφει οὖν ὁ τῆς γραμματικῆς ὅρος. καὶ εἴ τι γραμματική, τοῦτο τέχνη ἐστὶ θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι· καὶ εἴ τι τέχνη θεωρητικὴ καὶ τὰ ἕξης, τοῦτο γραμματική ἐστιν.

Ἰστέον δὲ ὅτι καθόλου μέν εἰσιν ὅσα ἀπὸ τῶν ἐν μέρει συνάπτομεν τῷ λογισμῷ, οἷον θεωροῦντες πολλοὺς ἵππους, λογιζόμεθα ὅτι ἔστι [τις] περιέχων πάντα ἵππον καθόλου ἵππος, καὶ πάλιν θεωροῦντες πολλοὺς ἀνθρώπους, λογιζόμεθα ὅτι ἔστι τις καθόλου ἄνθρωπος· ἴδιον δὲ καλεῖται τὸ μόνῳ τινὶ ὑπάρχον καὶ ἀντιστρέφον πρὸς ἑαυτό, οἷον ἄνθρωπός ἐστι τὸ δεκτικὸν ἐπιστήμης τοῦτο ἄνθρωπός ἐστιν. Τοῦ δὲ ἰδίου τὸ μέν ἐστι πρὸς ἕτερον, τὸ δὲ καθ' ἑαυτό. καὶ πρὸς ἕτερον μὲν ἴδιόν ἐστι τὸ ἀπό τινων χωρίζον, ὥςπερ τὸ ἴδιον τῆς ἐπιστήμης· τοῦτο γὰρ χωρίζει τὴν ἐπιστήμην ἐκ τῆς τέχνης. καθ' ἑαυτὸ δέ, ὃ καὶ κυρίως ἴδιον καλεῖται, τὸ χωρίζον ἀπὸ πάντων τῶν ὑποκειμένων, ὡς ὅταν εἴπωμεν ἀνθρώπου ἴδιον τὸ ψυχὴν δεκτικὴν ἐπιστήμης ἔχειν· χωρίζει γὰρ τοῦτο τὸν ἄνθρωπον ἀπὸ πάντων τῶν ζώων· μόνος γὰρ ὁ ἄνθρωπος δεκτικός ἐστιν ἐπιστήμης. τὸ δὲ λέγειν ὅτι ἀνθρώπου ἐστὶν ἴδιον τὸ ψυχὴν ἔχειν οὐ χωρίζει τὸν ἄν-

θρω-

θρωπον, εἰ μὴ ἀπὸ τῶν ἀψύχων· ἀπὸ γὰρ ἵππου καὶ κυνὸς οὐ χωρίζει τὸν ἄνθρωπον, ἐπεὶ καὶ ταῦτα τῆς ψυχῆς εἰσὶ δεκτικά.

Ἰστέον δὲ ὅτι χρησιμεύει ἡ γραμματικὴ εἴς τε τὴν φύσιν τῶν στοιχείων τῆς ἐγγραμμάτου φωνῆς, διδάσκει τε πῶς ἤρθρωται τῶν φθόγγων ἕκαστος, καὶ τίς αὐτοῖς ἡ πρὸς ἀλλήλους κοινωνία τῶν τε φωνηέντων καὶ τῶν συμφώνων, τίνες τε ἐν συλλήψει ἔν τε ἐκτάσει καὶ βραχύτητι. διδάσκει δὲ καὶ τὰ ἰδιώματα τῶν διαλέκτων, λέγω δὴ τῆς τε Ἰάδος καὶ Δωρίδος. καὶ πρὸς τῷ βίῳ δὲ τὸ τέλος αὐτῆς χρήσιμον, καὶ πρὸς τὰς ἄλλας ἐπιστήμας συνεργόν. ἀναγκαῖον γὰρ ἡγεῖται πᾶς παιδεύεσθαι γράμματα, ὧν χωρὶς οὔτε ἰδία πρᾶξις οὔτε πολιτικὴ δύναται στῆναι. καὶ μουσικὴν μέν τις ἀγνοῶν ἢ ἀστρονομίαν ἤ τινα τῶν ἄλλων λογικῶν τεχνῶν, οὐκ ἂν αἰσχύνοιτο, ὡς ἂν οὐ βλαπτόμενος εἰς τὰς χρείας τοῦ βίου· ἐὰν δὲ γραμμάτων τις εὑρεθῇ ἐστερημένος, ἀμαθὴς ὑπάρχει. ὅθεν οὐδὲ τοὺς οἰκέτας οἱ χαρίεντες ἀπεστέρουν τῆς τοιαύτης παιδεύσεως, ἵνα τοῖς γράμμασιν ἡμεροῖντο καὶ πρὸς τὰς τοῦ βίου χρείας εἶεν πεπαιδευμένοι. τίς δὲ ἰατρὸς ἢ φιλόσοφος ἢ τῶν ἄλλων τινὸς ἀγωνιστὴς οὐ τὰ κατὰ λέξιν καὶ ἱστορίαν ζητούμενα πρὸς τοῦ γραμματικοῦ ἀξιοῖ μανθάνειν; Ἔχει δὲ ἡ γραμματικὴ καὶ ψυχαγωγίαν ἐμμελῆ, διδάσκουσα κάλλος ποιημάτων, ἱστορίαις τε καὶ μύθοις κατᾴδουσα. φιλόμυθος δὲ ὁ ἄνθρωπος, καὶ πρὸς ἑκάστου βίου διάθεσιν χαίρει ταῖς ἀφηγήσεσιν, ὁ μὲν πολεμικὸς παρατάξεσι πεζαῖς καὶ ναυτικαῖς, ὁ δὲ εἰρηνικὸς ὑποθήκαις καὶ παραινέσεσιν, Ὀλυμπικῶν τε καὶ ἀγώνων ἀκροάσεσι καὶ μουσικῶν. προτροπαὶ γὰρ καὶ διδασκαλίαι καὶ ἀποτροπαὶ καὶ ὑποθῆκαι πόθεν οὕτω καλαὶ καὶ πολύτροποι πλὴν παρὰ ποιητῶν, οὓς διασώζει καὶ συνίστησι γραμματική; πό-

θεν δ' ἄν τις ἀρύσαιτο μᾶλλον μαθήματα σπουδαῖα καὶ πολιτεύματα πλὴν παρὰ ποιητῶν; τίς δὲ καὶ ἄμεινον δικαιώματα πόλεων καὶ ἐθνῶν ἀνευρεῖν δύναται, καὶ διοικῆσαι κτήσεις κατ' ἀκρίβειαν, γραμματικὰ μηδαμῶς ἐπιστάμενος;

Τέτταρα δὲ εἴδη τεχνῶν εἰσί. τὰς μὲν γὰρ θεωρητικὰς καλοῦσι, τὰς δὲ πρακτικάς, τὰς δὲ ἀποτελεστικάς, τὰς δὲ περιποιητικάς. Καὶ θεωρητικὰς μέν, ὧν τέλος ἐν θεωρίᾳ ἢ ἐν λόγῳ, ὡς ἐπὶ ἀστρονομίας καὶ ἀριθμητικῆς. τῆς μὲν γὰρ ἴδιόν ἐστι τὸ θεωρῆσαι τὰς ὑποστάσεις καὶ περιφορὰς τῶν ἄστρων, τῆς δὲ τὸ θεωρῆσαι τὴν τῶν ἀριθμῶν διαίρεσιν καὶ σύνθεσιν. Πρακτικὰς δέ, ἅς τινας μετὰ τὴν πρᾶξιν οὐχ ὁρῶμεν ὑφισταμένας, ὡς ἐπὶ κιθαριστικῆς καὶ ὀρχηστικῆς· μετὰ γὰρ τὸ παύσασθαι τὸν κιθαρῳδὸν καὶ τὸν ὀρχηστὴν τοῦ ὀρχεῖσθαι καὶ κιθαρίζειν, οὐκέτι πρᾶξις ὑπολείπεται. Ἀποτελεστικὰς δὲ λέγουσιν, ὧν τινῶν τὰ ἀποτελέσματα μετὰ τὴν πρᾶξιν ὁρῶνται, ὡς ἐπὶ τῆς ἀνδριαντοποιίας καὶ οἰκοδομικῆς. μετὰ γὰρ τὸ ἀποτελέσαι τὸν ἀνδριαντοποιὸν τὸν ἀνδριάντα καὶ τὸν οἰκοδόμον τὸ κτίσμα, μένει ὁ ἀνδριὰς καὶ τὸ κτισθέν. Περιποιητικὰς δὲ καλοῦσι τὰς περιποίησιν δηλούσας, ὡς ἐπὶ τῆς ἁλιευτικῆς καὶ τῆς θηρευτικῆς.

Τέλος δὲ τῶν τεχνῶν ἐστὶν ἐφ' ᾧ πάντα νεύει τὰ θεωρήματα καὶ ὃ ζητοῦμεν αὐτῆς ἔσχατον. τὸ δὲ αὐτὸ δυνάμει καὶ αἴτιόν ἐστιν. οἷον φοβηθέντες οἱ ἄνθρωποι ναυαγίαν, ἐξεῦρον πόθῳ τῆς εὐπλοίας κυβερνητικήν, ἧς τὸ τέλος τὸ εὐπλοεῖν. τοῦτο δὲ τὸ εὐπλοεῖν καὶ τέλος ἐστὶ τῆς κυβερνητικῆς καὶ αἴτιον· διὰ γὰρ τὸ εὐπλοεῖν ἐπενοήθη ἡ κυβερνητική. καὶ πάλιν τὰς νόσους βουλόμενοι φυγεῖν, ἔρωτι ὑγείας τὴν ἰατρικὴν συνεστήσαντο, ἧς τὸ τέλος ὑγιάζειν. τοῦτο δὲ τὸ ὑγιάζειν καὶ τέλος ἐστὶ

τῆς ἰατρικῆς καὶ αἴτιον· διὰ γὰρ τὴν ὑγείαν ἐπενοήθη ἡ ἰατρική.

Ἐπεὶ οὖν ἡ γραμματικὴ διὰ τοῦ γλωσσηματικοῦ καὶ μετρικοῦ καὶ τεχνικοῦ θεωρεῖται, καὶ διδάσκει τὴν ἀνάγνωσιν καὶ τὴν ἐξήγησιν καὶ τὴν διόρθωσιν καὶ τὴν κρίσιν, τούτου χάριν πρόκειται θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν. εἰ ἄρα δὲ ἡ γραμματικὴ μικτή ἐστι — καὶ γὰρ καὶ θεωρίᾳ κέχρηται, ἡνίκα καταλέγει κανόνας, καὶ πράξει, ἡνίκα ποιεῖ τόνους καὶ στιγμάς —, πῶς ὁρίζομεν αὐτὴν θεωρητικὴν καὶ οὐ μικτήν; Καὶ λέγομεν ὅτι ἡ γραμματικὴ οὐκ ἔστι πρακτική, ἀλλὰ μόνον θεωρητική, ὁ μέντοι γραμματικός ἐστιν ὁ πρακτικός. οὐ γὰρ ἡ γραμματικὴ ποιεῖ τοὺς τύπους τῶν τόνων καὶ τὰς στιγμάς, ἀλλὰ θεωρεῖ μόνον καὶ διδάσκει αὐτούς· ὁ γραμματικὸς δὲ ἐξ αὐτῆς λαμβάνων τὰς ἀφορμάς, ἀποτελεῖ καὶ τόνους καὶ στιγμὰς καὶ πνεύματα.

Ἐπόντες οὖν τί ἐστι γραμματική, ἔλθωμεν καὶ ζητήσωμεν τὰ ἑπτὰ κεφάλαια, λέγω δὴ τὸν σκοπόν, τὸ χρήσιμον, τὴν αἰτίαν τῆς ἐπιγραφῆς, τὸ γνήσιον, τὴν εἰς τὰ κεφάλαια διαίρεσιν, τὴν τάξιν καὶ τὸ ὑπὸ τί ἀνάγεται τὸ προκείμενον βιβλίον. Σκοπὸν δὲ ζητοῦμεν, ἵνα τὴν ὁρμὴν τοῦ συγγραψαμένου καταλάβωμεν. ἔστι δὲ σκοπὸς προκατάληψις ψυχῆς προτυπούσης τὸ προτεθέν, ἐκ μεταφορᾶς τῶν τοξοτῶν τῶν πρότερον μὲν στοχαζομένων τὸν τόπον, εἶθ' οὕτως τὸ βέλος ἐπιπεμπόντων. σκοπὸν οὖν ἔχει ὁ Διονύσιος ὡς ἐν εἰσαγωγῇ παραδοῦναι πάντα τὰ τῆς γραμματικῆς θεωρήματα. Τὸ δὲ χρήσιμον τοῦ παρόντος συγγράμματος ὁ σκοπὸς φανεροῖ. εἰς ὅσα γὰρ χρησιμεύει τὰ ἐν τῷ παρόντι συγγράμματι λεγόμενα, τουτέστι τὰ μέρη τοῦ λόγου καὶ ἡ στιγμὴ καὶ τὰ μέτρα, εἰς τοσαῦτα χρησιμεύει τὸ παρὸν [σι]γγράμμα, τὴν διδασκαλίαν ἡμῖν τούτων μηνυτιόμενον. Ἐπι-

γραφὴν δὲ ζητοῦμεν, ἵνα εὑρόντες τυχὸν περὶ ὀνομάτων, μὴ ζητῶμεν περὶ ἐπιῤῥημάτων. αἰτία δὲ ταύτῃ ζητεῖται τῆς ἐπιγραφῆς. ἐπιγέγραπται οὖν τὸ παρὸν σύγγραμμα περὶ γραμματικῆς, ἐπειδὴ πάντα τὰ ἁρμόζοντα τῇ γραμματικῇ ἐν αὐτῷ παραδίδωσι. Ζητοῦμεν δὲ καὶ τὸν συγγραφέα, ἵνα τὸ ἀξιόπιστον ἢ μὴ τοῦ συγγραψαμένου καταλάβωμεν. τοῦτο δὲ διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ ἀσπὶς Ἡσιόδου· ἑτέρου γάρ ἐστιν, ἐπιγραφῇ δὲ καὶ ὀνόματι ἐχρήσατο τῆς Ἡσιόδου, ἵνα τῇ ἀξιοπιστίᾳ τοῦ ποιητοῦ ἀξία κριθῇ ἀναγνώσεως. θέλουσιν οὖν τινὲς μὴ εἶναι γνήσιον τοῦ Θρακὸς τὸ παρὸν σύγγραμμα, ἐπιχειροῦντες οὕτως, ὅτι οἱ τεχνικοὶ μέμνηνται Διονυσίου τοῦ Θρακός, καὶ λέγουσιν ὅτι διεχώριζε τὴν προσηγορίαν ἀπὸ τοῦ ὀνόματος καὶ συνῆπτε τὸ ἄρθρον καὶ τὴν ἀντωνυμίαν. *) ἄρα οὖν οὐκ ἔστι Διονυσίου τοῦ Θρακὸς τὸ παρὸν σύγγραμμα. ἔστιν οὖν εἰπεῖν ὅτι ἄλλος ἦν ἐκεῖνος, Διονύσιος ὁ Θράξ, καὶ ἄλλος ὁ ποιήσας τὸ παρὸν σύγγραμμα, ἐκεῖνος μὲν μαθητὴς Ἀριστάρχου, οὗτος δὲ ὁ τοῦ πηροῦ. Περὶ δὲ τῆς εἰς

*) Ὁ δὲ παρὼν τεχνικὸς τὴν προσηγορίαν καὶ τὸ ὄνομα ἓν μέρος λόγου οἶδεν ἐν οἷς φησίν „ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται"· καὶ τὸ ἄρθρον καὶ τὴν ἀντωνυμίαν δύο μέρη γινώσκει, καὶ οὐχὶ ἕν. ἔστιν οὖν εἰπεῖν ὡς ἐκεῖνος ὁ Διονύσιος ἄλλος ἦν. ἐκεῖνος μὲν γὰρ μαθητὴς ἦν Ἀριστάρχου, ὃς καὶ τὸν ἑαυτοῦ διδάσκαλον ζωγραφήσας ἐν τῷ στήθει αὐτοῦ τὴν τραγῳδίαν ἐζωγράφησε διὰ τὸ ἀποστηθίζειν αὐτὸν πᾶσαν τὴν τραγῳδίαν· οὗτος δέ ἐστιν ὁ λεγόμενος ὁ τοῦ Πηροῦ. ἐλέγετο δὲ καὶ οὗτος Θρᾴξ, ἢ διὰ τὸ τραχὺ ὥσως τῆς φωνῆς, ἢ διότι καὶ τῇ ἀληθείᾳ Θρᾴξ ἦν· εἰκὸς δὲ καὶ κατὰ πλάνην πληθῆναι αὐτὸν Θρᾴκα. ὅτι δὲ ἄλλος ἐστὶν ἐκεῖνος καὶ ἄλλος οὗτος, δηλοῖ καὶ ὁ παρ' ἀμφοτέρων ὁρισμὸς τοῦ ῥήματος. οὗτος μὲν γὰρ τὸ ῥῆμα ὁρίζεται „ῥῆμά ἐστι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστῶσα"· ὁ δὲ Διονύσιος, ὥς φησιν Ἀπολλώνιος ἐν τῷ ῥηματικῷ, οὕτως ὡρίζετο· ῥῆμά ἐστι λέξις κατηγόρημα σημαίνουσα.

τὰ κεφάλαια διαιρέσεως ἰστέον ὅτι μονόβιβλόν ἐστι τὸ παρὸν σύγγραμμα. Περὶ δὲ τῆς τάξεως ἰστέον ὅτι πρὸ ἄλλων μὲν ἀναγινώσκεται, ὡς ἐν εἰσαγωγῇ παρέχον τὰ τῆς γραμματικῆς θεωρήματα, μετὰ δὲ ὅλα τὰ τεχνικὰ συγγράμματα πράττεται, ἐπειδὴ ἀνακεφαλαίωσίς ἐστι τῶν εἰρημένων ἐν τοῖς τεχνικοῖς συγγράμμασι. διαλαμβάνει γὰρ καὶ περὶ τῶν μερῶν τοῦ λόγου ὡς ἐν συντόμῳ, καὶ περὶ τῶν μέτρων καὶ περὶ στιγμῆς. ἵνα οὖν εἰς ὑπόμνησιν ἔλθωμεν τῶν ἐν πλάτει ἀναγνωσθέντων, τούτου χάριν τὸ παρὸν σύγγραμμα μετὰ πάντα τὰ τεχνικὰ πράττεται. Ἀνάγεται δὲ τὸ κείμενον βιβλίον ὑπὸ τεχνικὸν ὄργανον. πᾶσα γὰρ ψυχικὴ διδασκαλία ὑπὸ τεχνικὸν ὄργανον ἀνάγεται. *)

Ταῦτα, ἐν οἷς σὺν θεῷ καὶ τὰ προλεγόμενα τῆς τέχνης Διονυσίου.

---

*) Τὸ δὲ παρὸν σύγγραμμα πρὸ πάντων ἀναγινώσκεται ὡς ἐν εἰσαγωγῆς τάξει περιέχον πάντα τὰ ὀκτὼ μέρη τοῦ λόγου. καὶ ὅτι περὶ στοιχείων καὶ συλλαβῶν διδάσκων, καὶ λέγων ἃ πρὸ παντὸς ἄλλου δέον ἀναγινώσκεσθαι. Ἐπιγέγραπται γὰρ τὸ παρὸν σύγγραμμα κατὰ μέν τινας περὶ γραμματικῆς, κατὰ δὲ ἑτέρους περὶ κριτικῆς τέχνης· κριτικὴ δὲ λέγεται ἡ τέχνη ἐκ τοῦ καλλίστου μέρους· „ἔκτον" γάρ ἐστι „κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ." κριτικὴ λέγεται, ἐπειδὴ ἐν αὐτῇ τὴν κρίσιν καὶ τὴν ἐξέτασιν τῆς ποσότητος τῶν μερῶν τοῦ λόγου. Διαιρεῖται δὲ εἴς τε τὴν τοῦ ἀναγνωστικοῦ διδασκαλίαν καὶ εἰς τὴν περὶ ῥαψῳδίας, ἔτι εἰς τὴν τῶν ὀκτὼ μερῶν τοῦ λόγου παράδοσιν.

Τεσσάρων δ' ὄντων διδασκαλικῶν τρόπων, διαιρετικοῦ, ὁριστικοῦ, ἀποδεικτικοῦ καὶ ἀναλυτικοῦ, τῷ διαιρετικῷ χρῆται μόνῳ καὶ τῷ ὁριστικῷ. πάντα τε γὰρ τὰ μέρη τοῦ λόγου ὁρίζεται, καὶ ἕν ἕκαστον αὐτῶν διαιρεῖ, τὸ μὲν ὄνομα εἰς κύριον καὶ προσηγορικὸν καὶ ἐπίθετον καὶ τὰ λοιπά, τὸ δὲ ῥῆμα εἰς ὁριστικόν, εἰς προστακτικὸν καὶ τἆλλα.

Ἀνάγεται δὲ τὸ παρὸν βιβλίον ὑπὸ τὸ λογικὸν ὄργανον. πᾶσα γὰρ τεχνικὴ διδασκαλία ὑπὸ λογικὸν ὄργανον ἀνάγεται.

ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΩΝ.

Προσῳδίαι εἰσὶ δέκα, ὀξεῖα, βαρεῖα, περισπωμένη, μακρά, βραχεῖα, δασεῖα, ψιλή, ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή. τούτων εἰσὶ σημεῖα τάδε· ὀξεῖα ΄ οἷον Ζεύς, βαρεῖα ` οἷον Πὰν, περισπωμένη ῀ οἷον πῦρ, βραχεῖα ˘ οἷον γᾶ, μακρὰ ¯ οἷον Δῆμήτριος, δασεῖα ῾ οἷον Ἥρα, ψιλὴ ᾽ οἷον ἄρτος, ἀπόστροφος ᾽ οἷον ἔφατ᾽, ὑφὲν ‿ ὡς πασι μέλουσα, ὑποδιαστολὴ ,

Δία δ᾽ οὐκ ἔχε, νήδυμος ὕπνος.

Διαιροῦνται δὲ αἱ προσῳδίαι εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη.

Τόνοι μὲν οὖν εἰσὶ τρεῖς, ὀξύς, βαρύς, περισπώμενος· χρόνοι δὲ δύο, μακρὸς καὶ βραχύς· πνεύματα δὲ δύο, δασὺ καὶ ψιλόν· πάθη τρία, ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή.

Ἡ ὀξεῖα τόπους ἔχει τρεῖς, ὀξύτονον, παροξύτονον καὶ προπαροξύτονον. τὸ δὲ παροξύτονον καὶ βαρύτονον λέγεται. τὸ δὲ προπαροξύτονον καὶ αὐτὸ βαρύτονον παρατέλευτον λέγεται. καὶ ὀξύτονον μὲν ὄνομα καλεῖται τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον καλός, σοφός· παροξύτονον δὲ τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον Ἰωάννης, Πέτρος· προπαροξύτονον δὲ τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον Γρηγόριος, Θεόδωρος.

Ἡ περισπωμένη τόπους ἔχει δύο, περισπώμενον καὶ προπερισπώμενον. καὶ περισπώμενον μὲν τὸ ἐπὶ τέλους ἔχον τὴν περισπωμένην, οἷον Θωμᾶς, Λουκᾶς, παπᾶς· προπερισπώμενον δὲ τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον κῆπος, δῆμος.

Ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐπὶ τέλους ἐτίθετο. ἀλλ᾽ ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία,

τοῦτο νῦν οὐ γίνεται, ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται. οἷον ἄνθρωπος καλός. ἰδοὺ γὰρ εἰς τὸ ος ἐνταῦθα ἐτέθη ἡ ὀξεῖα, ὅτι ἐπὶ τέλους εὑρέθη. ἐὰν δὲ εἴπῃς καλὸς ἄνθρωπος, ἰδοὺ ὧδε εἰς τὸ ος ἐτέθη ἡ βαρεῖα, ὅτι μετὰ ταῦτα εὑρέθη [τὸ] ἄνθρωπος.

Περὶ δὲ τῆς μακρᾶς καὶ τῆς βραχείας οὐκ ἔστι νῦν πολλὴ χρεία.

Ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον, οἷον ἡμέρα, ὥρα, καὶ εἰς τὰ ὅμοια. Ἡ δὲ ψιλὴ ὁμοίως εἰς γράμμα φωνῆεν ψιλούμενον, οἷον ἀσεβής, ἀδύναμος, ὄνομα, καὶ εἰς τὰ ὅμοια. φωνήεντα δὲ γράμματά ἐστιν ἑπτά, ᾱ, ῑ, ῆ, ῖ, ῐ, ῡ, ῶ.

Ἡ δὲ ἀπόστροφος τίθεται, ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται τὸ ἓν φωνῆεν γράμμα, ὁπηνίκα δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει, οἷον οὐχ' οὕτως οἱ ἀσεβεῖς. ἥρμοζε γὰρ οὐχὶ οὕτως, ἀλλὰ διὰ τὴν καλλιφωνίαν ἐκουφίσθη τὸ ῖ, καὶ ἀντ' αὐτοῦ εἰσῆλθεν ἡ ἀπόστροφος. οὕτω καὶ τὰ ὅμοια.

Ἡ δὲ ὑφὲν τίθεται, ὅταν δύο λέξεις ἐν τῷ ἅμα ὀφείλωσι λέγεσθαι, οἷον φιλόθεος, ἀρχιστράτηγος, καὶ τὰ ὅμοια.

Ἡ δὲ διαστολὴ τίθεται, ὅταν διαστεῖλαι καὶ διαχωρίσαι ὀφείλωμέν τινα λέξιν, οἷον ἔστιν, ἄξιος. μεταξὺ τοῦ ν καὶ τοῦ ᾱ εἰσῆλθεν ἡ διαστολή, ἵνα μὴ ὁ ἀναγινώσκων ἀντὶ τοῦ εἰπεῖν ἔστιν ἄξιος εἴπῃ ἔστι Νάξιος, τουτέστιν ἀπὸ τῆς νήσου Νάξου ἢ Ναξίας. οὕτως καὶ τὰ ὅμοια.

ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΩΝ ΚΑΙ ΑΔΔΩΝ.

Περὶ γραμματικῆς γράφειν προθέμενοι ἀκαιρίας γραφήσεσθαι ὑπειλήφαμεν, τοῦ προτεθέντος ἀφέμενοι, προοιμίοις ἐπιτεταγμένοις καὶ ἀνοικείοις τῇ παρούσῃ

πραγματείᾳ κατασκευαῖς τὴν γραφὴν ἐπιχρωννύμενοι, ὡς τινες ποιεῖν πολλάκις εἰώθασιν ἐπιδείξεως ἕνεκα. Ἴστέον τοίνυν ὡς ὁ Θρᾷξ Διονύσιος, ὁ περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου διδάξας ἡμᾶς, καὶ ἔτι πρὸ τούτων περὶ στοιχείου καὶ συλλαβῆς καὶ λέξεως, οὐκ ἀπὸ τῆς προσῳδίας ἤρξατο, ἀλλ' ἀπὸ τοῦ ὅρου τῆς γραμματικῆς· τὰ δὲ περὶ προσῳδίας ἕτερός τις, τούτου μεταγενέστερος, διὰ τοὺς ἄρτι τῆς γραμματικῆς ἀρχομένους ἀναγκαίως ἐδίδαξε. δεῖ οὖν ἡμᾶς μὴ ἀπὸ τῆς τοῦ Διονυσίου τεχνολογίας τῆς ἐξηγήσεως ἄρξασθαι, ἀλλ' ἀπὸ τῆς προσῳδίας· καὶ πρῶτον μὲν ἐκθεμένους τὸν ὅρον τῆς προσῳδίας, διασαφῆσαι τοῦτον, εἶτα καὶ περὶ πάντων εἰπεῖν εἰς ἃ διαιρεῖται, τόνων τε καὶ χρόνων καὶ πνευμάτων, ἔτι δὲ καὶ παθῶν· μετὰ ταῦτα δὲ περὶ τέχνης καὶ τῶν ἑξῆς ὅλων.

Ὁρίζονται οὖν τὴν προσῳδίαν οὕτως· προσῳδία ἐστὶ ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς, κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν, ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένης, ἤτοι κατὰ τὸν ἀναλογικὸν ὅρον καὶ λόγον. Τοῦτον δὲ τὸν ὅρον Ἡρωδιανὸς ἐν τῷ περὶ καθόλου προσῳδιῶν ὡρίσατο.

Ἴστέον δὲ ὅτι οἱ ὁρισμοὶ ἀπὸ γένους καὶ διαφορῶν συνεστήκασι. Κἀνταῦθα γοῦν τὸ μὲν τάσις ἀντὶ γένους ἐστί — καὶ γὰρ καθολικόν τί ἐστιν ἡ τάσις, καὶ κατὰ πλειόνων φέρεται· λέγεται γὰρ καὶ ἐπὶ χειρὸς καὶ ποδὸς καὶ ἄλλων μερῶν τε καὶ μορίων τοῦ σώματος, καὶ ἐπ' ἄλλων πολλῶν —· τὸ δὲ ποιά καὶ τὰ λοιπὰ διαφοραί.

Ἡ προσῳδία οὖν, φησί, τάσις ἐστὶ φωνῆς ποιά, ἤγουν ποιότητά τινα ἔχουσα ἤχου· ἢ γὰρ ἐπιτεταμένη ἐστίν, ἢ ἀνειμένη, ἢ μέση.

Ἐπειδὴ δὲ διττή ἐστιν ἡ φωνή — ἢ γὰρ ἔναρθρός ἐστιν ἤγουν ἐγγράμματος, ὡς ἡ ἐκ διανοίας ἀνθρωπίνης

προβαλλομένη, ἢ ἄναρθρος, τουτέστι μὴ δυναμένη γραφῆναι, ὡς ἡ τῶν ἀλόγων ζώων καὶ ὁ ἦχος ὁ ἀπὸ σιδήρου ἢ ξύλου ἤ τινος τοιούτου γινόμενος· ἔστι δὲ καὶ τούτων ἑκατέρα διττή· ἡ γὰρ σημαντική ἐστιν ἢ ἀσήμαντος· καὶ ἄναρθρος μὲν σημαντικὴ ὡς ἡ τοῦ κυνὸς ὑλακή (σημαίνει γὰρ παρουσίαν τινὸς ἐπιδημήσαντος), ἄναρθρος δὲ ἀσήμαντος ὡς ὁ ἐκ λίθων ἦχος γινόμενος, ἔναρθρος δὲ ἀσήμαντος ὡς τὸ σκινδαψός (τοῦτο γὰρ ἀσήμαντόν ἐστιν, ἐπειδὴ οὐ τίθεται κατὰ πράγματος· οὐδὲ γὰρ ἔστι τι λεγόμενον σκινδαψός), ἔναρθρος δὲ σημαντικὴ ὡς ὕδωρ, θάλασσα καὶ ὅσαι κατὰ πραγμάτων φωναὶ τίθενται — ἐπειδὴ οὖν καὶ ἄναρθροί εἰσι φωναὶ τάσιν ἔχουσαι, ὡς αἱ ἀπὸ σιδήρων καὶ ξύλων, ἃς καὶ κυρίως οὐκ ἂν εἴποιμεν φωνάς, διὰ τοῦτο προσέθηκεν „ἐγγραμμάτου." Πάλιν δὲ ἐπεί, ὡς εἰρήκαμεν, εἰσὶ μὲν ἐγγράμματοι φωναί, οὐ δηλοῦσι δέ τι, τούτου χάριν εἶπεν „ὑγιοῦς" ἤγουν σημαινούσης τι. Ἐν πολλοῖς δὲ βιβλίοις εὑρίσκεται καὶ „ὑγιής," ἵνα πρὸς τὴν τάσιν ἀναφέρηται· ἡ γὰρ πεποιωμένη, φησί, τάσις οὐχ ὡς ἔτυχεν ὀφείλει ἐκφέρεσθαι, ἀλλὰ πάντως ὑγιῶς καὶ ὀρθῶς. ὅθεν σαφέστερον δηλῶν τίς ἐστιν ὑγιὴς τάσις, ἐπήγαγε „κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη." ἐκείνη γάρ ἐστι τάσις ὀρθή, ἥ τις κατὰ ἀπαγγελίαν ἤτοι σημασίαν τῆς λέξεως ἐκφέρεται. οἷον τὸ ΑΓΝΟΣ εἰ μὲν σημαίνει τὸν καθαρόν, ὀξύνεται· εἰ δὲ σημαίνει τὴν βοτάνην, παροξύνεται. πάλιν τὸ ΑΡΓΟΣ εἰ μὲν σημαίνει τὸν ῥάθυμον, ὀξύτεται· εἰ δὲ βαρύνεται, σημαίνει ὄνομα τόπου καὶ κυνὸς καὶ ἀνδρός. πρέπει οὖν, φησί, τὴν ποιὰν τάσιν τὴν ἐγγράμματον τὴν σημαίνουσάν τι, ὡς ἡ σημασία τῆς λέξεως ἀπαιτεῖ, ἐκφέρεσθαι. Τὸ δὲ „μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν" τοῦτο δηλοῖ, ὅτι οὔτε χρόνος χωρὶς τόνου εὑρίσκεται, οὔτε τόνος χωρὶς χρόνου· ἀλλ' οὐδὲ πνεῦμα πάλιν αὐτὸ καθ' ἑαυτὸ

ἐκφέρεται τούτων ἄτερ. οἷον ἥλιος. ἰδοὺ γὰρ καὶ χρόνος μακρὸς τὸ ῑ, καὶ μετὰ δασέος ἐξενήνεκται, καὶ ἐπάνω τῆς μακρᾶς ἐτέθη ἡ ὀξεῖα. εἰ γοῦν καὶ χωρὶς πνεύματος τόνος εὑρίσκεται, ὡς Πέτρος, ἀλλ' οὐ χρόνου. ὥσπερ οὐδὲ χρόνος ἄνευ τόνου. ὡς γὰρ ἐροῦμεν προϊόντες, οὐκ ἦν συλλαβὴ ἡ μὴ ἐπιδεχομένη τόνον κατὰ τοὺς παλαιοὺς τῶν γραμματικῶν. „Συνεζευγμένα" οὖν ὀνομάζει τούς τε τόνους καὶ τοὺς χρόνους, ἔτι γε μὴν καὶ τὰ πνεύματα, ὅτι ταῦτα πάντα καὶ τὸν τῆς προσῳδίας ὅρον ἐπιδέχονται καὶ προσῳδίαι καλοῦνται. Τὸ δὲ „ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένης, ἤτοι κατὰ τὸν ἀναλογητικὸν ὅρον" εἰπών, τοὺς τρόπους διδάσκει, καθ' οὓς αἱ προσῳδίαι ἐκφέρονται. ἢ γάρ φησι κατὰ διάλεκτον προάγονται, ἢ κατὰ ἀναλογίαν καὶ κανόνα. οἷον τὸ μὲν ὁμοῖος κατὰ ἀναλογίαν ἐκφέρεται, δάτι τὰ διὰ τοῦ οιος ἅπαντα προπερισπώμενα, ἑτεροῖος, γελοῖος, ἀλλοῖος. διὰ τοῦτο καὶ Ὅμηρος, τῇ ἀναλογίᾳ χρησάμενος, ὡς αἰεί φησι τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. οἱ δὲ Ἀττικοὶ ὅμοιος λέγουσι. πάλιν ἡμεῖς μὲν ἀναλόγως τρόπαιον λέγομεν ὡς σπήλαιον, σύλαιον· ὁ δὲ Θουκυδίδης τροπαῖον Ἀττικῶς. καὶ τὸ Ἀχιλλεύς δὲ καὶ Πηλεύς καὶ τὰ ὅμοια ἡμεῖς μὲν ὀξύνομεν, οἱ δὲ Αἰολεῖς βαρύνουσιν. οὕτω καὶ τὸ εἴρκτή οἱ μὲν Ἀττικοὶ δασύνουσιν, ἡμεῖς δὲ ψιλοῦμεν, καὶ τὸ Ἀπόλλων ἡμεῖς μὲν ἀναλόγως συστέλλομεν, οἱ δὲ Ἀττικοὶ ἐκτείνουσιν, ὡς τὸ

Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ.

Ἰστέον δὲ ὅτι οὐ τοὺς τόνους μόνον ὡρίσατο, καὶ τούτους προσῳδίας ἐκάλεσεν, ὡς τισιν ἔδοξε, πλανηθεῖσιν ἐκ τοῦ εἰπεῖν ποιὰ τάσις, ἀλλὰ καὶ τοὺς χρόνους καὶ τὰ πνεύματα. καὶ γὰρ καὶ οἱ χρόνοι τάσιν ἔχουσι, καθὸ ὁ μὲν ἐκτείνεται, ὁ δὲ συστέλλεται· καὶ τὰ πνεύματα δέ, ἐπεὶ τὸ μὲν ἐκ τοῦ θώρακος πρόεισιν ἐπιτεταμένως, τὸ δὲ ἐξ ἄκρων τῶν χειλέων συνεσταλμένως.

Ἀλλὰ γὰρ ἐπεὶ τὸν τῆς προσῳδίας ὅρον ὡς οἷόν τε ἐξηγησάμεθα, φέρε δὴ καὶ εἰς πόσα διαιρεῖται ἡ προσῳδία εἴπωμεν. Διαιρεῖται τοίνυν ἡ προσῳδία, φησίν, εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη. 5

Ζητητέον, κατὰ ποῖον τρόπον τῆς διαιρέσεως διαιρεῖται ἡ προσῳδία εἰς τέσσαρα. ὀκταχῶς γὰρ γίνεται ἡ διαίρεσις. Ἔστι γὰρ καὶ ἀπὸ γένους εἰς εἴδη, ὡς τὸ ζῶον εἰς ἄνθρωπον καὶ ἵππον, ἢ τὸ φυτὸν εἰς ἐλαίαν καὶ ἄμπελον. Καὶ ἀπὸ εἴδους εἰς ἄτομα, ὡς ὁ ἄνθρω- 10 πος εἰς τοὺς κατὰ μέρος ἀνθρώπους, εἰς Σωκράτην καὶ Πλάτωνα. Καὶ ἀπὸ ὅλου εἰς μέρη, καὶ αὕτη διχῶς· ἢ γὰρ εἰς ὁμοιομερῆ γίνεται ἡ διαίρεσις, ἢ εἰς ἀνομοιομερῆ. καὶ εἰς ὁμοιομερῆ μὲν τέμνεται τὸ ὅλον, ὅταν καὶ τοῦ ὀνόματος τοῦ ὅλου καὶ ἀλλήλων μετέχωσι τὰ μέρη 15 καὶ τοῦ ὁρισμοῦ. οἷον ὁ μέγας λίθος τέμνεται εἰς μικρὰ λιθίδια, ἅ τινα ἔχει καὶ τὸ ὄνομα τοῦ ὅλου λίθου καὶ ἀλλήλων τὸν ὁρισμόν. καὶ πάλιν ὅταν τὴν φλέβα τέμῃς εἰς μικρὰς φλέβας· καὶ γὰρ ἑκάστη τούτων ὁμωνύμως τῷ ὅλῳ φλὲψ λέγεται. εἰς ἀνομοιομερῆ δέ, ὡς 20 ὅταν τὴν κεφαλὴν διέλωμεν εἰς ὦτα, ῥῖνα, ὀφθαλμούς. ταῦτα γὰρ οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγομεν (οὔτε γὰρ τὰ ὦτα λέγονται κεφαλή, οὔτε ἡ ῥίν, οὔτε οἱ ὀφθαλμοί), οὔτε δὲ ἀλλήλοις ὁμωνύμως λέγονται (οὔτε γὰρ τὸ οὖς λέγεται ῥίν, οὔτε ἡ ῥὶν ὀφθαλμός). Ἀπὸ ὁμωνύμου δὲ 25 φωνῆς εἰς διάφορα σημαινόμενα, ὡς ἡ κύων φωνὴ διαιρεῖται εἴς τε τὸν θαλάττιον κύνα καὶ τὸν χερσαῖον καὶ τὸν ἀστρῷον. Ἀπὸ οὐσίας δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν ἀνθρώπων οἱ μὲν λευκοί, οἱ δὲ μέλανες· ἐνταῦθα γὰρ εἰς τὸ λευκὸν καὶ τὸ μέλαν, ἅ τινα 30 συμβεβηκότα εἰσίν, ἐγένετο ἡ διαίρεσις. Ἀπὸ συμβεβηκότος δὲ εἰς οὐσίας, ὡς ὅταν εἴπωμεν ὡς ὅτι τοῦ λευκοῦ τὸ μέν ἐστι χιών, τὸ δὲ ψιμύθιον, τὸ δὲ κύκνος·

ἀπὸ γὰρ τοῦ λευκοῦ, ὅ πέρ ἐστι συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς χιόνα καὶ κύκνον καὶ ψιμύθιον, ἅ τινα οὐσίαι εἰσίν. Ἀπὸ συμβεβηκότος δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν λευκῶν τὰ μέν ἐστι θερμά, τὰ δὲ ψυχρά, καὶ θερμὰ μὲν ὡς ἐπὶ τῆς ἀσβέστου, ψυχρὰ δὲ ὡς ἐπὶ τῆς χιόνος· ἰδοὺ γὰρ ἐνταῦθα ἀπὸ τοῦ λευκοῦ, ὅ πέρ ἐστι συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς θερμὸν καὶ ψυχρόν, ἅ τινα καὶ αὐτὰ συμβεβηκότα εἰσίν. Ἀφ' ἑνὸς δὲ καὶ πρὸς ἕν, ὡς ὅταν ἀπὸ τῆς ἰατρικῆς εἴπωμεν ἰατρικὸν βιβλίον, ἰατρικὸν φάρμακον, ὑγιεινὴ ἔμπλαστρος· πρὸς ἓν γὰρ πρᾶγμα, τὴν ὑγίειαν, ἀφορῶντες ὀνομάζομεν αὐτά.

Ὀκταχῶς οὖν γινομένης τῆς διαιρέσεως, ζητητέον, κατὰ ποῖον τρόπον γίνεται τῆς προσῳδίας ἡ διαίρεσις ἢ εἰς τόνους, εἰς χρόνους καὶ τὰ λοιπά.

Τινὲς μὲν οὖν λέγουσιν, ὅτι ἀπὸ ὁμωνύμου φωνῆς ἐστὶν ἡ διαίρεσις εἰς διάφορα σημαινόμενα. Οὐ καλῶς δὲ λέγουσι, διότι ἐπὶ τῶν ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα διαιρουμένων οὐχ εὑρίσκεταί τι κοινόν, οὗ τὸν ὁρισμὸν ἐπιδέξονται πάντα. οἷον ὁ ἀστρῷος κύων οὐκ ἐπιδέξεται τοῦ ζώου τὸν ὁρισμόν. ἐνταῦθα δὲ καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα καὶ οἱ τόνοι ἐπιδέχονται τὸν ὁρισμὸν τῆς προσῳδίας, πλὴν τῶν παθῶν, ἅ τινα οὐδὲ προσῳδίαι εἰσίν, ὡς προϊόντες δείξομεν.

Ἕτεροι δὲ πάλιν φασὶν ὅτι ἀπὸ ὅλου γέγονεν εἰς μέρη ὁμοιομερῆ ἡ διαίρεσις, ἐπεὶ καὶ τὸν ὁρισμὸν τοῦ ὅλου ἐπιδέχονται καὶ τὸ ὄνομα. καὶ γὰρ προσῳδίαι καλοῦνται καὶ οἱ τόνοι καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα, καὶ τῆς προσῳδίας τὸν ὁρισμὸν ἐπιδέχονται. Ἀλλὰ καὶ οὗτοι οὐ πιθανῶς λέγουσι. διὰ τί; ὅτι πάντα τὰ ἀπὸ ὅλων εἰς μέρη ὁμοιομερῆ διαιρούμενα οὐ μόνον τοῦ ὅλου τὸν ὁρισμὸν καὶ τὸ ὄνομα ἐπιδέχονται, ἀλλὰ καὶ ἀλλήλων. ἐνταῦθα δὲ οἱ τόνοι οὐ καλοῦνται χρόνοι, οὐδὲ οἱ χρό-

νοι τόνοι· οὐδὲ τὸν ὁρισμὸν ἀλλήλων ἐπιδέχονται. Ἀλλ' οὐδὲ εἰς ἀνομοιομερῆ μέρη ἐστὶν ἡ διαίρεσις, διότι τὰ ἀνομοιομερῆ οὔτε ἀλλήλοις οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγονται, ἀλλ' οὐδὲ τὸν ὁρισμὸν ἐπιδέχονται τοῦ ὅλου. οἷον ἡ χεὶρ οὐκ ἂν κληθείη ἄνθρωπος, οὐδὲ τὸν ὁρισμὸν τοῦ ἀνθρώπου δέξεται. 5

Ἔτι δὲ οὐδὲ ὡς γένος εἰς εἴδη διαιρεῖται ἡ προσῳδία εἰς τόνους καὶ τὰ λοιπά. εἰ γὰρ καὶ τὸν ὁρισμὸν ἐπιδέχονται καὶ τὸ ὄνομα τῆς προσῳδίας οἱ τόνοι τε καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα, ὥσπερ τὰ εἴδη τοῦ γένους, ἀλλ' ἐπειδὴ τὰ εἴδη ὁλόκληρόν τι ἀποτελοῦσιν — οἷον ὁ ἐπιστάμενος ἓν μόνον εἶδος τῆς ῥητορικῆς, τουτέστι τὸ δικανικὸν ἢ καὶ τὸ συμβουλευτικὸν ἢ τὸ πανηγυρικόν, τέλειος ῥήτωρ ἐστίν, ὡς ὁ Γοργίας τὸ δικανικὸν μόνον εἰδώς, ὥς λέγουσιν —, ἐνταῦθα δὲ ὁ ἐπιστάμενος τοὺς τόνους μόνους ἀκριβῶς, οὐχὶ καὶ τοὺς χρόνους καὶ τὰ πνεύματα, οὐκ ἔστι τέλειος γραμματικός, εὔδηλον ὅτι οὐδὲ ἀπὸ γένους ἐστὶν ἡ διαίρεσις ἐνταῦθα εἰς εἴδη. 10 15

Ἠλέγχθησαν οὖν οἱ τρεῖς τρόποι οὗτοι τῆς διαιρέσεως μὴ ἐφαρμόζοντες ἐνταυθοῖ. οἱ γὰρ λοιποὶ πέντε τρόποι τῆς διαιρέσεως πάντη ἀπᾴδουσιν, ἄλλως τε οὐδὲ εἰσὶ κυρίως τρόποι διαιρετικοί. 20

Οὐ δύναται γὰρ ἀπὸ εἰδῶν εἰς ἄτομα γίνεσθαι διαίρεσις, ἐπειδὴ τὰ ἄτομα ἄπειρά εἰσι. καὶ γὰρ οἱ κατὰ μέρος ἄνθρωποι ἄπειροί εἰσι καὶ ἀπερίληπτοι, ἄπειροι δὲ ὄντες καὶ ἀπερίληπτοι οὐ δύνανται διαιρέσει καθυποβληθῆναι. ἐν ὕσῳ γὰρ θέλει τις διαιρέσει τοὺς ἐν τῇδε τῇ πόλει ἀνθρώπους καθυποβάλλειν, οἱ μὲν γεννῶνται, οἱ δὲ φθείρονται, καὶ οὐδέποτε τοῦ τέλους ἐφικνεῖται. 25 30

Ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς οὐσίαν γίνεται διαίρεσις. τὸ γὰρ λέγειν ὅτι τοῦ λευκοῦ τὸ μέν ἐστι κύκνος, τὸ δὲ ψιμύθιον, τὸ δὲ χιών, οὐκ ἔστι διαίρεσις

συμβεβηκότος εἰς οὐσίας. οὐδὲ γὰρ τὸ λευκὸν τὸ καθ' αὐτὸ θεωρούμενον διεῖλον, ἀλλὰ τὸ σῶμα τὸ λευκόν, ὅ πέρ ἐστιν οὐσία. οὐδὲ γὰρ δύναμαι τὴν λευκότητα διελεῖν εἰς ψιμύθιον καὶ κύκνον καὶ χιόνα, ἐπειδὴ ἡ λευκότης συμβεβηκός ἐστι, ταῦτα δὲ οὐσίαι εἰσίν, οὐ δύναται δὲ τὸ συμβεβηκὸς εἰς οὐσίας διαιρεῖσθαι. καὶ γὰρ τὸ διαιρούμενον εἰς ὅμοια θέλει διαιρεῖσθαι, οὐκ εἰς ἀνόμοια. οἷον τὸ ζῶον εἰς ζῶα διαιρεῖται, οὐ μὴν εἰς μὴ ζῶα· καὶ τὸ λογικὸν εἰς λογικά, οὐ μὴν εἰς ἄλογα· καὶ τὸ θνητὸν εἰς θνητά, οὐ μὴν εἰς ἀθάνατα. πῶς οὖν τὸ συμβεβηκὸς εἰς οὐσίας δύναται διαιρεῖσθαι;

Ἀλλ' οὔτε δὲ ἀπὸ οὐσίας εἰς συμβεβηκότα γίνεται διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσι λευκοί, οἱ δὲ μέλανες, οὐκ ἔστι διαίρεσις ἀπὸ οὐσίας εἰς συμβεβηκότα, ἀλλ' ἀπὸ οὐσίας εἰς οὐσίας ἐχούσας συμβεβηκότα. εἰς γὰρ ἀνθρώπους μέλανας καὶ λευκοὺς ἐγένετο ἡ διαίρεσις, οἵ τινες οὐσίαι εἰσίν.

Ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται διαίρεσις. ἡ γὰρ ἀπὸ γένους εἰς εἴδη γίνεται ἡ διαίρεσις, ὡς ὅταν εἴπωμεν ὅτι το χρῶμα διαιρεῖται εἰς λευκὸν καὶ μέλαν· τὸ δὲ τοιοῦτον ἀνάγεται ὑπὸ τὸν διαιρετικὸν τρόπον τὸν ἀπὸ γένους εἰς εἴδη ἢ ἀπὸ οὐσίας εἰς οὐσίας, καὶ οὐκέτι ὡς ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται ἡ διαίρεσις. τὸ γὰρ λέγειν ὅτι τῶν λευκῶν τὰ μὲν θερμά εἰσι, τὰ δὲ ψυχρά, ἀπὸ οὐσίας εἰς οὐσίας διαίρεσίς ἐστι· τὸ γὰρ σῶμα τὸ λευκόν, ὅπερ οὐσία ἐστί, διεῖλον εἰς σῶμα θερμὸν καὶ ψυχρόν, καὶ αὐτὰ δὲ οὐσίαι εἰσίν. οὐδὲ γὰρ δυνατὸν τὸ λευκὸν καθ' ἑαυτὸ θεωρούμενον, ἤγουν τὴν λευκότητα, διελεῖν εἰς σῶμα θερμὸν καὶ ψυχρόν, ἐπειδὴ τὸ λευκὸν καθ' ἑαυτὸ θεωρούμενον οὔτε θερμόν ἐστιν οὔτε ψυχρόν.

Ἀλλ' οὔτε δὲ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν ἐστι διαίρεσις, ἀλλ' ἀπαρίθμησις. τὰ γὰρ ἀφ' ἑνὸς καὶ πρὸς ἕν

ἀόριστα καὶ ἀπερίληπτά εἰσι. δυνατὸν γὰρ εἰπεῖν ἰατρικὸν βιβλίον, ἰατρικὴ δίαιτα, ἰατρικὴ ἐμπλαστρος, ἰατρικὸς οἶκος, ἰατρικὸν ἔλαιον καὶ ἄλλα ἄπειρα· καὶ πάλιν ὑγιεινὸς οἶνος, ὑγιεινὴ δίαιτα, ὑγιεινὸν βιβλίον. ἄπειρα δὲ καὶ ἀπερίληπτα ὄντα πῶς δύνανται διαιρέσει καθυποβληθῆναι; 5

Ὥστε οὖν κυρίως τρεῖς τρόποι εἰσὶ μόνοι διαιρετικοί, ὁ ἀπὸ γένους εἰς εἴδη, ὁ ἀπὸ ὅλων εἰς μέρη, ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα.

Τούτων οὕτως ἐχόντων, καὶ ὑπ' οὐδεμίαν διαίρεσιν 10 ἀναγομένης τῆς προσῳδίας, λέγει ὁ Φιλόπονος, ὃς καὶ περὶ τῆς προσῳδίας διαλαμβάνει ἐν ἰδίῳ βιβλίῳ, ὡς οὐκ ἔστιν αὕτη διαίρεσις ἀλλ' ὑποδιαίρεσις. διαίρεσις γάρ ἐστι τῆς γραμματικῆς, ὡς ὅλου εἰς μέρη, εἰς ταῦτα τὰ τέσσαρα, τὸ ἀναγνωστικόν, τὸ ἐξηγητικόν, τὸ διορθωτι- 15 κόν, τὸ κριτικόν. πάλιν τὸ ἀναγνωστικὸν ὑποδιαιρεῖται εἰς ὑπόκρισιν, εἰς προσῳδίαν καὶ διαστολήν, ὡς αὐτὸς ὁ Διονύσιος διδάσκει, λέγων „ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν." ἡ δὲ προσῳδία πάλιν ὑποδιαιρεῖται εἰς τόνους, εἰς χρόνους, εἰς 20 πνεύματα, εἰς πάθη.

Χρὴ δὲ γινώσκειν ὅτι τὰ πάθη οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς. πρῶτον μὲν γὰρ αἱ ἑπτὰ προσῳδίαι ἐπάνω φωνηέντων τίθενται, τῶν δὲ τριῶν τούτων ἡ μὲν μία, ἡ ἀπόστροφος, ἐπάνω συμφώνου τί- 25 θεται, οἷον ἐπ' ἐμοῦ καὶ οὐχ' οὕτως· ἰδοὺ γὰρ ἐπὶ τοῦ π καὶ τοῦ χ ἐτέθη ἡ ἀπόστροφος· ἡ δὲ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ ὑποκάτω τίθεται, οἷον φιλόθεος, Διομήδης, καὶ πάλιν ἔστιν, οὗς. εἶτα τὰ μὲν τρία ταῦτα οὐκ ἐγένοντο ἀπὸ στοιχείων, αἱ δὲ ἑπτὰ προσῳδίαι ἀπὸ στοι- 30 χείων τὴν γένεσιν ἔχουσιν· ἡ μὲν γὰρ ὀξεῖα καὶ βαρεῖα ἀπὸ τοῦ Λ στοιχείου, ἡ δὲ περισπωμένη καὶ ἡ μακρὰ καὶ ἡ βραχεῖα ἀπὸ τοῦ Θ, ἡ δὲ δασεῖα καὶ ἡ ψιλὴ

ἀπὸ τοῦ Η. ἔτι οὐδὲ ὁ ὅρος τῆς προςῳδίας ἐφαρμόζει τοῖς πάθεσι. Πῶς οὖν καλοῦνται προςῳδίαι τὰ πάθη; Ὁμωνύμως λέγονται, καὶ οὐ συνωνύμως. ὁμώνυμα γὰρ λέγονται ἐκεῖνα, ὧν τὸ ὄνομα μόνον κοινόν ἐστιν, ὁ δὲ ὁρισμὸς διάφορος, ὥςπερ ὁ ἄνθρωπος ὁ ζῶν καὶ ὁ γεγραμμένος· τὸ μὲν γὰρ ὄνομα τοῦ ζῶντος ἔχει ὁ ἐπὶ τοῦ τοίχου γραφεὶς ἄνθρωπος, οὐ μέντοι καὶ ζῶόν ἐστι λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἐπεὶ γοῦν πρὸς τὰ πάθη ᾄδονται αἱ φωναί, ἤγουν κατὰ τὰ πάθη, διὰ τοῦτο καλοῦνται προςῳδίαι. οἷον τί φημι; οὐ λέγω οὐχὶ οὕτως, ἀλλὰ βλέπων τὴν ἀπόστροφον λέγω οὐχ οὕτως· καὶ πάλιν τὸ χειρίσοφος οὐ λέγω χειρὶ σοφός; ἀλλ' ὁρῶν τὴν ὑφὲν ἀναγινώσκω χειρίσοφος. ὁμοίως καὶ ἐπὶ τοῦ ἔστιν, ἄξιος πείθει με ἢ ὑποδιαστολὴ ἄξιος ἀναγινώσκειν καὶ μὴ Νάξιος. Ὥςτε κατὰ τὴν ἐτυμολογίαν μόνον λέγονται τὰ πάθη προςῳδίαι, οὐχὶ κατὰ τὸν ὅρον. διὰ γὰρ τὸ πρὸς αὐτὰς ᾄδεσθαι τὰς φωνὰς εἴρηνται καὶ αὐτὰ προςῳδίαι.

„Τόνοι μὲν οὖν εἰσὶ τρεῖς, ὀξύς, βαρύς, περισπώμενος." Τῆς προςῳδίας ὑποδιαιρέσεις εἰσὶ τέσσαρες. πάλιν ἕκαστον τῶν τεσσάρων ὑποδιαιρεῖται, οἱ μὲν τόνοι καὶ τὰ πάθη εἰς τρία, τὰ δὲ πνεύματα καὶ οἱ χρόνοι εἰς δύο.

„Τόνος οὖν ἐστὶν ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν, εὐφωνίαν ἔχουσα." τὸ μὲν οὖν ἐπίτασις ἐτέθη ἐν τῷ ὁρισμῷ διὰ τὴν ὀξεῖαν, τὸ δὲ ἄνεσις διὰ τὴν βαρεῖαν, τὸ δὲ μεσότης διὰ τὴν περισπωμένην.

„Καὶ ἔστι πάλιν ἡ μὲν ὀξεῖα ποιότης συλλαβῆς ἐπιτεταμένον ἔχουσα φθόγγον, ἡ δὲ βαρεῖα ποιότης συλλαβῆς ἀνειμένον ἔχουσα φθόγγον, ἡ δὲ περισπωμένη ποιότης συλλαβῆς συνημμένον ἢ κεκλασμένον ἔχουσα φθόγγον". εἶπε δὲ συνημμένον τὸν μετέχοντα καὶ ὀξείας καὶ βαρείας, κεκλασμένον δὲ τὸν ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ῥέποντα.

Ἔστιν

Ἔστιν οὖν ἐπὶ τῶν τριῶν τόνων τὸ μὲν ποιότης συλλαβῆς ἀντὶ γένους, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν ἰδίων. ἀρκεῖν γάρ φησιν ὁ Ἀριστοτέλης καὶ μίαν διαφοράν, τὴν τῷ ὁριστῷ μόνῳ ἁρμόζουσαν. οἷον τί φημι; ἐὰν εἴπῃ τις ἄνθρωπός ἐστι ζῶον νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἀρκούντως ὡρίσατο. διὰ τί; ὅτι ἡ διαφορὰ αὕτη, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἑνὶ μόνῳ ἁρμόζει τῷ ἀνθρώπῳ. 5

Ὁ δὲ Κοϊντιλιανὸς Ἀριστείδης, ἐν τῷ περὶ μουσικῆς πρώτῳ, δύο εἶναί φησιν εἴδη τάσεως, ἄνεσίν τε καὶ ἐπίτασιν. καὶ ἄνεσιν μὲν εἶναι λέγει, ἡνίκα ἂν ἀπὸ ὀξυτέρου τόνου ἐπὶ βαρύτερον ἡ φωνὴ χωρῇ, ἐπίτασιν δέ, ὅταν ἐκ βαρυτέρου μεταβαίνῃ πρὸς ὀξύτερον. ἐκ δὴ τούτων τὰ γινόμενα τὸ μὲν βαρύτονον, τὸ δὲ ὀξύτονον προσαγορεύομεν. γίνεται δὲ ἡ μὲν βαρύτης κάτωθεν ἀναφερομένου τοῦ πνεύματος, ἡ δ' ὀξύτης ἐπιπολῆς προϊεμένου, ὡς οἱ μουσικοί φασιν. 10 15

„Ἡ ὀξεῖα τόπους ἔχει τρεῖς, ὀξύτονον, παροξύτονον καὶ προπαροξύτονον." Τὴν ὀξεῖαν φησι τίθεσθαι ἐπὶ τριῶν συλλαβῶν, ἐπὶ τῆς τελευταίας, ἐπὶ τῆς παρατελεύτου καὶ ἐπὶ τῆς πρὸ δύο συλλαβῶν. καὶ ὅταν μὲν τιθῆται ἐπὶ τέλους, τότε λέγομεν ὀξύνεσθαι τὴν λέξιν· ὅταν δὲ ἐπὶ τῆς πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους, παροξύτονον ἅμα λέγομεν τὴν λέξιν καὶ βαρύτονον, παροξύτονον μὲν ὅτι ἐπὶ τῆς παραληγούσης τίθεται ἡ ὀξεῖα, βαρύτονον δὲ ὅτι ἐπὶ τέλους τίθεται ἡ βαρεῖα. ὥσπερ γὰρ ὀξύτονον λέγομεν τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, οὕτω καὶ βαρύτονον τὸ ἐπὶ τέλους ἔχον τὴν βαρεῖαν· καὶ γὰρ μετὰ τὴν ὀξεῖαν τὴν πρὸ τοῦ τέλους τιθεμένην ἐτίθετο ἡ βαρεῖα. οἷον τὸ Αἰὰς καλεῖται καὶ παροξύτονον καὶ βαρύτονον, παροξύτονον μὲν διότι πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους τίθεται ἡ ὀξεῖα, βαρύτονον δὲ διότι ἐπὶ τέλους τίθεται ἡ βαρεῖα. Εἰ δὲ πρὸ δύο συλλαβῶν τοῦ τέλους 20 25 30

τεθείη ἡ ὀξεῖα, τότε ἡ λέξις λέγεται καὶ προπαροξύτονος καὶ βαρύτονος παρατέλευτος, προπαροξύτονος μὲν διότι ἐπὶ τῆς προπαραληγούσης ἐδέξατο τὸν τόνον, παρατέλευτος δὲ βαρύτονος διότι οὐ μόνον εἰς τὴν τελευταίαν συλλαβὴν ἐτέθη ἡ βαρεῖα, ἀλλὰ καὶ εἰς τὴν παρατελευταίαν, οἷον Θεόδωρος. οὐ μόνον γὰρ ἐνταῦθα τὸ ρος ἔσχε τὴν βαρεῖαν, ἀλλὰ καὶ τὸ δω, ὡς προϊόντες διδάξομεν. διὰ τοῦτο καὶ ἡ τοιαύτη λέξις βαρύτονος παρατέλευτος ἐκαλεῖτο, ὡς ἐπὶ τῆς παραληγούσης κειμένης τῆς βαρείας. Οὗτοι μὲν οὖν εἰσὶν οἱ τρεῖς τῆς ὀξείας τόποι.

Ἀπορήσειε δ' ἄν τις, διὰ τί μὴ ἐστι τάσις πρὸ τριῶν συλλαβῶν. Λέγομεν οὖν πρῶτον, ὅτι ἀδύνατόν ἐστιν ἐκταθῆναι τὴν φωνὴν πέραν τοῦ τοιούτου μέτρου, ἤτοι πρὸ τριῶν συλλαβῶν ὀξυνθῆναι. ἔπειτα οὐδὲ λέξις Ἑλληνικὴ θεματικὴ ἁπλῆ πρωτότυπος ὑπερβαίνει ποτὲ τὴν τρισυλλαβίαν. καὶ Ἑλληνικὴ μὲν εἴρηται διὰ τὰ Ἑβραϊκά, οἷον Ἰωάννης· θεματικὴ δὲ διὰ τὸ ἐφίλησα· ἁπλῆ δὲ διὰ τὸ Μενέλαος, Θεόδωρος· πρωτότυπος δὲ διὰ τὸ Γεώργιος· ἀπὸ γὰρ τοῦ γεωργῶ παράγεται. μηδέποτε οὖν τετρασυλλάβου λέξεως εὑρισκομένης τοιαύτης, πῶς ἔμελλε γενέσθαι τάσις πρὸ τριῶν συλλαβῶν;

Ζητεῖται δὲ καὶ τοῦτο, διὰ τί μακρᾶς οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις. Ἢ ὅτι ἡ μακρὰ φορτίου τάξιν ἔχει καὶ βάρους. ὁ γάρ τοι τῆς μακρᾶς φθόγγος δυσκίνητός τίς ἐστιν, ὁ δὲ τῆς βραχείας εὐσταλής. ὥσπερ οὖν οἱ τὰ φορτία ἐν τοῖς ποσὶ περικείμενοι οὐ δύνανται ταθῆναι εἰς δρόμον, εἰ δὲ ἐπὶ τοῦ ὤμου βαστάζουσί τι δύνανται τρέχειν, οὕτω καὶ ἡ φωνὴ οὐ δύναται ταθῆναι ἐπὶ πολύ, τῆς μακρᾶς κειμένης ἐπὶ τέλους· εἰ δὲ ἐν ἄλλῃ συλλαβῇ κεῖται, τότε προπαροξύνεται.

„Ἡ περισπωμένη τόπους ἔχει δύο, περισπώμενον

καὶ προπερισπώμενον." Δύο τόπους φησὶν εἶναι τῆς περισπωμένης· ζητητέον δέ, διὰ τί μὴ καὶ αὐτῆς τρεῖς εἰσὶ τόποι, ὥσπερ καὶ τῆς ὀξείας. Ἔστιν οὖν εἰπεῖν ὅτι τούτου χάριν οὐ δύναται ἡ περισπωμένη πρὸ δύο συλλαβῶν τεθῆναι, ἐπειδὴ ἀπὸ κράσεώς ἐστιν ὀξείας καὶ βαρείας· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα συνελθοῦσαι ἀπετέλεσαν τὴν περισπωμένην. ἐπεὶ οὖν οὐχ εὑρίσκεται ἡ ὀξεῖα πρὸ τριῶν, τούτου χάριν οὐδὲ αὐτὴ πρὸ δύο. οἷον Γεώργιος. εἰ καθ' ὑπόθεσιν ἐτίθετο εἰς τὸ ὧρ ἡ περισπώμενη, ἔμφασις ἂν ἦν ὅτι καὶ πρὸ τριῶν συλλαβῶν τίθεται ἡ ὀξεῖα. εἰ γὰρ καὶ μὴ πᾶσα λέξις [ἡ] ἔχουσα τὴν περισπωμένην ἀπὸ κράσεώς ἐστιν, ἀλλ' οὖν αὐτὴ ἡ περισπωμένη δύναμιν ἔχει ὀξείας καὶ βαρείας, ὥστε εἰ ἐτίθετο πρὸ δύο, δυνάμει πάλιν ηὑρίσκετο ἡ ὀξεῖα πρὸ τριῶν.

Ἰστέον δὲ ὅτι σύνθετον λέγουσι τὴν περισπωμένην, ἐπειδὴ ἡ συλλαβὴ ἡ ἔχουσα αὐτὴν πολλάκις διάλυσιν πάσχει, οἷον πυλῶν πυλάων, Ἑρμῆς Ἑρμέης, Θαλῆς Θαλέης. Κακῶς δὲ λέγουσι, πρῶτον μὲν ὅτι κατὰ τοῦτον τὸν λόγον ὀφείλει καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα σύνθετος καλεῖσθαι, ἐπειδὴ πολλάκις καὶ τούτων ἐν συλλαβαῖς οὐσῶν γίνεται διαίρεσις, οἷον Ἀτρείδου Ἀτρείδεω, Πηλείδης Πηλεΐδης, χρῄζω χρηΐζω· δεύτερον δὲ ὅτι οὐ πᾶσα συλλαβὴ ἔχουσα περισπωμένην διάλυσιν πάσχει. ἰδοὺ γὰρ τὸ κερῶ καὶ τὸ τιλῶ οὐ πάσχει διάλυσιν. Ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος λέγεται, ἐπειδὴ ἐκ δύο τόνων σύγκειται, ἐξ ὀξείας καὶ βαρείας, ἢ διότι ἀεὶ ἐπάνω φύσει μακρᾶς τίθεται, ἥ τις σύνθετος χρόνος λέγεται· πᾶσα γὰρ φύσει μακρὰ ἀντὶ δύο χρόνων παραλαμβάνεται. ὅθεν καὶ τὸ λέων τρίχρονον λέγομεν, τὴν βραχεῖαν ἀντὶ τοῦ ἑνὸς χρόνου παραλαμβάνοντες, καὶ τὴν μακρὰν ἀντὶ δύο.

Ζητητέον δέ, διὰ τί μὴ καὶ ἐπὶ βραχείας τίθεται ἡ

περισπωμένη. Ῥητέον οὖν ὅτι ἐκ δύο τόνων ἡ περισπωμένη σύγκειται. πῶς οὖν ἡ βραχεῖα, ἀσθενὴς οὖσα, ἤνεγκεν ἂν τὴν τῶν δύο τόνων δύναμιν;

Προσῆκον δέ ἐστι καὶ τοῦτο ζητῆσαι, πῶς μακρὰ μὲν πρὸ μακρᾶς οὐ περισπᾶται, μακρὰ δὲ πρὸ βραχείας περισπᾶται. Ἔστιν οὖν εἰπεῖν ὅτι, ὥσπερ ἄν τις ἐφ' ὁμαλοῦ πεδίου σταθεὶς καὶ τὸ τόξον τείνας, κατ' εὐθεῖαν καὶ ἰσότητα τὸ βέλος ἀφίησιν, ἐὰν δὲ ἀπὸ ἀνωμάλου καὶ ὑψηλοῦ μέλλῃ τὸν ὀϊστὸν ἀφιέναι ἐπὶ τὰ χθαμαλώτερα, περικεκλασμένην καὶ τὴν τάσιν ποιεῖται καὶ οἷον ὁρῶσαν ἐπὶ τὸ κάταντες, οὕτω καὶ ὅταν μὲν ἀπὸ μακρᾶς μακρὰ συλλαβὴ διαδέχηται, ἐν ὁμαλότητι οὔσης τῆς φωνῆς, καὶ ἡ τάσις ταύτης κατ' εὐθεῖαν γίνεται· ἐὰν δὲ μετὰ μακρὰν βραχεῖα ἕπηται συλλαβή, ἀνωμάλου τῆς φωνῆς εὑρισκομένης καὶ οἷον ἐπὶ τὸ ταπεινότερον νευούσης, καὶ ὁ ταύτης φθόγγος περικεκλασμένος εὑρίσκεται.

„Ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐπιτίθεται." Ἐξηγούμενος ὁ περὶ τῶν προσῳδιῶν τὸν λόγον ποιούμενος, διὰ τί ἐλέγετο παρὰ τοῖς ἀρχαίοις συλλαβικὸς τόνος ἡ βαρεῖα, φησὶν ὅτι ἐπὶ πάσης συλλαβῆς τῆς μὴ ἐχούσης τὴν ὀξεῖαν ἐτίθετο. ἦν γὰρ κανὼν ὁ λέγων ὅτι πᾶσα συλλαβή, χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον, τὴν βαρεῖαν ἐπιδέχεται. οἷον Θεόδωρος. τὸ θε καὶ τὸ δω καὶ τὸ ρος βαρεῖαν ἐδέχοντο· τὸ γὰρ ο τὸν κύριον τόνον εἶχε. κύριος δὲ τόνος καλεῖται ἡ ὀξεῖα, ὅτι ἐπιτείνει τὴν φωνήν. καὶ πόθεν δῆλον; ὅτι πᾶσαι αἱ ἄλλαι συλλαβαί, αἱ μὴ ἔχουσαι τὴν ὀξεῖαν, ἄνεσιν ἔχουσιν.

Εἶτα τὴν αἰτίαν ἀποδιδούς, δι' ἣν οὐ τίθεται νῦν ἐπὶ πάσης συλλαβῆς ἡ βαρεῖα, φησὶν „ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται." ἐπιλαμ-

βάνονται δὲ πολλοὶ τοῦ τεχνικοῦ, καί φασιν ὅτι οὐκ εὔλογα δοκεῖ λέγειν. κατὰ γὰρ τοῦτον τὸν λόγον καὶ ὁ εὑρὼν ἐσφαλμένον βιβλίον οὐκ ὀφείλει τοῦτο διορθοῦσθαι καὶ ξέειν τὰ κακῶς γραφέντα, ἀλλ' ἐᾷν ἀδιόρθωτον, ἵνα μὴ τὸ βιβλίον ἀκαλλές τε ὁρῷτο καί τινα τρόπον ἀμυχὰς ξεσμάτων ἐπιφερόμενον. Τί οὖν ἔστιν εἰπεῖν; ὅτι ὥςπερ ὁμολογουμένως ὄντος τοῦ ῆ μακροῦ καὶ τοῦ ῶ, οὐ τίθεται ἐπάνω αὐτῶν τὸ σημεῖον τῆς μακρᾶς, οὔτε μὴν ἐπάνω τοῦ ε̄ καὶ τοῦ ο̄ τὸ σημεῖον τῆς βραχείας — καὶ χωρὶς γὰρ σημείων ὡμολόγηται ὅτι μακρά εἰσι τὸ η̄ καὶ τὸ ω̄, καὶ τὸ ε̄ καὶ τὸ ο̄ ὅτι βραχέα —, τίθεμεν δὲ ταῦτα ἐπὶ τῶν διχρόνων, ἐπὶ μὲν τοῦ ἰσχυρότατος τὸ σημεῖον τῆς μακρᾶς, ἐπὶ δὲ τοῦ ὀχυρώτατος τὸ σημεῖον τῆς βραχείας, διότι ἄδηλόν ἐστι χωρὶς τῆς ἐπιθέσεως τῶν σημείων εἴτε μακρόν ἐστιν εἴτε βραχὺ τὸ ῡ, οὕτω καὶ ὁμολογουμένου ὄντος ὅτι πᾶσα συλλαβὴ ἄνεσιν ἔχει καὶ βαρεῖαν ἐπιδέχεται χωρὶς τῆς συλλαβῆς τῆς ἐπιδεχομένης τὸν κύριον τόνον, παρεῖται τοῦτο, τὸ ἐπάνω κεῖσθαί φημι τὴν βαρεῖαν τῶν λοιπῶν συλλαβῶν.

„Ἆρ' οὖν," φησίν, „ἐκλείψει παντελῶς ἡ βαρεῖα; ἀλλ' οὐκέτι φημὶ τοῦτο, ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας τὸν τελευταῖον ἐν τῇ συνεπείᾳ τίθεται." δεῖ γὰρ τοῦτο προςθεῖναι, ἵν' οὕτως ἀναγινώσκωμεν „ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας τὸν τελευταῖον ἐν τῇ συνεπείᾳ τίθεται." ἐπειδὴ γὰρ τρεῖς εἰσὶ τόποι τῆς ὀξείας, ὁ ἐπὶ τῆς ληγούσης, ὃς τελευταῖος καλεῖται, ὁ ἐπὶ τῆς παραληγούσης, ὃν παρατέλευτον καλοῦσι, καὶ ὁ ἐπὶ τῆς προπαραληγούσης, ὃν καλοῦσι προπαρατέλευτον, οὐχ ἁπλῶς τίθεται ἡ βαρεῖα εἰς τὸν τόπον τῆς ὀξείας, ἀλλ' εἰς ἐκεῖνον μόνον τὸν ἐπὶ τῆς ληγούσης εὑρισκόμενον, καὶ ταῦτα ὅτε οὐδὲ ἡ ἔννοια ἀναπαύεται, ἀλλ' ἔστι συνέπεια, ἤτοι μετὰ τὴν ὀξύτονον λέξιν εὑρίσκεται καὶ ἑτέρα λέ-

ξις. οἷον ὡς ἐπὶ παραδείγματος ἐὰν εἴπῃς ὁ δεῖνα καλὸς ἄνθρωπος, ἰδοὺ εἰς τὸ λος ἐτέθη ἡ βαρεῖα, ὅτι μετὰ τὸ καλὸς ἐῤῥήθη τὸ ἄνθρωπος· ἐὰν δὲ εἴπῃς οὗτος ἄνθρωπος καλός, εἰς τὸ λος πεσεῖται ἡ ὀξεῖα, ὅτι οὐκ ἔστι συνέπεια, ἤγουν οὐχ εὑρίσκεται μετὰ τὸ καλὸς ἑτέρα λέξις. συνέπεια γάρ ἐστιν ἡ συναρμογὴ τῶν λέξεων καὶ συνεκφώνησις. οὐκ ἔστιν οὖν ἐν συνεπείᾳ τὸ ὁ δεῖνα ἄνθρωπος καλός, ὅτι ἐπὶ τέλους εὑρέθη καὶ οὐκ ἔσχε μεθ' ἑαυτὸ ἑτέραν τινὰ λέξιν. ἰστέον δὲ ὅτι κυρίως συνέπεια τὸ ὅλον λέγεται ἔπος, διὰ τὸ ἀκολουθίαν τινὰ καὶ τάξιν ἔχειν καὶ μέτρον, λέγεται δὲ καὶ καταχρηστικῶς συνέπεια, ὅταν μετὰ λέξεις τινὰς εὑρίσκηται καὶ ἑτέρα λέξις.

Ζητήσειε δ' ἄν τις, διὰ τί μὴ ἐπὶ τέλους τῆς ὀξυτόνου λέξεως εὑρισκομένης τίθεται ἡ βαρεῖα. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ στιγμὴ καὶ ἡ ἀνάπαυσις τῆς φωνῆς οὐκ ἐᾷ βαρεῖαν τεθῆναι, ἀλλὰ κρουστικωτέραν, ἵν' οὕτως εἴπω, τὴν λέξιν ἀπεργαζομένη ὀξύνεσθαι ταύτην βιάζεται. οὐ γάρ ἐστιν ἑτέρα λέξις ἐπαγομένη, ἵνα συγκαλύψῃ τὸν ἦχον τῆς ὀξείας. διὰ τοῦτο καὶ ὀξύνεται τὸ καλὸς ἐπὶ τέλους εὑρισκόμενον, ἅτε μὴ ὑπό τινος ἐπιπροσθοῦντος εἰργόμενον, ἀλλ' οἷον ἐλεύθερόν που τυγχάνον καὶ ἄνετον.

Δεῖ δὲ γινώσκειν ὅτι εὑρίσκεται καὶ συνεπείας οὔσης λέξις ὀξύτονος μὴ ἐπιδεχομένη βαρεῖαν, ἀλλὰ φυλάττουσα καὶ οὕτως τὴν ὀξεῖαν, οἷον καλός ἐστιν ἄνθρωπος. τίνος χάριν; ὅτι ἐγκλίνεται ἤγουν μετατίθεται ἡ ὀξεῖα τοῦ ἔστιν ἐπὶ τὸ καλός. περὶ δὲ ἐγκλίσεως καὶ ἐγκλιτικοῦ σὺν θεῷ διαλάβωμεν διεξοδικώτερον ὕστερον, ἐν τῇ περὶ ἀντωνυμιῶν διδασκαλίᾳ γενόμενοι. Ἔδει οὖν τὸν διδάσκαλον εἰπεῖν περὶ προσῳδίας οὕτως· „ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας τὸν τελευταῖον ἐν τῇ συνεπείᾳ τίθεται, εἰ μή που ἐγκλιτικὴ λέξις ἐπάγηται."

„Περὶ μὲν τῆς μακρᾶς καὶ τῆς βραχείας οὐκ ἔστι νῦν πολλὴ χρεία." Πληρώσας τὸν περὶ τῶν τόνων λόγον, περὶ τῶν χρόνων διδάσκειν ἄρχεται. καί φησιν ὡς οὐκ ἔστι νῦν πολλὴ χρεία περὶ αὐτῶν εἰπεῖν. χρεία μὲν γάρ ἐστι καὶ περὶ αὐτῶν εἰπεῖν, ἀλλὰ νῦν, φησίν, οὐκ ἔστι καιρός, λέξεται δὲ ὅτε περὶ τῶν βραχέων φωνηέντων καὶ τῶν μακρῶν ἐροῦμεν. Ἄλλοι δὲ τὴν ἑρμηνείαν ταύτην οὐ προσηκάμενοι, φασὶν ὡς οὐ περὶ τῶν μηκυνομένων ἢ συστελλομένων φωνηέντων ὁ λόγος τῷ τεχνικῷ, ἀλλὰ περὶ τῶν σημείων τῶν τιθεμένων ἐπάνω τῶν συστελλομένων φωνηέντων καὶ ἐκτεινομένων. δῆλον οὖν ἐστὶν ὅτι ἐπὶ τῆς μηκυνομένης λέξεως τίθεται ἡ κεραία, ἥ τίς ἐστι σημεῖον τῆς μακρᾶς, ὡς ἐπὶ τοῦ ἰφθιμότατος καὶ ἰσχυρότατος· ἐπὶ δὲ τῆς συστελλομένης, ὡς ἐπὶ τοῦ ὀχυρώτατος, τὸ σημεῖον τῆς βραχείας τὸ ῡ, τῆς κεραίας χωρίς· τὸ γὰρ ῡ στοιχεῖον κεραίαν ἔχει ἐπὶ τὰ κάτω. διὰ γοῦν τὸ εἶναι πρόδηλον τίθεσθαι ταῦτα τὰ σημεῖα ἐπὶ τῶν βραχυνομένων καὶ ἐκτεινομένων φωνηέντων, ἐάσθω ταῦτα· οὐ γάρ ἐστι νῦν χρεία λέγειν περὶ αὐτῶν.

Διὰ τί δὲ ἡ κεραία σημεῖόν ἐστι τῆς μακρᾶς, ζητήσειεν ἄν τις. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ κεραία εὐθεῖά ἐστι πεπερασμένη, τὴν δὲ πεπερασμένην εὐθεῖαν ἔστι κατὰ τοὺς γεωμέτρας ἐπ' ἄπειρον κατὰ τὸ συνεχὲς ἐκβάλλειν ἐπ' εὐθείας, τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἔκτασις. διὰ τοῦτό ἐστι καὶ σημεῖον μακρᾶς ἡ τοιαύτη εὐθεῖα. Τὸ δὲ ῡ συστολῆς ἐστὶ πάλιν σημεῖον, ἐπεὶ καὶ αὐτὸ τὸ ῡ τὰ χείλη συστέλλει κατὰ τὴν ἐκφώνησιν. φησὶ γὰρ Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ στοιχείων καὶ συλλαβῶν λόγῳ, ὅτι περὶ αὐτὰ τὰ χείλη συστολῆς γενομένης ἀξιολόγου, πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος.

Ὁρίζονται δὲ τὴν μὲν μακρὰν οὕτως· μακρά ἐστι σημείωσις μηκυνομένου φωνήεντος, οἷον

Ἀπόλλωνι ἄνακτι

ἐροῦμεν ἐν τοῖς οἰκείοις τόποις, ὅτε περὶ στοιχείων διαλαμβάνομεν.

Ζητεῖται δέ, διὰ τί μὴ ἀπὸ δύο πνευμάτων γίνεται πνεῦμα. Φαμὲν οὖν ὅτι ἐπεὶ ἡ μὲν δασεῖα ἐκ τοῦ θώ-

---

τὸ ᾱ φυλαχθῆναι ἐν τῇ γενικῇ, ἀλλὰ τραπῆναι εἰς ῆ. Καὶ ἐξ ἄλλου δὲ κανόνος δείκνυται τὸ ῥ φωνῆεν ὑπάρχον. τὰ εἰς ος λήγοντα ἀρσενικά, ποιοῦντα κατ' ἰδίαν θηλυκόν, τουτέστι μὴ ὄντα κοινὰ τῷ γένει, διὰ τὸ ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος, εἰ μὲν ἔχουσι πρὸ τοῦ ο φωνῆεν, εἰς ᾱ ποιοῦσι τὸ θηλυκόν, οἷον Βυζάντιος Βυζαντία, Ῥόδιος Ῥοδία, ἀλλότριος ἀλλοτρία· εἰ δὲ σύμφωνον ἔχουσι πρὸ τοῦ ο, εἰς ῆ ποιοῦσι τὸ θηλυκόν, οἷον σοφός σοφή.... δῆλον οὖν ὅτι τὸ ῥ οὐκ ἔστι σύμφωνον, ἀλλὰ φωνῆεν. εἰ γὰρ ἦν σύμφωνον, εἰς ῆ ἔφειλε ποιῆσαι τὸ θηλυκόν, οὐκ εἰς ᾱ. Δείκνυται δὲ καὶ ἀπὸ τῆς Αἰολίδος διαλέκτου τὸ ῥ φωνῆεν. εἰώθασι γὰρ οἱ Αἰολεῖς φωνήεντος ἐπιφερομένου προστιθέναι τὸ ῡ, ὡς ἐπὶ τοῦ εὔαδε. καὶ πάλιν τὸ ἠώς ἀώς λεγόντων τῶν Δωριέων, οἱ Αἰολεῖς λέγουσιν αὐώς, τὸ ῡ προστιθέντες. καὶ πάλιν [τὸ] ἄτην αὐάτην λέγουσιν οἱ Αἰολεῖς. συμφώνου δὲ ἐπιφερομένου οὐδέποτε προστιθέασι τὸ ῡ οἱ Αἰολεῖς· τὸ γὰρ νόσος νοῦσος καὶ Ὄλυμπος Οὔλυμπος ποιητικά εἰσι καὶ οὐκ Αἰολικά. τοῦ δὲ ῥ ἐπιφερομένου πολλάκις προστιθέασιν οἱ Αἰολεῖς, οἷον αὔρηκτος. δῆλον οὖν ὅτι φωνῆέν ἐστι καὶ οὐ σύμφωνον τὸ ῥ.

Δείξομεν δὲ πάλιν, ὅτι τὸ ῥ σύμφωνόν ἐστι καὶ οὐ φωνῆεν. Πῶς δέ; Ὅτι πᾶν φωνῆεν καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖν, τὸ ῥ οὐ δύναται καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖν· μετὰ γὰρ τοῦ ω ἐκφωνεῖται. δῆλον οὖν ὅτι οὐκ ἔστι φωνῆεν ἀλλὰ σύμφωνον. Ἄλλως τε οὐδέποτε ἐν μιᾷ συλλαβῇ τρία φωνήεντα εὑρίσκονται, ἀλλ' ἢ ὅλως δύο φωνήεντα, ὡς ἐπὶ τῶν διφθόγγων, οἷον εὖχος, οἶκος, αὐλός. ἐὰν οὖν εἴπωμεν τὸ ῥ φωνῆεν εἶναι, εὑρεθήσονται ἐν τῷ ῥεῦμα ἢ ῥοῦς τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ· ὅπερ ἀδύνατον. Ἔτι δὲ οὐδὲν ὄνομα ἀρσενικὸν εἰς φωνῆεν λήγει, οἷον Αἴας, Πλάτων, Φοῖνιξ· τὸ γὰρ ἵππότα καὶ μητιέτα Ζεύς καὶ τὰ τοιαῦτα ποιητικά, κατὰ μεταπλασμὸν γενόμενα· καὶ τὸ τοιόνδε καὶ τοιουτοσί ἐπεκτεταμένα. πῶς οὖν τὸ ῥ δύναται φωνῆεν εἶναι, ὅπου τὸ ῥήτωρ καὶ τὸ Νέστωρ καὶ τὰ τοιαῦτα εἰς ῥ λήγουσιν; εὑρεθήσεται γὰρ ἀρσενικὸν ὄνομα εἰς φωνῆεν λῆγον· ὅπερ ἀδύνατον. Καὶ ταῦτα μὲν οὕτως.

ρακος ἐκπέμπεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων, — πολὺ γὰρ τὸ μέσον ἐστὶν ἀμφοτέρων — εὐλόγως οὐ δύναται συναφθῆναι ἀλλήλαις· πῶς γὰρ τὸ ἐκ τοῦ θώρακος ἐξερχόμενον συναφθῆναι δύναται τῷ ἐκπεμπομένῳ ἐξ ἄκρων τῶν χειλέων; 5

„Φωνήεντα δὲ γράμματά εἰσιν ἑπτά, ᾱ, ῑ, ῃ, ῑ, ῡ, ῡ, ῱ω." Ἐπειδὴ γραμμάτων φωνηέντων ἐμνήσθη, εἰπὼν „ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον" καὶ πάλιν „ἡ δὲ ψιλὴ εἰς γράμμα φωνῆεν ψιλούμενον," πρὸς εἰςαγωγικοὺς δὲ τὸν λόγον ἐποιεῖτο καὶ 10 μήπω εἰδότας τί ἐστι φωνῆεν, διὰ τοῦτο ἀπαριθμεῖται ταῦτα, τίνα τε καὶ πόσα εἰσὶ διδάσκων. ἡμεῖς δὲ τῷ περὶ στοιχείων λόγῳ τὴν περὶ τούτων διδασκαλίαν τηρήσαντες, ἐπὶ τὰ ἑξῆς τοῦ λόγου χωρήσωμεν.

„Ἡ δὲ ἀπόστροφος τίθεται, ὅταν διὰ τὴν καλλιφω- 15 νίαν κουφίζηται τὸ ἓν φωνῆεν γράμμα, ὁπηνίκα δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει, οἷον οὐχ' οὕτως οἱ ἀσεβεῖς" καὶ τὰ ἑξῆς ἕως τοῦ „εἰςῆλθεν ἄνωθεν ἡ ἀπόστροφος." Ἐντεῦθεν περὶ παθῶν ἡμᾶς ἄρχεται διδάσκειν. ἔστι δὲ πάθος φωνῆς πεπονθυίας σημεῖον, τὰ 20 ἡνωμένα καὶ διῃρημένα διακρῖνον.

Τὸ μὲν οὖν „φωνῆς πεπονθυίας σημεῖον" κοινὸν τῶν τριῶν. καὶ γὰρ ἡ ἀπόστροφος ἐπὶ πεπονθυίας ἔκθλιψιν λέξεως τίθεται, καὶ ἡ ὑφὲν ἐπὶ λέξεως ὡςαύτως ἀποκοπὴν συμφώνου παθούσης, οἷον φιλόδημος· καὶ ἡ 25 ὑποδιαστολὴ δὲ πεπονθυίας καὶ αὐτὴ διάστασιν λέξεως σημεῖόν ἐστιν, οἷον ἐπὶ τοῦ ἔστιν, ἄξιος· διακεχώρισται γὰρ ἀπὸ τοῦ ἄξιος τὸ ἔστιν. Τὸ δὲ „ἡνωμένα διακρῖνον" διὰ τὴν ὑφὲν ἐτέθη. ἵνα γὰρ μὴ τὸ Μενεκράτους δύο μέρη λόγου ἀναγνῷς, ἐτέθη ἡ ὑφέν, διάγνωσιν πα- 30 ρέχουσα ὅτι ἡνωμένη ἐστὶν ἡ λέξις. καὶ ἡ ἀπόστροφος δὲ σημεῖόν ἐστι τῆς τῶν ἡνωμένων διακρίσεως. τὸ γὰρ οὐχ' οὕτως, ἔχον ἐπὶ τοῦ χ τὴν ἀπόστροφον, ἑνοῖ τὸ χ

μετὰ τοῦ ου, καὶ τὸ κατ' ἐμοῦ, ἔχον τὴν ἀπόστροφον ἐπὶ τοῦ τ, ἑνοῖ τὸ τ μετὰ τοῦ ε. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι ὅταν ὦσι λέξεις δύο, πάθη δὲ ἡ πρώτη ἔκθλιψιν, τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται. Τὸ δὲ „διακρῖνον τὰ διηρημένα" διὰ τὴν ὑποδιαστολήν ἐστι τεθειμένον· αὕτη γὰρ μόνη διαιρεῖ τὰ δοκοῦντα ἡνῶσθαι.

Τίθεται δὲ ἡ ἀπόστροφος ἐπάνω τοῦ ἐσχάτου γράμματος τῆς πρώτης λέξεως, οἷον τὸ οὔτ' ἐγώ· δύο λέξεις εἰσί, καὶ ἐκθλιβέντος τοῦ ε ἐτέθη ἄνωθεν τοῦ τ, ὅ ἐστιν ἔσχατον σύμφωνον τῆς πρώτης λέξεως, ἡ ἀπόστροφος, ἥ τις πάθος μὲν λέγεται γενικῷ ὀνόματι διὰ τὸ ἐν ταῖς παθητικαῖς λέξεσι τίθεσθαι, ὥσπερ καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή, ἀπόστροφος δὲ ἐξ αὐτῆς τῆς θέσεως· ἐπὶ γὰρ τὰ ἔσω νεύει, καὶ ἐπὶ τὰς λέξεις τὰς ἀποστρεφομένας τίθεται. Ὁρίζονται δὲ τὴν ἀποστροφον οὕτως· ἀπόστροφος σημεῖόν ἐστιν ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων, φωνήεντος μέν,

ὡς ἔφατ' εὐχόμενος·

ἐν γὰρ φωνῆεν ἐξεβλήθη, τὸ ο· φωνηέντων δέ, οἷον

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι·

καὶ γὰρ ἡ αι δίφθογγος ἐνταῦθα ἔκθλιψιν πέπονθεν. Ἐκθλίβονται δὲ τέσσαρα μόνα φωνήεντα, τὸ α,

ἀλλ' ἔχον ὥστε τάλαντα·

τὸ ε,

αὐτοὺς δ' ἑλλώρια·

τὸ ι, ὡς τὸ

ὧδέ σφ' ἐγκέφαλος χάμαδις ῥέοι·

τὸ ο, ὡς τὸ

ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν.

καὶ ταῦτα μὲν μόνα παρὰ τοῖς συγγραφεῦσι καὶ πεζῇ τῇ λέξει λογογραφοῦσιν ἐκθλίβονται, παρὰ δὲ τοῖς ποιηταῖς καὶ ἡ αι δίφθογγος καὶ τὸ ι μετὰ τοῦ ν,

ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ.

τοῦτο δὲ γίνεται παρ' αὐτοῖς διὰ τὸ μέτρον. Ἐπινενοῆσθαι δέ φασι τὴν ἀπόστροφον διὰ τὴν εὐφωνίαν. ἵνα γὰρ μὴ γένηται σύγκρουσις φωνηέντων, διὰ τοῦτό φησι τὸ ἓν φωνῆεν γράμμα ἐκθλίβεται. 5

Ἰστέον δὲ ὅτι οὐ καλῶς οὐδ' ὑγιῶς ἔχει τὰ περὶ τῆς ἐκθλίψεως ἐνταῦθα τῷ τεχνικῷ ῥηθέντα. ὀφείλει γὰρ εἰπεῖν, ὁπηνίκα δύο τινῶν λέξεων ἡ μὲν λήγει εἰς φωνῆεν, ἡ δὲ ἄρχεται ἀπὸ φωνήεντος· ὁ δὲ ὁπηνίκα φησὶ δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει. οὐ γάρ ἐστι μία λέξις 10 ἀλλὰ δύο τὸ οὐχ' οὕτως· τὸ μὲν γὰρ οὐχί ἐπίῤῥημά ἐστιν ἀρνήσεως, τὸ δὲ οὕτως ἐπίῤῥημα μὲν καὶ αὐτό, ἀλλὰ παραβολῆς ἢ ὁμοιώσεως.

Ζητητέον δὲ ἔτι, διὰ τί, ἀντὶ τοῦ εἰπεῖν ὅταν διὰ τὴν καλλιφωνίαν ἐκθλίβηται τὸ ἓν φωνῆεν γράμμα, εἶπεν 15 ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται. τίνος χάριν κουφισμὸν τὴν ἀπόστροφον ἐκάλεσεν; Ὅτι βαρεῖα τρόπον τινὰ γίνεται ἡ ἐκφώνησις καὶ φορτικὴ ἐκ τῆς τῶν φωνηέντων συγκρούσεως — διὰ τοῦτο καὶ χασμῶδες τὸ τοιοῦτον καλεῖται πάθος —, κούφη δὲ γίνεται καὶ ὡσανεὶ 20 εὐκίνητός ἐστιν ἡ φωνή, ὅταν ἐκθλιβῇ τὸ ἓν φωνῆεν γράμμα.

Ἐπεὶ δὲ ἐκθλίψεως ἐμνήσθημεν, δεῖ γινώσκειν ὅτι ἡ μὲν συναλοιφὴ γένος ἐστίν, ἔχει δ' [εἴδη] ἑπτά, τρία μὲν ἁπλᾶ, τέσσαρα δὲ σύνθετα. καὶ τὰ μὲν ἁπλᾶ εἰσὶ 25 ταῦτα, ἔκθλιψις, κρᾶσις, συναίρεσις. Καὶ ἔκθλιψις μέν ἐστιν, ἡνίκα εὑρεθῇ λέξις εἰς φωνῆεν ἢ φωνήεντα καταλήγουσα, τῆς ἐπιφερομένης λέξεως ἀπὸ φωνήεντος ἢ ἀπὸ φωνηέντων ἀρχομένης. τότε γὰρ [διὰ] τὸ χασμῶδες καὶ κεχηνῶδες ἐκθλίβεται τὸ τέλος τῆς προηγουμένης 30 λέξεως. καὶ ἡνίκα [μὲν] ὦσιν ἐν παραθέσει, δέχονται ἀπόστροφον, οἷον κατὰ ἐμοῦ - κατ' ἐμοῦ· ἡνίκα δὲ ὦσιν ἐν συνθέσει, οὐ δέχονται ἀπόστροφον, οἷον κατὰ ἔγρα-

φον - κατέγραφον, κατὰ ἔζην - κατέζην. ταῦτα μὲν περὶ τῆς ἐκθλίψεως. Διαφέρει δὲ συναίρεσις κράσεως κατὰ τούτους τοὺς τρόπους. ἡ συναίρεσις περὶ τὸ ῑ καὶ τὸ ῡ καταγίνεται, προηγουμένου προτακτικοῦ φωνήεντος, οἷον παΐς παῖς, ἀΰω αὔω, Δημοσθένεϊ Δημοσθένει. διαστέλλεται δὲ τὸ συνῃρημένον ἀπὸ τοῦ ἐντελοῦς ἐκ τοῦ μὴ περιστίζεσθαι τὸ ῑ καὶ τὸ ῡ ἐν τῇ συναιρέσει. δεῖ δὲ γινώσκειν ὅτι τὸ ῑ καὶ τὸ ῡ δεῖ περιστίζειν, ἡνίκα προηγεῖται προτακτικὸν φωνῆεν κατα διάστασιν· ἐπεὶ ὅταν προηγῆται ὑποτακτικὸν φωνῆεν, οὐ δεῖ περιστίζειν αὐτά, οἷον ἰαχή, ἰωή. ἡ δὲ κρᾶσις περὶ πάντα τὰ φωνήεντα καταγίνεται, οἷον Δημοσθένεος Δημοσθένους, ἱέραξ ἵραξ, τὸ ἐμόν - τοὐμόν. καὶ ἡνίκα μὲν γίνηται κρᾶσις ἐν ἁρμογῇ δύο λέξεων, τίθεται κορωνίς, οἷον νόος νοῦς. ἄλλως τε δὲ ἡ συναίρεσις φυλακτική ἐστι τῶν αὐτῶν φωνηέντων, οἷον παΐς παῖς· ἡ δὲ κρᾶσις πάντως ἀλλοίωσιν ἀπεργάζεται, οἷον Δημοσθένεος Δημοσθένους. Ταῦτα μέν εἰσι τὰ ἁπλᾶ εἴδη τῆς συναλοιφῆς.

Τὰ δὲ σύνθετα ταῦτα, ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, ἔκθλιψις καὶ κρᾶσις καὶ συναίρεσις. Καὶ ἔκθλιψις μὲν καὶ κρᾶσίς ἐστιν, ὡς ἐπὶ τοῦ καὶ ἐγώ - κἀγώ· ἐκθλίβεται γὰρ τὸ ῑ τοῦ καί συνδέσμου, καὶ κιρνᾶται τὸ ᾱ καὶ ᾱ εἰς ᾱ μακρόν. ἔκθλιψις δὲ καὶ συναίρεσις, ὡς τὸ ἐμοὶ ὑποδύνει - ἐμοὐποδύνει· ἐκθλίβεται γὰρ τὸ ῑ τῆς ἐμοί ἀντωνυμίας, συναιρεῖται δὲ τὸ ο καὶ ῡ εἰς τὴν ου δίφθογγον. κρᾶσις δὲ καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ ὁ αἰπόλος - ᾧπόλος· κιρνᾶται γὰρ τὸ ο καὶ ᾱ εἰς ω, καὶ συναιρεῖται τὸ ω καὶ τὸ ῑ εἰς τὴν ῳ δίφθογγον. ἔκθλιψις δὲ κρᾶσις καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ οἱ αἰπόλοι - ᾧπόλοι· ἐκθλίβεται γὰρ τὸ ῑ τοῦ οἱ ἄρθρου, καὶ κιρνᾶται τὸ ο καὶ ᾱ εἰς ω, καὶ συναιρεῖται τὸ ω καὶ ῑ εἰς τὴν ῳ δίφθογγον.

„Ἡ δὲ ὑφὲν τίθεται, ὅταν δύο λέξεις ἅμα ὀφείλωσι λέγεσθαι." Οἱ παλαιοὶ τὴν ὑφὲν οὕτως ὡρίσαντο· ὑφέν ἐστι σημεῖον συναφείας συνθέτων λέξεων, ἢ σημεῖον ἑνώσεως δυο λέξεων, οἷον νικόλαος. διὰ τοῦτο γὰρ καὶ ὠνόμασται ὑφέν, ὡς ἑνοῦσα τὰς λέξεις καὶ ὑφ' ἓν ποιοῦσα ἀναγινώσκεσθαι. τίθεται δὲ ὑποκάτω τῶν δύο λέξεων, ἐπὶ τῆς προτέρας λέξεως τοῦ ἐσχάτου γράμματος ἔχουσα τὴν ἀρχήν, ἐπὶ δὲ τῆς δευτέρας τοῦ ἀρκτικοῦ ἔχουσα τὸ τέλος τοῦ σχήματος. διαφέρει δὲ ἡ διαστολὴ τῆς ὑφέν, ὅτι τῆς ὑφὲν συναπτούσης τὰ δοκοῦντα διαιρεῖσθαι, αὕτη πάλιν τὰ δοκοῦντα ἡνῶσθαι διαιρεῖ, οἷον ἦλθε, νήπιος.

Εἰδέναι δὲ χρὴ ὅτι αἱ σύνθετοι λέξεις ἀπὸ τῶν τεσσάρων γίνονται πτώσεων. αὗται δὲ αἱ πτώσεις ἢ κατὰ τὸ τέλος συντίθενται, οἷον Περικλῆς· ἢ κατὰ τὴν ἄρχουσαν, οἷον φιλομαθής· ἢ κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὸ τέλος, οἷον φιλόδημος. Κατὰ μὲν οὖν τὸ τέλος οὐ πᾶσα πτῶσις συντίθεται, ἀλλ' ἡ εὐθεῖα μόνη, οἷον Πλάτων - φιλοπλάτων, Ἕλλην - φιλέλλην, καὶ γενική· γενικὴ δὲ οὐ πᾶσα, ἀλλὰ μόνη ἡ εἰς ας λήγουσα καὶ ἡ εἰς ης καὶ ἡ εἰς ος, οἷον φαρέτρα φαρέτρας - [ὁ] εὐφαρέτρας, τέχνη τέχνης - ὁ κλυτοτέχνης, γράμμα γράμματος - ὁ φιλογράμματος. καὶ τοῦτο εἰκότως. ἐπειδὴ γὰρ αὗται αἱ γενικαὶ ἔχουσι κατάληξιν ἁρμόζουσαν εὐθείᾳ — ἡ γὰρ εἰς ας κατάληξις καὶ ἡ εἰς ης καὶ ἡ εἰς ος καὶ τῆς εὐθείας εἰσίν, οἷον σοφός, Πέρσης, κοχλίας —, πᾶσα δὲ σύνθεσις ἀναδρομὴν πάσχει εἰς τὴν εὐθεῖαν, οἷον γράμμα γράμματος - ὁ φιλογράμματος, εἰκότως αὗται αἱ γενικαὶ συντίθενται κατὰ τὸ τέλος. ἡ γὰρ εἰς ου λήγουσα γενικὴ οὐ δύναται συντεθῆναι κατὰ τὸ τέλος, ἐπειδὴ οὐκ ἔχει κατάληξιν ἁρμόζουσαν εὐθείᾳ· οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς ου δίφθογγον λήγουσαν. διὰ τοῦτο γὰρ οὔτε ἐκ δοτικῆς· οὔτε ἐξ αἰτιατικῆς κατὰ τὸ τέλος γί-

νεται σύνθεσις, ἐπειδὴ οὐκ ἔχουσι καταλήξιν ἁρμόζουσαν εὐθείᾳ. τὸ γὰρ ῑ καὶ τὸ ᾱ καὶ τὸ ῃ καὶ τὸ ῳ, οἷον Αἴαντι, κοχλίᾳ, Πέρσῃ, Μενελάῳ, καταλήξεις εἰσὶ τῆς δοτικῆς, ἃ τινὰ οὐκ εἰσὶ καταλήξεις τῆς εὐθείας τοῦ ἀρσενικοῦ γένους· καὶ τὸ ᾱ καὶ τὸ ῃ καὶ τὸ ουν, τῆς αἰτιατικῆς ὄντα καταλήξεις, οἷον Αἴαντα, εὐγενῆ, βοῦν, οὐκ εἰσὶ τῆς εὐθείας. εἰ δέ τις λέγει ὅτι ἡ αὐτὴ αἰτιατικὴ κατάληξιν ἔχει ἁρμόζουσαν τῇ εὐθείᾳ — τὸ γὰρ ην, οἷον Πέρσην, καὶ τὸ αν, οἷον κοχλίαν, καὶ τῆς εὐθείας ἐστίν, οἷον Παιάν, Ἀλκμάν, φιλέλλην —, ἴστω ὡς ἐπει- 1
δὴ πλείους εἰσὶν αἱ καταλήξεις τῆς αἰτιατικῆς, αἳ μή εἰσι καὶ τῆς εὐθείας τῶν ἀρσενικῶν, διὰ τοῦτο οὐ γίνεται σύνθεσις ἐκ τῆς αἰτιατικῆς. Καὶ ταῦτα μὲν περὶ τῶν συντιθεμένων κατὰ τὸ τέλος.

Κατὰ δὲ τὸ ἄρχον συντίθεται καὶ ἡ εὐθεῖα, οἷον 1
Ἀστυάναξ, καὶ ἡ γενική, οἷον Ἑλλήσποντος, καὶ δοτική, οἷον Ἀρηΐφιλος, καὶ αἰτιατική, οἷον νουνεχής.

Κλητικὴ δὲ οὐδέποτε συντίθεται διὰ τοιαύτην αἰτίαν. Ἡ κλητικὴ καὶ αὐτοτελής ἐστι, καὶ δευτέρου προσώπου ἐστί, καὶ πρός τινά ἐστι, καὶ τὸ ἐπιφερόμενον 20
πάντως ἢ ὁμοιόπτωτον ἀπαιτεῖ, οἷον

Ἀτρείδη κύδιστε·

ἀμφότεραι γὰρ κλητικαί εἰσιν· ἢν ἐὰν μὴ ὁμοιόπτωτον εὑρεθῇ τὸ ἐπιφερόμενον, γενικὴ εὑρίσκεται, γενικὴ δὲ ἢ κτητικὴ ἢ συγκριτική. καὶ κτητικὴ μὲν οἷον 25

ἄναξ ἀνδρῶν,

συγκριτικὴ δὲ οἷον

ὕπατε κρειόντων.

ἡ δὲ εὐθεῖα οὔτε αὐτοτελής ἐστιν, οὔτε πρός τινά ἐστι (περὶ γάρ τινός ἐστιν), οὔτε δευτέρου προσ- 30
ώπου ἐστί (τρίτου γὰρ προσώπου ἐστίν), οὔτε πάντως τὸ ἐπιφερόμενον ὁμοιόπτωτον ἀπαιτεῖ ἀλλ' ἀνομοιόπτωτον, οἷον Σωκράτης Πλάτωνα τύπτει,

Ἀλ-

Ἀλκιβιάδης Δημοσθένει διαλέγεται. εἰ συνετίθετο οὖν ἡ κλητική, ἠναγκάζετο ἀναδρομὴν ποιήσασθαι εἰς τὴν εὐθεῖαν, καθὸ αἱ συνθέσεις ἀναδρομὴν ποιοῦνται εἰς τὴν εὐθεῖαν, οἷον γράμμα γράμματος - ὁ φιλογράμματος καὶ βοῦς βοός - πολύβοος. ἀναδρομὴν δὲ ποιοῦσα εἰς τὴν εὐθεῖαν, καθὸ μὲν εὐθεῖα ἐγίνετο, ἠναγκάζετο μὴ εἶναι αὐτοτελής, μὴ εἶναι πρός τινα, μὴ εἶναι δευτέρου προςώπου, μὴ ἔχειν τὸ ἐπιφερόμενον πάντως ὁμοιόπτωτον· καθὸ δὲ ἀπὸ κλητικῆς συνετέθη, αἱ δὲ συνθέσεις θέλουσι φυλάττειν λείψανόν τι τοῦ ἁπλοῦ — οἷον τὸ φιλάνθρωπος, ἀπὸ τοῦ ἁπλοῦ δὴ συντεθὲν τοῦ ἄνθρωπος, ἐφύλαξέ τι λείψανον τὸ ἄνθρωπος —, ἀναγκάζεται καὶ αὐτοτελὴς εἶναι καὶ πρός τινα καὶ δευτέρου προςώπου, καὶ τὸ ἐπιφερόμενον ἔχειν ἢ ὁμοιόπτωτον ἢ γενικήν, γενικὴν δὲ ἢ κτητικὴν ἢ συγκριτικήν. ἐπειδὴ δὲ οὐ δύναται κατὰ ταὐτὸν καὶ αὐτοτελὴς εἶναι καὶ μὴ αὐτοτελής, καὶ πρός τινα καὶ περί τινος, καὶ δευτέρου προςώπου καὶ τρίτου, καὶ τὸ ἐπιφερόμενον μὴ ἔχειν πάντως ὁμοιόπτωτον καὶ ἔχειν τὸ ἐπιφερόμενον ἢ πάντως ὁμοιόπτωτον ἢ γενικὴν κτητικὴν ἢ συγκριτικήν, τούτου χάριν οὐ συντίθεται.

Γίνονται δὲ αἱ συνθέσεις ἢ τῶν δύο λέξεων οὐσῶν ἰδίᾳ ῥητῶν, ἢ τῆς μὲν μιᾶς ἰδίᾳ ῥητῆς, τῆς δὲ ἑτέρας ἰδίᾳ νοητῆς. καὶ τὰς δύο μὲν λέξεις ἰδίᾳ ῥητὰς ἔχει ἡ σύνθεσις αὕτη, φιλόδημος, ἀρχιστράτηγος· λέγεται γὰρ καὶ τὸ φῖλος ἰδίᾳ καὶ τὸ δῆμος, καὶ τὸ ἀρχή καὶ τὸ στρατηγός. τὴν δὲ μίαν ῥητὴν καὶ τὴν μίαν νοητὴν τὸ ζάκοτος καὶ τὸ ἄλογος καὶ τὸ ἐρίτιμος καὶ τὰ ὅμοια. τούτων γὰρ αἱ πρότεραι λέξεις οὐδέποτε κατ' ἰδίαν ῥηταί, ἀλλὰ καθ' αὑτὰς νοούμεναι καὶ σημαίνουσαί τι· καὶ γὰρ τὸ μὲν ζα καὶ τὸ ερι ἐπίτασιν, τὸ δὲ α τὸ ὁμοῦ.

Καὶ ἔστιν ὡς ἐπὶ τὸ πλεῖστον ἡ σύνθεσις ἐκ δύο λέξεων, γίνεται δὲ καὶ ἐκ τριῶν, ὡς τὸ δυςαριστοτό-

βραχεῖα· πνεύματα δύο, δασεῖα καὶ ψιλή. ἑπτὰ οὖν εἰσίν, ὡς δέδεικται, αἱ προσῳδίαι.

Καὶ ἰστέον ὅτι ἡ μὲν ὀξεῖα ταύτης τῆς προσηγορίας ἐτύγχανεν ὡς ἀπὸ μεταφορᾶς τῶν δρομέων τῶν ὀξέως τρεχόντων. ὥσπερ γὰρ τοὺς δρομεῖς τοὺς ὀξέως τρέχοντας 5 ὁρῶμεν ἐπὶ τὰ ἄνω φερομένους καὶ γινομένους, τὸν αὐτὸν τρόπον καὶ ἡ ὀξεῖα ἐπὶ τὰ ἄνω νεύει. Ἡ δὲ βαρεῖα ταύτης τῆς προσηγορίας ἐτύγχανεν ἀπὸ τῆς μεταφορᾶς τῶν βασταζόντων φορτίον. ὥσπερ γὰρ οἱ βαστάζοντες φορτίον τῷ βάρει συγκλονούμενοι κάτω νεύουσι, τὸν αὐ- 10 τὸν τρόπον καὶ ἡ βαρεῖα κάτω νεύει. Ἡ περισπωμένη ταύτης ἔτυχε τῆς προσηγορίας, ἐπειδὴ ἔοικε τῷ σχήματι περικεκλασμένῃ ῥάβδῳ, ἔχουσα τὰς δύο ἀρχὰς νευούσας πρὸς ἀλλήλας. περισπωμένη οὖν λέγεται οἱονεὶ περικλωμένη, ἀπὸ μεταφορᾶς τῶν περισπωμένων ἐν πράγματι· 15 καὶ γὰρ οὗτοι ἀπὸ τοῦ πόνου δοκοῦσι περικεκλάσθαι. τοιαύτη οὖν καὶ ἡ περισπωμένη τῷ σχήματι. Ἡ δὲ μακρὰ καὶ ἡ βραχεῖα τοιαύτης προσηγορίας ἔτυχον ἢ ἐκ τῆς θέσεως, καθὸ ἡ μὲν μακρὰ πολὺ διάστημα κρατεῖ, ἡ δὲ βραχεῖα ὀλίγον· ἢ ἐκ τοῦ χρόνου, καθὸ ἡ μὲν μα- 20 κρὰ δύο χρόνους ἔχει, ἡ δὲ βραχεῖα ἕνα. Ἡ δὲ δασεῖα οὕτως ὠνόμασται παρὰ τὸ δα ἐπιτατικὸν μόριον καὶ τὸ σεύω τὸ σημαῖνον τὸ ὁρμῶ, οἱονεὶ ἡ πάνυ ὁρμῶσα καὶ ἀθρόῳ τῷ πνεύματι προφερομένη· καὶ γὰρ δοκεῖ ἐκ τοῦ θώρακος ἐκπέμπεσθαι. Ἡ δὲ ψιλὴ οὕτω προσηγορεύθη παρὰ τὸ ἀσθενῆ αὐτὴν εἶναι. οὕτω καὶ ψιλὸν στρατιώτην εἰώθαμεν καλεῖν τὸν γυμνὸν καὶ ἄοπλον καὶ ἀσθενῆ. ὅτι δὲ ἡ ψιλὴ ἀσθενής ἐστι, δῆλον, εἴγε δασυνομένου φωνήεντος ἐπιφερομένου τρέπεται τὸ προηγούμενον ψιλὸν εἰς τὸ ἀντίστοιχον τὸ δασύ, οἷον κατὰ ἡμῶν - καθ' ἡμῶν· τὰ δὲ δασέα ψιλουμένου φωνήεντος ἐπιφερομένου, ἅτε δὴ ἰσχυρότερα ὄντα, οὐ τρέπονται, οἷον ἀμφὶ ἀγαθόν - ἀμφ' ἀγαθὸν θεράποντα. δεῖ προς-

θεῖναι χωρὶς εἰ μὴ κατὰ διάλεκτον τραπῇ. πολλάκις γὰρ αἱ διάλεκτοι ψιλουμένου φωνήεντος ἐπιφερομένου τρέπουσι τὸ δασύ, οἷον ἔχεσθαι καὶ τὸ ἀμφί πρόθεσις· ἐκ τούτου γίνεται ἀμφέχεσθαι, καὶ Αἰολικῶς ἀμπέχεσθαι.

Ἔνιοι δὲ τὰ καλούμενα πάθη προστιθέασι ταῖς προσῳδίαις, ἅ πέρ ἐστιν ἀπόστροφος, ὑφέν, ὑποδιαστολή. Ἰστέον δὲ ὅτι ταῦτα οὐ καλοῦσι κυρίως προσῳδίας, ἐπειδὴ αἱ προσῳδίαι περὶ τὰ φωνήεντα θέλουσι καταγίνεσθαι — καὶ γὰρ οἱ τόνοι καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα ἐπάνω φωνηέντων τίθενται· μόνον τὸ ῥ ἐκ τῶν συμφώνων πέφυκε καὶ δασεῖαν δέχεσθαι καὶ ψιλήν —, ἡ δὲ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ καὶ ἐπὶ συμφώνων τίθενται, ἡ μὲν ἀπόστροφος οἷον ἐπὶ τοῦ καθ᾽ ἡμῶν, ἡ δὲ ὑφὲν ὡς ἐπὶ τοῦ Διόσκορος, ἡ δὲ ὑποδιαστολὴ ὡς ἐπὶ τοῦ Διὸς,κοῦρος. τούτου οὖν χάριν οὐ λέγονται κυρίως προσῳδίαι ἡ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή.

Ἰστέον δὲ ὅτι ἀπόστροφος μὲν ὠνομάσθη ἢ ἐκ τῆς θέσεως, ἐπειδὴ ἐπὶ τὰ ἔσω ἐστραμμένη ἐστίν· ἐπὶ τὰ ἔσω γὰρ νεύει· ἢ ὅτι ἐν ταῖς λέξεσι τίθεται ταῖς ἀποστρεφομέναις τὴν ἀλλεπαλληλίαν τῶν φωνηέντων, οἷον κατὰ ἡμῶν - καθ᾽ ἡμῶν. ὑφὲν δὲ ὠνομάσθη, ἐπειδὴ ἑνοῖ τὰς λέξεις ὑφ᾽ ἕν, ἤγουν ἅμα ποιεῖ αὐτὰς ἀναγινώσκεσθαι, οἷον Διόσκορος. ἡ δὲ ὑποδιαστολὴ ὠνομάσθη, ἐπειδὴ διαστέλλει καὶ διαχωρίζει τὰς λέξεις ἀπ᾽ ἀλλήλων.

Ἰστέον δὲ ὅτι ἁπλοῖ μὲν τόνοι εἰσὶ δύο, ἡ ὀξεῖα καὶ ἡ βαρεῖα, σύνθετος δὲ τόνος εἷς. Καὶ λέγουσί τινες ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος λέγεται, ἐπειδὴ πολλάκις ἡ συλλαβὴ ἡ ἔχουσα τὴν περισπωμένην διάλυσιν πάσχει, οἷον πυλῶν - πυλάων, μουσῶν - μουσάων. Καπῶς δὲ λέγουσι, πρῶτον μὲν ὅτι κατὰ τοῦτον τὸν λόγον ὤφειλε καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα σύνθετος τόνος καλεῖσθαι, ἐπειδὴ πολλάκις καὶ τούτων ἐν συλλαβαῖς

οὐσῶν γίνεται διάλυσις, οἷον Ἀτρείδου Ἀτρείδεω, φίλου φίλοιο, χρήζω χρηΐζω. δεύτερον δὲ οὐ πᾶσα συλλαβὴ ἔχουσα περισπωμένην διάλυσιν πάσχει· ἰδοὺ γὰρ τὸ κερῶ καὶ τιλῶ καὶ ῥανῶ οὐ πάσχουσι διάλυσιν. ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος λέγεται, ἐπειδὴ ἀεὶ ἐπάνω φύσει μακρᾶς τίθεται, ἤ τις σύνθετος χρόνος ἐστίν· ἐκ δύο γὰρ χρόνων σύγκειται.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ὥςπερ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα συνερχόμεναι ἀποτελοῦσι τόνον ἕτερον, λέγω δὴ τὴν περισπωμένην, διὰ τί μὴ καὶ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα συνερχόμεναι ἀποτελοῦσιν ἕτερον. Καὶ ἔστιν εἰπεῖν ὅτι προςῳδίαι κυρίως ἑπτά εἰσιν, ἤγουν ἡ ὀξεῖα, ἡ βαρεῖα, περισπωμένη, δασεῖα, ψιλή, μακρά, βραχεῖα· ἡ γὰρ ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προςῳδίαι. τούτων οὕτως ἐχόντων αἱ προςῳδίαι, συναπτόμεναι ἀλλήλαις, τύπον ἀποτελοῦσι στοιχείου, οἷον ἡ μακρὰ συναπτομένη τῇ βραχείᾳ τύπον τοῦ σ ἀποτελεῖ, οἷον ⊃· πάλιν ἡ δασεῖα συναπτομένη τῇ ψιλῇ τύπον τοῦ Η ἀποτελεῖ, οἷον Γ Ι· πάλιν ἡ ὀξεῖα συναπτομένη τῇ βαρείᾳ τὸν τύπον τοῦ Λ ἀποτελεῖ, οἷον Λ. ἐπεὶ οὖν ἡ βαρεῖα συναπτομένη τῇ ὀξείᾳ οὐκ ἀποτελεῖ τύπον στοιχείου — τὸ γὰρ Γ κεραίαν ἔχει ἐπὶ τὰ κάτω νεύουσαν —, τούτου χάριν ὡς οὐκ ἀποτελοῦσα ἡ βαρεῖα καὶ ἡ ὀξεῖα τύπον στοιχείου, ἕτερον τόνον οὐκ ἀποτελοῦσιν.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ὥςπερ ἀπὸ δύο τόνων γίνεται ἕτερος τόνος, τουτέστιν ἀπὸ ὀξείας καὶ βαρείας ἡ περισπωμένη, διὰ τί μὴ καὶ ἀπὸ δύο πνευμάτων γίνεται ἕτερον πνεῦμα, οἷον ἀπὸ δασείας καὶ ψιλῆς. Καὶ ἔστιν εἰπεῖν [ὅτι] ἡ δασεῖα ἀπὸ τοῦ θώρακος ἐκπέμπεται, ὅθεν καὶ δασεῖα λέγεται· ἔστι γὰρ παρὰ τὸ δα ἐπιτατικὸν καὶ σεύω τὸ σημαῖνον τὸ πάνυ ὁρμῶ, οἱονεὶ ἡ πάνυ καὶ ἡ ἐκ βάθους ὁρμῶσα. ἡ δὲ ψιλὴ ἐκ

τῶν ἄκρων τῶν χειλέων ἐξέρχεται, ὅθεν καὶ ψιλὴ λέγεται, οἱονεὶ ἡ ἐν τοῖς ἄκροις οὖσα. ὅθεν καὶ ψέλλια εἰώθαμεν λέγειν τὰ ἐπιτιθέμενα τοῖς ἄκροις τῶν χειρῶν. καὶ ἐκ τούτου οὐ δύνανται συναφθῆναι καὶ ποιῆσαι ἕτερον πνεῦμα. πῶς γὰρ τὸ ἐκ τοῦ θώρακος ἐκπεμπόμενον δύναται συναφθῆναι τῷ ἐκπεμπομένῳ ἐκ τῶν ἄκρων τῶν χειλέων; θώρακος γὰρ καὶ χειλέων πολὺ τὸ μέσον ἐστίν.

Ἄξιον δὲ ζητῆσαι, διὰ τί, ὥςπερ ἀπὸ τῶν δύο τόνων γίνεται ἕτερος τόνος, οἷον ἀπὸ ὀξείας καὶ βαρείας γίνεται ἡ περισπωμένη, διὰ τί μὴ ἀπὸ μακρᾶς καὶ βραχείας γίνεται ἕτερος χρόνος. Καὶ λέγομεν ὅτι τὰ στοιχεῖα ἢ μονόχρονά εἰσιν, οἷον ε̄ καὶ ο̄, ἢ δίχρονα, οἷον ῑ καὶ ῱· οὐδέποτε δὲ ὑπερβαίνουσι τοὺς δύο χρόνους. εἰ συνῆλθον οὖν ἡ μακρὰ καὶ ἡ βραχεῖα, καὶ ἀπετέλεσαν ἕτερον χρόνον, ἤμελλε τρίχρονος εἶναι χρόνος· καὶ γὰρ ἡ βραχεῖα ἕνα χρόνον ἔχει καὶ ἡ μακρὰ δύο· καὶ εἰς οὐδὲν εἶχε λυσιτελεῖν, ὅπου γε τὰ στοιχεῖα οὐχ ὑπερβαίνουσι τοὺς δύο χρόνους.

Ἰστέον δὲ ὅτι ἡ ὀξεῖα ἢ ἐν τῷ τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους ἢ πρὸ δύο, οἷον σοφός, φιλόσοφος, ἄνθρωπος· πρὸ τριῶν δὲ οὐδέποτε. ἡ περισπωμένη ἢ ἐν τῷ τέλει τίθεται, ὡς ἐπὶ τοῦ Ἑρμῆς, Ἡρακλῆς, ἢ πρὸ μιᾶς τοῦ τέλους, ὡς ἐπὶ τοῦ οἶκος, κῆπος· πρὸ δύο δὲ οὐκέτι. οὐδέποτε ἐπάνω βραχείας τίθεται περισπωμένη, οὔτε ἐπάνω θέσει μακρᾶς, ἀλλ' ἐπάνω μόνον τῶν φύσει μακρῶν, οἷον Ἑρμῆς, δῆμος.

Ἰστέον δὲ ὅτι πᾶσα λέξις ὀξύτονος ἐν τῇ συνεπείᾳ, ἤγουν ἐν τῇ φράσει, κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, χωρὶς τοῦ τίς, οἷον

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε,

καλὸς ἄνθρωπος ἦλθεν, σοφὸς ἄνθρωπος παρεγένετο. πρόςκειται χωρὶς τοῦ τίς, ἐπειδὴ τοῦτο φυλάττει τὴν ὀξεῖαν τάσιν, οἷον

σα, ὑποδιαστολὴ καλεῖται. ὑφὲν δὲ λέγεται κατὰ τὴν βραχεῖαν τυπωθεῖσα, ὑποκάτω δὲ τῆς φωνῆς τιθεμένη, τῆς βραχείας τὸν ἄνω τόπον ἐχούσης. Δέκα οὖν εἰσὶ παρὰ τὸ μὴ ἄλλως δύνασθαι τὴν τοιαύτην γραμμὴν ἢ τυποῦσθαι ἢ τόπῳ τίθεσθαι.

Οἱ δὲ λέγοντες ἀπὸ κεραιῶν τινῶν τὰς προςῳδίας γίνεσθαι, αἵ τινες ἐκ στοιχείων τινῶν τομῆς προβαίνουσιν, οὐκ ἰσχυρῶς λέγουσι. τούτῳ γὰρ τῷ τρόπῳ πάντα τὰ στοιχεῖα ὤφειλε τμηθῆναι καὶ προςῳδίας ποιεῖσθαι, καὶ οὐ μόνον τὸ Α καὶ τὸ Η καὶ τὸ Ο καὶ τὸ Ε. φασὶν ὅτι τὸ Α κοπτόμενον ποιεῖ ὀξεῖαν καὶ βαρεῖαν, τὸ δὲ Η δασεῖαν καὶ ψιλήν, τὸ Ε μακρὰν καὶ βραχεῖαν· τὸ δὲ Ο τετραχῇ κοπτόμενον τὴν περισπωμένην, τὴν ἀπόστροφον, τὴν ὑφὲν καὶ τὴν ὑποδιαστολὴν ποιεῖ. τοιαῦτά φησιν οὕτω περιττὰ καὶ ἀμέθοδα ταῦτ' ἄρα, καὶ οὐ προς- εκτέον αὐτοῖς.

Εἰς πόσα διαιροῦνται αἱ δέκα προςῳδίαι; Εἰς τέσσαρα. Καὶ διὰ τί εἰς τέσσαρα, καὶ οὐκ εἰς πλείονα ἢ ἐλάσσονα; Ὅτι, φησίν, ὁ σχηματισμὸς τῶν τεσσάρων στοιχείων, τοῦ $\overline{α}$, $\overline{β}$, $\overline{γ}$, $\overline{δ}$, ἀριθμούμενος τὸν δέκα ἀποτελεῖ. ὅτι γοῦν τέσσαρα τὰ γράμματα καὶ ὅτι ἀριθμούμενα τὸν δέκατον ἀποτελοῦσι οἱ κεθότα ὁ δέκα εἰς τέσσαρα διῄρηται, καὶ οὐκ εἰς ἐλάσσονα ἢ πλείονα. *)

Οὕτω δὲ καλοῦνται παρὰ τὸ πρὸς αὐτὰς τείνεσθαι τὰς φωνάς. ἡ δὲ τάσις ἢ πρὸς τὸ ὀξύ ἐστιν ἢ πρὸς τὸ

---

*) Διαιροῦνται δὲ αἱ δέκα προςῳδίαι εἰς τέσσαρα, διότι καὶ ὁ τέσσαρα ἀριθμὸς γεννητικός ἐστι τοῦ δέκα· τέσσαρες γὰρ καὶ δὶς τρεῖς ἀποτελοῦνται δέκα. ἢ κατὰ μίμησιν τῶν τεσσάρων στοιχείων, πυρός, ὕδατος, ἀέρος καὶ γῆς, ξηροῦ, ὑγροῦ, ψυχροῦ καὶ θερμοῦ, ὧν συντεθέντων ἀπετελέσθη τὰ ἐν ἡμῖν στοιχεῖα. ἔστι δὲ καὶ παρὰ Πυθαγορείοις ὁ ἀριθμὸς ὁ τέσσαρα τίμιος, ὃν καὶ ὅρκιον τίθενται.

βαρὺ ἢ πρὸς περίκλασιν τοῦ χρόνου τῆς καθ' ἡμᾶς λαχόντες τὸ ὄνομα. ὥςπερ γὰρ ὁ χρόνος τῷ μὲν τῶν ἀνθρώπων τείνεται, τῷ δὲ συστέλλεται, οὕτω δὲ καὶ αἱ προςῳδίαι αὗται ἐπὶ τοῖς [δι]χρόνοις ποιοῦσιν. ὅτε γὰρ τὰ δίχρονα ἐκτείνονται; ἡ μακρὰ τούτοις ἐπιτίθεται, ὅτε δὲ συστέλλονται, ἡ βραχεῖα.

Ἐπειδὴ τῇ φωνῇ πνεῦμα ἐξέρχεται ἑπόμενον τοῖς φωνήεσιν, ὅτε ἀπὸ φωνήεντος ἡ φωνὴ ἄρχεται, ἢ δασύνεται ἢ ψιλοῦται. καὶ ἐπεὶ τὸ πνεῦμα ἢ ἀπὸ τοῦ θώρακος ἐξέρχεται ἢ ἐξ ἄκρων τῶν χειλέων, δύο τὰ πνεύματά εἰαι, τὸ μὲν ἐκ τοῦ θώρακος ἐξερχόμενον δασύ, τὸ δὲ ἐκ τῶν χειλέων ψιλόν. ἔλαβε δὲ ταῦτα τὰ ὀνόματα ἐκ μεταφορᾶς τῶν ἀνεμιαίων πνευμάτων, ἃ πνέοντα ἐν ὄρεσι δάσει μὲν ὕλης προςκρούοντα, μέγαν ἦχον ἀποτελοῦσιν, ὑποψιθυρίζουσι δὲ ἐν τοῖς ψιλοτέροις ὄρεσιν ἤγουν ἀδένδροις ἢ ὀλιγοδένδροις.

Πάθη δὲ λέγονται παρ' ὅσον ἐν ταῖς παθαινούσαις τῶν λέξεων τίθενται, ἡ μὲν ἀπόστροφος ἐπ' ἐκθλίψει φωνήεντος, ἡ ὑφὲν ἐπὶ συνθέσει δύο λέξεων μίαν ἀποτελουσῶν, ἡ ὑποδιαστολὴ ἐπὶ διαιρέσει καὶ τομῇ τοῦ λόγου.

Σημείωσαι ἐπὶ τῶν πνευμάτων τῶν τῆς δασείας καὶ τῆς ψιλῆς, ὅτι οἱ μουσικοὶ ταῦτα ἐφεῦρον, καὶ πρὸς τὰς ἐκφωνήσεις ἐτίθεσαν τοῖς φωνήεσι. καὶ εἰ μὲν ἡ φωνὴ εἴη τραχεῖα καὶ ὥςπερ ἐκ τοῦ θώρακος ἐξερχομένη, ἐὰν ἀπὸ φωνήεντος ἤρχετο, ἐδάσυναν· εἰ δὲ λιγυράτις καὶ χαλαρὰ καὶ ὑφειμένη, ψιλὴν ἐτίθεσαν περὶ τὸ φωνῆεν. ἐπειδὴ δὲ ὕστερον οἱ λόγοι τῶν μουσικῶν ἦσαν δυςκατάληπτοι, ἐξ ἐμπειρίας καὶ οὗτοι τεχνωθέντες ἡμῖν παρεδόθησαν, [καὶ] κατὰ τὴν παρατήρησιν καὶ παράδοσιν τῶν πρὸ ἡμῶν καὶ τοὺς ἐκείνων κανόνας τὰ πνεύματα τιθέαμεν τοῖς φωνήεσι.

Καὶ διὰ τί τρεῖς; Ὅτι οὐκ ἐγχωρεῖ πλείους, παρὰ

γὰρ τῶν ἐνεστώτων τὰ πνεύματα ἔχει. „ἢ Ἰωνικῶς κατὰ προσθήκην τεθείη" εἶπε διὰ τὸ μύω ἠμύω τὸ ἐπικλίνω, ὅπερ ψιλοῦται, ὡς δῆλον ἀπὸ τῆς χρήσεως,

ἐπί τ' ἠμύει ἀσταχύεσσιν.

„ἢ ἑτέρῳ κανόνι κωλύεται" εἶπε διὰ τὸ ἧμος καὶ ἧμαρ. ἐν τούτοις γὰρ κανών ἐστιν ὁ λέγων· τὸ ῑ ἐν τροχαϊκῇ λέξει ψιλοῦται, ἧμαρ, ἧμος, ἧπαρ, ἧδος, πλὴν τοῦ ἥλος· ὤφειλε γὰρ τρισυλλάβως λέγεσθαι ἵηλος. καὶ διὰ τὸ ἥμιν Αἰολικόν· κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι οἱ Αἰολεῖς ἐν ταῖς ἰδίαις λέξεσι τὴν δασεῖαν ὅλως ἀγνοοῦσιν.

[Ὥρα.] εἰς τὸ ῶ δασεῖαν. διὰ τί; τὸ ῶ πρὸ τοῦ ῥ, ἐπιφερομένης μακρᾶς, δασύνεται, ὥρα, ὡραῖος, εἰ μὴ ἐκ κλίσεως εἴη, ἧς τὸ φωνῆεν ἐν τῷ ἐνεστῶτι ψιλοῦται, οἷον ὀρειβατῶ ὠρειβάτουν.

Ἀσεβής. εἰς τὸ ᾱ ψιλήν. διὰ τί; τὸ στερητικὸν ᾱ ψιλοῦται καθόλου, τὸ δὲ ἀθροιστικὸν δασύνεται. ὅθεν καὶ τὸ ἄλυσις καὶ τὸ ᾄδης δασύνονται· οὐ γὰρ στερητικά εἰσιν, ἀλλ' ἀθροιστικά. τὸ γὰρ ἄλυσις πολύλυσις ἐστί, καὶ τὸ ᾄδης ὁ ὁμοῦ δεσμῶν καὶ συνέχων πάντας. τινὲς δὲ ἐπὶ τοῦ ᾄδης τοιοῦτον ἀποδιδόασι λόγον, οὕτω λίγοντες ὅτι, ἐὰν ἡ δασεῖα ἐκ τοῦ θώρακος ἐξέρχηται, εἰκότως δασύνεται· τί γὰρ ᾄδου θωρακωδέστερον;

Ὄνομα. εἰς τὸ ο ψιλήν. διὰ τί; τὸ ο πρὸ τοῦ ν ψιλοῦται, ὄνυξ, ὄναρ, ὄνομα. ἄλλως τε πᾶν φωνῆεν, ταῖς λέξεσιν ἔξωθεν προστιθέμενον, ψιλοῦται, νόμα ὄνομα, δύνη ὀδύνη, στάχυς ἄσταχυς. τὸ ὁπότε καὶ ὁπηνίκα οὐ λυμαίνονται τῷ κανόνι. ἄλλη σημασία τοῦ πότε καὶ ἄλλη τοῦ ὁπότε· τὸ μὲν γὰρ πότε ἐπὶ ἀπορίας λαμβάνεται, οἷον πότε γέγονε τόδε; πότε γενήσεται; τὸ δὲ ὁπότε ἐπὶ ἐγνωσμένων πραγμάτων, οἷον ὁπότε ἐγένετο τόδε, ὁπότε γενήσεται. ὁμοίως καὶ τὸ πηνίκα ἐπὶ ἀπορίας, πηνίκα πέπρακται τόδε; πηνίκα πραχθήσεται; τὸ δὲ ὁπηνίκα ἐπὶ τῶν δήλων,

ὁπη-

ὁπηνίκα πέπρακται τόδε, ἀντὶ τοῦ τότε. ὁμοίως καὶ τὸ ὁποῖος, ὁπόσος, ὁπηλίκος τοῦ ποῖος, πόσος, πηλίκος διαφέρουσι. διὰ τοῦτο τὰ μὲν λέγονται ἐπιῤῥήματα ἀναφορικά· — ἀναφέρουσι γὰρ πρὸς τὰ ἐγχωσμένα· εἰ γάρ τις ἀπορῶν ἔροιτο, πόσον ἂν συνάξωμεν σῖτον ἐκ τῆς ἀρούρης; ὁπόσον, εἴπῃ τις, κατὰ τὸν παρῳχημένον καιρὸν συνηγάγομεν. καὶ ποῖον τὴν ποιότητα; ὁποῖον καὶ τότε —· τὰ δὲ ἀπορητικά, ποῖος, πόσος, πηλίκος. ἀμφότερα γάρ, καὶ τὸ πόσος καὶ τὸ ὁπόσος, ἀρχαί εἰσιν, ἡ μὲν δηλοῦσα ἀπορίαν, ἡ δὲ γνῶσιν, ὥςτε οὐκ ἔξωθεν τὸ ō ἐπέρχεται, ἀλλὰ κυρίως λέγεται, ἐπεὶ σημασίαν ἔχει ἰδίαν.

. . . ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται, δύο φωνηέντων συμπεσόντων συνθέτῳ λέξει, τὸ ἓν φωνῆεν, ὡς ἐντεῦθεν εἴη δῆλον ὅτι τὸ φωνῆεν ἐξεβλήθη καὶ ἀπεστράφη διὰ τὴν τῆς φωνῆς ὡραιότητα· χάσκει γὰρ ὁ λόγος ἐν ταῖς τῶν φωνηέντων συγκρούσεσι, καὶ δοκεῖ ἀηδής τις καὶ ἀκαλλώπιστος.

Τὰ πνεύματά φησι διὰ τρόπον ἐπενοήθησαν ἐπιτίθεσθαι ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις λέξεσιν, ὧν εἰπεῖν μέλλομεν. ἑπτά φησιν εἶναι φωνήεντα κατὰ μίμησιν τῶν ἑπτὰ πλανητῶν, τῶν ἀστέρων τοῦ οὐρανοῦ, ὧν τὰ ὀνόματα Ζεύς, Ἄρης, Ἥλιος, Ἑρμῆς, Σελήνη, Ἀφροδίτη καὶ ὁ Κρόνος. οὗτοι γὰρ μόνοι τῶν ἀστέρων κινοῦνται, καὶ τὰ δώδεκα περιέρχονται ζῴδια, καὶ ταῦτα ἄλλοτε ἄλλους οἴκους ἔχουσιν. ὅταν μὲν οὖν οἱ ἀστέρες οὗτοι ἔξω τῶν οἴκων θέοντες προςβάλλουσι ταῖς ἡμετέραις ὄψεσι, κόμην τινὰ δοκοῦσιν ἔχειν· ἐν τοῖς οἴκοις δὲ εἰςελθόντες χωρὶς τῆς κόμης ὁρῶνται. ἐπεὶ οὖν καὶ τὰ φωνήεντα ἐντεῦθεν ἐμεθοδεύθησαν, ὅτε μέν εἰσιν ἔξω τῶν οἴκων αὐτῶν, ἤτοι τῶν συμφώνων, ἐν ταῖς λέξεσι λεγόμενα, τὰ σημεῖα ταῦτα τὰ καλούμενα πνεύματα, τὴν δασεῖαν καὶ τὴν ψιλήν, ὡς κόμην ἐπιφέρον-

τοῦ ἄξιος. καὶ λοιπὸν εἰ κατὰ συνάφειαν ἀναγνωσθῇ τὸ ἔστιν ἄξιος, ἐμποδίσει αὐτῷ πνεύματος τὸ ἀμετάβολον· εἰ δὲ μεθ' ὑποδιαστολῆς ἀναγνωσθείη τὸ ἄξιος, δέξεται ἀπαρεμπόδιστόν τε καὶ ἀναμφίβολον.

ΠΕΡΙ ΤΕΧΝΗΣ.

Ἐπειδήπερ τῷ τεχνικῷ περὶ γραμματικῆς ἡμᾶς πρόκειται διδάξαι, ἡ δὲ γραμματικὴ τέχνη ἐστί, διέξεισι πρῶτον περὶ τέχνης, τί τέ ἐστι τέχνη ὁριζόμενος, καὶ πόσα ταύτης τὰ εἴδη διεξιών. ἀλλὰ γὰρ πᾶσα ἐπειδὴ τεχνικὴ διδασκαλία ἐξ ὅρου καὶ παρεπομένων θέλει λαμβάνεσθαι, ἔλθωμεν καὶ εἴπωμεν, τί ἐστιν ὅρος. μηδ' ὅλως δὲ μέμψεως ἄξιοι φανησόμεθα, εἰ περὶ τῶν αὐτῶν πάλιν εἴπωμεν, διὸ καὶ τρὶς τὰ καλὰ λέγειν ἐπαινετέον τοῖς γε νοῦν ἔχουσιν.

Ὅρος οὖν ἐστὶν ὃ τὸ ὄν τι εἶναι δηλῶν, ἤγουν ὃ πάντα τὰ ὄντα δηλῶν τί ἐστι. τὸ γὰρ τί εἶναι ἀντὶ τοῦ τί ἐστι παραλαμβάνεται, καὶ ἔστιν Ἀττικὸν τὸ σχῆμα. ἢ λόγος ἐκ τῶν καθόλου καὶ κοινῶν ἴδιόν τι ἀποτελῶν, οἷον ἄνθρωπός ἐστι ζῶον λογικόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἰδού, οὗτος ὁ ὅρος ἐκ τῶν καθόλου καὶ κοινῶν ἴδιόν τι ἀπετέλεσε, τουτέστι τὸν ἄνθρωπον. καὶ ἐκ μὲν τῶν καθόλου ἐστὶ τὸ ζῶον — τοῦτο γὰρ καθολικόν ἐστι· φέρεται γὰρ κατά τε τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου καὶ τῶν λοιπῶν εἰδῶν —, ἐκ δὲ τῶν κοινῶν τὸ λογικὸν καὶ τὸ θνητόν· οὐ μόνον γὰρ οἱ ἄνθρωποί εἰσι λογικοί, ἀλλὰ καὶ οἱ ἄγγελοι καὶ δαίμονες καὶ νύμφαι τινὲς μακραίωνες· αὗται γὰρ ἔτι ζῶσι καὶ εἰσὶ ζῶα λογικὰ καὶ θνητά. ἀλλ' οὐκ εἰσὶ καὶ ἐπιστήμης δεκτικά· οὐ γὰρ μανθάνουσιν, ἀλλ' οἴκοθεν τὴν γνῶσιν ἔχουσι, καὶ φύσει πᾶσαν ἐπιστήμην κέκτηνται. τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν μόνου τοῦ ἀνθρώπου ἐστὶν ἴδιον· μόνος.

γὰρ ὁ ἄνθρωπος πέφυκε νοῦ καὶ ἐπιστήμης εἶναι δεκτικός· καὶ γὰρ μανθάνει τὴν κατ' ἐνέργειαν γνῶσιν. Ὁρίζονται δ' ἄλλοι τὸν ὅρον οὕτως· ὅρος ἐστὶ λόγος σύντομος, δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. καὶ λόγος μὲν πρόσκειται διὰ τὸ ὄνομα. δηλοῖ γὰρ τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος· ἐὰν γὰρ εἴπω ἄνθρωπος, ἐδήλωσα τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος· ἀλλ' οὐκ ἔστι λόγος. σύντομος δὲ πρόσκειται, ἐπειδή εἰσι λόγοι διηγηματικοί, ἤγουν ἐν πλάτει θεωρούμενοι, ὡς ὁ κατὰ Μειδίου λόγος Δημοσθένους· ὁ δὲ ὅρος σύντομος θέλει εἶναι. πρόσκειται δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος διὰ τὰ ἀποφθέγματα, τὸ μηδὲν ἄγαν, τὸ γνῶθι σαυτόν· οὗτοι γὰρ καὶ λόγοι εἰσὶ καὶ σύντομοι, ἀλλ' οὐκ εἰσὶν ὅροι, ἐπειδὴ οὐκ εἰσὶ δηλωτικοὶ τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὴν τέχνην τινὲς μὲν οὕτως ὡρίσαντο, μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον· ὁ δὲ Ἀριστοτέλης, ἕξις ὁδοῦ, τοῦ συμφέροντος ποιητική· ἕξις δέ ἐστι πρᾶγμα μόνιμον καὶ δυσκατάληπτον. ὁ δὲ τεχνικὸς οὕτως· τέχνη ἐστὶ σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. *) καὶ ἔστι

---

*) Ἰστέον ὅτι οἱ Στωϊκοὶ οὕτως ὁρίζονται τὴν τέχνην· τέχνη ἐστὶ σύστημα περὶ ψυχὴν γινόμενον ἐγκαταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. Σύστημα μὲν σημαίνει τὸ ἄθροισμα, ἐγκαταλήψεων δὲ τὸ ἐξεφευρέσεων, ἐγγεγυμνασμένων δὲ τὸ δεδοκιμασμένων· τὸ δὲ πρός τι τέλος πρὸς ἀόριστον τέλος. τὸ γὰρ τὶ σημαίνει τέσσαρα, ἀόριστόν τι πρᾶγμα, καὶ ὡρισμένον, καὶ τὸ ἑνιαῖον, καὶ πρὸς διορισμόν. ἀλλὰ καὶ τὸ τέλος δηλοῖ ἕξ, τὴν πρόοδον, τὸ ἀξίωμα, τὸ δαπάνημα, τὴν ἑορτήν, τὸ πεπληρωμένον ἔργον καὶ τὸ δημόσιον. ἀλλὰ καὶ ὁ βίος σημαίνει πέντε, τὸν πλοῦτον, τὴν ἑκάστου κοινὴν ζωήν, τὸ ἑκάστου ἐπιτήδευμα καὶ τὸν ἐπιτήδειον χρόνον εἰς μάθησιν. ὃ οὖν λέγει,

τὸ μὲν σύστημα ἀντὶ γένους· καὶ γὰρ ἐπὶ δήμου λαμβάνεται, καὶ σημαίνει τὸ ἄθροισμα, καὶ ἐπὶ ἄλλων πολλῶν· τὰ δὲ λοιπὰ συστατικαὶ διαφοραί. τὸ δὲ ἐγκαταλήψεων ἀντὶ τοῦ ἐνθυμημάτων καὶ ἐφευρημάτων τέθειται. ἐπεὶ δὲ καὶ ὁ πεῖραν ἔχων πλῆθος μὲν ἔχει ἐφευρημάτων, οὐ μὴν ἠκριβωμένων καὶ δεδοκιμασμένων πολλάκις, διὰ τοῦτο τέθειται τὸ ἐγγεγυμνασμένων, ἵνα διαστέλληται ἡ τέχνη ἀπὸ τῆς πείρας. τὸ δὲ πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ εἴρηται διὰ τὴν ματαιοτεχνίαν καὶ κακοτεχνίαν, περὶ ὧν ἐν τῇ προθεωρίᾳ εἰρήκαμεν.

Τῆς δὲ καθόλου τέχνης διαφοραί εἰσι τέσσαρες, θεωρητική, πρακτική, ποιητική, μικτή, ἵνα καὶ πάλιν περὶ αὐτῶν εἴπωμεν. καὶ θεωρητικαὶ μὲν ὅσαι λόγῳ μόνῳ παραδίδονται, καθάπερ ἀστρονομία· ὁ γὰρ ἀστρονόμος λόγῳ μόνῳ παραδίδωσι τὸν ἥλιον σήμερον, εἰ τύχοι, ἐν τῷ ὑδροχόῳ. πρακτικαὶ δέ, ὅσαι δι' ὀργάνων ἐνεργοῦσιν, ὡς ἡ στρατηγική· ἐν γὰρ ταῖς παρατάξεσι δέονται κριῶν καὶ ἄλλων τῶν πρὸς τειχομαχίαν πεποιημένων. ἢ ὅσαι μέχρι τοῦ γενέσθαι ὁρῶνται τέχναι, ὡς ἡ αὐλητική, ἡ ὀρχηστική· ἐφ' ὅσον γὰρ οὗτοι ἐνεργοῦσιν, ὁρῶνται καὶ γνωρίζονται ὄντες αὐληταὶ καὶ ὀρχησταί. ποιητικαὶ τέχναι λέγονται, ὅσαι ὕλην λαβοῦσαι ἀδιατύπωτον, ἐποίησάν τι εἰς μνήμην τοῦ δημιουργήσαντος, οἷον ἀνδριαντοπλαστική· χαλκὸν γὰρ καὶ ὕλην λαβοῦσα ἀδιατύπωτον, ἐχάραξεν. αἱ δ' ἐκ τούτων μικταί, αἳ θεωρητικοῦ καὶ πρακτικοῦ καὶ ποιητικοῦ μετέχουσιν, οἷον ἡ ἰατρική. κοινωνεῖ γὰρ τῷ θεωρητικῷ, ὅταν διατάττηται τοῖς νοσοῦσι δίαιτάν τινα· τῷ δὲ πρακτικῷ, ὅταν σμίλην λαβοῦσα διορθοῖτό τι τῶν μελῶν τοῦ σώματος τῶν

ποιοῦτόν ἐστιν· τέχνη ἐστὶν ἄθροισμα ἐφευρέσεων δεδοκιμασμένων πρὸς ἄοριστον τέλος, χρησιμωτάτη πρὸς τὴν ἑκάστου τῶν ὄντων ζωήν.

ἀσθενούντων· πάλιν δὲ τῷ ποιητικῷ, ὅταν τῇ ὕλῃ τῶν βοτανῶν χρησαμένη, ἀποτελέσῃ φάρμακον. ἧς ἀδελφή ἐστιν ἡ γραμματική, περὶ ἧς τὰ νῦν πρόκειται λέγειν. καὶ αὐτὴ γὰρ τοῦ μικτοῦ ἐστὶν εἴδους. ὅταν [μὲν γὰρ] κανόνας ἀποδίδωσι τοῖς νέοις, κοινωνεῖ τῷ θεωρητικῷ· ὅταν δὲ κάλαμον λαβοῦσα στίζῃ καὶ ὀρθοῦται τὰς μὴ εὖ ἐχούσας τῶν λέξεων, τῷ πρακτικῷ· τῷ δὲ ποιητικῷ, ὅταν τὴν ὕλην τῶν διαλελυμένων λέξεων τέχνῃ καὶ μέτρῳ συναρμόσῃ καὶ τέλειον στίχον ἀπεργάσηται. Τὰ δὲ παρεπόμενα τῇ καθόλου τέχνῃ ἐν τῇ προθεωρίᾳ εἰρήκαμεν. οὐκοῦν εἴπωμεν περὶ γραμματικῆς, καὶ πρῶτον τὸν βίον τοῦ τεχνικοῦ διεξέλθωμεν.

Ἰστέον δὲ ὅτι Διονύσιος ὁ Θρᾷξ, ὁ τὴν τέχνην συγγραψάμενος, τὸ μὲν γένος ἦν Βυζάντιος, ἐκαλεῖτο δὲ Θρᾷξ, τῷ μείζονι κοσμούμενος τῆς χώρας ὀνόματι. ἐγένετο δὲ ἄγαν σπουδαῖος καὶ φιλομαθής, ὥστε πάντας ὑπερβαλέσθαι τοὺς κατ᾽ αὐτόν. σφόδρα δὲ κατορθώσας τὴν τέχνην τὴν γραμματικήν, οὐ μόνος ἔχειν ἠθέλησε τῆς γνώσεως τὴν ἀπόλαυσιν, οὐδὲ μέχρι τῆς οἰκείας ψυχῆς ἔστησε τὴν ὠφέλειαν, ἀλλὰ φιλάνθρωπος ὢν καὶ ἄφθονος καθ᾽ ὑπερβολήν, ἐσπούδασεν εὐεργέτης γενέσθαι τῶν σπευδόντων, θεμέλιον τοῖς νέοις εἰσαγωγικὴν συγγραψάμενος τέχνην, πᾶσάν τε αὐτὴν δυσκολίας ἐκτὸς ποιησάμενος, ἵνα μὴ τῇ αὐτῆς δυσκολίᾳ φευκτέα νομίζηται, ποθεινὴ δὲ μᾶλλον ὑπάρχῃ τοῖς ἐντυγχάνουσι. πεποίηκε δὲ αὐτὴν πολλῇ χρησάμενος ἀκολουθίᾳ καὶ τάξει. καὶ πρῶτον μὲν ὁρίζεται, τί ἐστι γραμματική, ἐπεὶ καὶ περὶ αὐτῆς λέγειν προέθετο· ἔπειτα διεξέρχεται περὶ τῆς ἀναγνώσεως. καταλαμβάνεται δὲ αὕτη διά τε τῶν τόνων καὶ τῶν στιγμῶν. πρόεισι λοιπὸν καὶ ἐπὶ τὰς συλλαβάς, αἵ τινες καὶ αὐταὶ ἐκ τῶν στοιχείων συνίστανται. εἶτα καὶ περὶ αὐτῶν διεξελθών, πόσα τέ ἐστι καὶ ποσαχῶς διαιρεῖται, μετέρχεται διδασκαλικῶς καὶ ἐπὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου, δι᾽ ὧν ἡ πᾶ-

σα καταλαμβάνεται τέχνη, μετὰ πολλῆς σαφηνείας ἑκάστου τὸν ὅρον ἐκθέμενος, καὶ ὡς ἔδει ταῦτα συντόμως μαθεῖν. ἔστι γὰρ πρέπον ἐν ταῖς εἰσαγωγαῖς τὰ δύσκολα καὶ τὰ ὑπερβαίνοντα τὴν δύναμιν τῶν εἰσαγομένων σιωπᾷν καὶ καταλιμπάνειν, ἵνα οὕτω κατ' ὀλίγον οἱ τῆς τέχνης ἁπτόμενοι τὰ ὁδηγοῦντα πρὸς τοὺς κανόνας μανθάνωσιν. Ἀλλὰ γὰρ ἐπεὶ περὶ τοῦ τεχνικοῦ ταῦτα διεξήλθομεν, φέρε δὴ καὶ ἐνταῦθα τὰ εἰωθότα πανταχοῦ ζητεῖσθαι τοῖς ἐξηγηταῖς ὀκτὼ κεφάλαια θεωρήσωμεν.

Ἴστεόν οὖν ὅτι σκοπὸν ἔχει ὁ Διονύσιος ὡς ἐν εἰσαγωγῇ παραδοῦναι πάντα τῆς γραμματικῆς τὰ θεωρήματα, μάλιστα δὲ τὰ ὀκτὼ μέρη τοῦ λόγου. Τὸ δὲ χρήσιμον τοῦ παρόντος συγγράμματος ὁ σκοπὸς φανεροῖ. οἶμαι δὲ ὅτι οὐ μόνον τὸ χρήσιμον, ἀλλὰ καὶ ἀναγκαῖόν ἐστι τὸ παιδεύεσθαι γράμματα, ὧν χωρὶς οὔτε ἴδιαι τάξεις οὔτε πολιτικαὶ δύνανται συστῆναι. εἰ γοῦν τὰ γράμματα ἀναγκαιότατά εἰσι, περὶ δὲ γραμμάτων ἡ γραμματικὴ διαλαμβάνεται, τῶν ἀναγκαιοτάτων ἄρα τῷ βίῳ καὶ χρησιμωτάτων τὸ τῆς γραμματικῆς καθέστηκε μάθημα. μάθοι δ' ἄν τις ἐντεῦθεν ἀκριβέστερον. μουσικὴν μὲν γάρ τις ἀγνοῶν ἢ ἀστρονομίαν ἤ τινα τῶν ἄλλων λογικῶν τεχνῶν, οὐκ ἂν αἰσχύνοιτο, ὡς ἂν οὐ μεγάλα πρὸς τὰς χρείας τοῦ βίου βλαπτόμενος· ἐὰν δὲ γραμμάτων τις ἐστερημένος εὑρεθῇ, ἀμαθὴς ὑπάρχει. ὅθεν οὐδὲ τοὺς οἰκέτας ἀπεστέρουν οἱ χαρίεντες τῆς τοιαύτης παιδεύσεως. ὁ γοῦν παρὰ τῷ Θεοφίλῳ τῷ κωμικῷ θεράπων ἐν τοῖς Ἀποδήμοις λέγει·

καίτοι τί φημι καὶ τί δρᾷν βουλεύομαι;
προδοὺς ἀπιέναι τὸν ἀγαπητὸν δεσπότην,
τὸν τροφέα, τὸν σωτῆρα, δι' ὃν εἶδον νόμους
Ἕλληνας, ἔμαθον γράμματ', ἐμυήθην θεοῖς.

ὥσπερ γὰρ τῶν ἱερῶν μεταδιδόασι τοῖς οἰκέταις καὶ τῶν νόμων, οὕτω μαθήσεως γραμμάτων μεταδιδόασιν αὐτοῖς,

ἵνα τοῖς γράμμασιν ἡμεροῦντο καὶ πρὸς τὰς τοῦ βίου χρήσεις ὦσι πεπαιδευμένοι. Ἔχει δὲ ἡ γραμματικὴ καὶ ψυχαγωγίαν ἐμμελῆ, διδάσκουσα κάλλος ποιημάτων, ἱστορίαις τε καὶ μύθοις κατᾴδουσα· φιλόμυθος δὲ ὁ ἄνθρωπος. καὶ ἁπλῶς πρὸς ἑκάστου βίον συντελεῖ. ὁ μὲν γὰρ πολεμικὸς παρατάξεσι χαίρει ταῖς πεζαῖς τε καὶ ναυτικαῖς, ὁ δὲ εἰρηνικὸς ὑποθήκαις καὶ παραινέσεσιν, ἱππικῶν τε ἀγώνων ἀκροάσεσι καὶ μουσικῶν. Λυσιτιλεῖ δὲ καὶ τῷ ἑλληνισμῷ, ὀρθότητα διδάσκουσα λέξεων καθ' ἑκάστην διάλεκτον. οὐ κάλλιον οὐδέν ἐστι τῷ γένει τῶν ἀνθρώπων. τὸν γὰρ δοθέντα πρὸς τοῦ θεοῦ λόγον θειότερον ὡς ἀληθῶς ἐποίησεν, ἐπανορθοῦσα πᾶν τὸ ἄτακτον καὶ πλημμελές. Προτροπαὶ δὲ καὶ διδασκαλίαι καὶ ἀποτροπαὶ καὶ νουθεσίαι πόθεν οὕτω κρεῖαι καὶ πολύτροποι πλὴν παρὰ ποιητῶν, οὓς διασώζει καὶ συνίστησι γραμματική; πόθεν δ' ἄν τις ἀρύσαιτο μαθήματα μᾶλλον σπουδαῖα καὶ πολιτεύματα; τίς δὲ ἄμεινον δικαιώματα πόλεων καὶ ἐθνῶν εὑρεῖν δύναται, καὶ διοικῆσαι κτίσεις κατ' ἀκρίβειαν, γράμματα μηδαμῶς ἐπιστάμενος; ὅθεν οὐκ ἄπο σκοποῦ καὶ Ἐρατοσθένης ἔφη, ὅτι γραμματική ἐστιν ἕξις παντελὴς ἐν γράμμασι, γράμματα καλῶν τὰ συγγράμματα. ὅτι δὲ γράμματα τὰ συγγράμματα, δηλοῖ ὁ Καλλίμαχος, εἰπών

Ὁμήρειον δὲ καλεῦμαι
γράμμα,

ἀντὶ τοῦ σύγγραμμα. καὶ πάλιν παρὰ τῷ αὐτῷ περὶ Κλεομβρότου·

εἶπας ἥλιε χαῖρε Κλεόμβροτος Ἀμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀΐδην,
ἄξιον οὔτι παθὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

πρὸς τοῦτο δὲ εἶπεν Ὀλυμπιόδωρος ὁ φιλόσοφος·

εἰ μὴ γράμμα Πλάτωνος ἐμὴν ἐπέδησεν ἐρωήν,
ἤδη λυγρὸν ἔλυσα βίου πολυκηδέα δεσμόν·

τουτέστιν εἰ μὴ ὠφελήθην ἐκ Πλάτωνος τρόπον εὐζωΐας, προέκρινα ἂν μὴ εἶναι ἢ κακὸς εἶναι.

Τῶν δὲ τεχνῶν διαφοραί εἰσι δύο. Δύο μὲν οὗτος εἶπε διὰ τὸ φιλοσύντομον, τρεῖς δὲ ὅμως εἰσί, λογικαί, πρακτικαί, μικταί. καὶ λογικαὶ μὲν λέγονται ὅσαι λόγῳ μόνῳ κατορθοῦνται, ὡς ἀστρονομία καὶ γεωμετρία· πρακτικαὶ δέ, ὅσαι πράξει, ὡς ἡ τεκτονικὴ καὶ ἡ σκυτοτομική· μικταὶ δέ, ὅσαι μετέχουσι λόγου καὶ πράξεως, ὡς ἡ γραμματικὴ καὶ ἰατρική.

Κατὰ πόσους τρόπους διαφέρει τέχνη ἐπιστήμης; Κατὰ δύο, κατὰ τὸ καθολικώτερον καὶ μερικώτερον, καὶ πταιστὸν καὶ ἄπταιστον. τῷ δὲ μερικῷ τὸ πταιστόν. ἐπιστήμη δέ ἐστιν ἕξις ἀμετάπτωτος, ἐν ψυχῇ ἐπιγινομένη, λογική, ὡς ἀστρονομία καὶ μουσική. προστιθέασι δὲ τὸ περὶ ψυχήν, χωρίζοντες αὐτὸ ἀπὸ τῶν ἄλλων συ[στημά]των, οἱονεὶ στρατιωτικῶν, πολιτικῶν καὶ τῶν τοιούτων, ἅ τινα οὐ περὶ ψυχὴν γίνονται, ἀλλὰ περὶ τρόπον τινά.

Ἐπεὶ τὰ εἰωθότα ζητεῖσθαι κεφάλαια τοῖς ἐξηγηταῖς προειρήκαμεν καὶ τὴν τέχνην ἀξίως ὡρισάμεθα, φέρε εἴπωμεν καὶ τί ἐστι τέχνη καὶ ἐμπειρία καὶ πεῖρα, ἵνα καὶ ταῦτα μαθόντες ἑνὶ τούτων τὴν γραμματικὴν οἰκειώσωμεν. Ἐπιστήμη τοίνυν ἐστὶν ἕξις ἀμετάπτωτος ἤγουν ἄπταιστος, λογικὴ ἤγουν διὰ λόγου θεωρουμένη, ὡς ἀστρονομία καὶ γεωμετρία. ἐμπειρία δὲ ἡ τῶν ὡσαύτως ἐχόντων πραγμάτων τήρησίς τε καὶ μνήμη μερική, ὡς εἴ τις ἀνὴρ ἰδιώτης τραύματί τινι βοτάνην προσαγαγών, καὶ τυχαίως τὸ πάθος ἰασάμενος, ἔκτοτε κατὰ τῶν ὁμοίων τραυμάτων τῇ τοιαύτῃ βοτάνῃ χρήσαιτο, μὴ λό-

γον τῆς θεραπείας ἀποδιδούς. διὸ καὶ τοὺς ἰατροὺς τοὺς εἰδότας μὲν ἐκ τῆς συνεχοῦς τριβῆς ἐμπειρικοὺς καλοῦμεν. πεῖρα δέ ἐστιν ἡ ἅπαξ τινὸς πράγματος δοκιμασία ἄλογος, ὡς ὅταν τις ἅπαξ ἢ δίς που πλεύσας εἴπῃ πεῖραν ἔλαβον τοῦ πλεῖν. Ἐπεὶ οὖν τῶν τεσσάρων τὴν διαφορὰν μεμαθήκαμεν, φημὶ δὲ τῆς τέχνης, τῆς ἐπιστήμης, τῆς ἐμπειρίας, τῆς πείρας, σκεψώμεθα ποίᾳ μᾶλλον οἰκειώσωμεν τὴν γραμματικήν. καὶ ὅτι μὲν οὐκ ἔστιν ἐπιστήμη, ἔστι δῆλον· οὐ γὰρ ἄπταιστος, ἀλλ' ἐν πολλοῖς ἀτελὴς· εὑρίσκεται ἐκ τοῦ πολλὰ μὴ κατορθοῦν, ἀλλ' ἐν τοῖς σεσημειωμένοις ἐᾷν. ὅτι δὲ οὐδὲ ἐμπειρία κατὰ Διονύσιον, φανερόν· οὐ γὰρ ἀμοιρεῖ λόγου τοῦ κυροῦντος αὐτήν. εἰ δ' οὐκ ἐμπειρία, πολλῷ μᾶλλον οὐδὲ πεῖρα. τέχνην τοίνυν αὐτὴν ὑποληπτέον. συνέστηκε γὰρ ἐκ διαφόρων μεθόδων καὶ καταλήψεων ἠκριβωμένων ἐν τέχνῃ καὶ ἱστορίᾳ· τὸ δὲ τέλος ἔχει βιωφελές· ποιημάτων γὰρ μήτηρ ἐστίν, ἐξ ὧν μεγίστη τῷ βίῳ συμβουλὴ καὶ ἀσφάλεια καὶ τῶν δικαίων ἀπόλαυσις. ὅτι γὰρ συμβουλεύειν οἶδε τὸ χρειῶδες ἡ ποιητική, ἄκουε καὶ Ὁμήρου λέγοντος·

πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνήρ, ᾧ πόλλ' ἐπέτελλεν
Ἀτρείδης, Τροίηνδε κιών, εἰρύσσθαι ἄκοιτιν.
ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην,
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι·
τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.

τοῦτο δὲ καὶ Σόλων εἰδώς, ὡς ἐμψυχότεραί εἰσι μᾶλλον αἱ τῶν παραινέσεων ἔμμετροι, καὶ τῇ χάριτι τοῦ ῥυθμοῦ ψυχαγωγοῦσι τὸν ἀκροατήν, ἐμμέτρως παρῄνεσεν. ὁμοίως καὶ ὁ Ἡσίοδος καὶ ἄλλοι πολλοὶ τῶν σοφῶν. ἄλλως τε καὶ τὸν ἑλληνισμὸν ἀκριβοῖ, πάσῃ λογικῇ μεθόδῳ περισπούδαστον ὄντα, προσῳδιῶν καὶ χρόνων, ἔτι δὲ καὶ ῥηματικῶν κινήσεων ἕνεκεν. πρεσβεύει . . . τῶν ἄλλων τε-

χνῶν, ὧν ἡ ὄγκοια πολλὰ τοὺς ἀμετόχους ἔβλαψε· καὶ γὰρ Ἡγέλοχος ὁ τῆς τραγῳδίας ὑποκριτής, οὐκ ἂν τοσοῦτον ὠφλήκει παρ' Ἀθηναίοις τὸν γέλωτα, εἴ τὴν ἐν τῷ ἄμβωνι ἀπόστροφον ἐγνώκει. Ξενοκράτην δὲ τὸν φιλόσοφον λέγουσι, βουλομένου τινὸς ἀγραμματικεύτου φιλοσοφεῖν, εἰπεῖν ἄπιθι· λαβὰς γὰρ οὐδὲ ὦτα ἔχεις. ἀλλ' εἴ μοι ἐρεῖς ὡς πολλοὶ δίχα γραμματικῆς ἐφιλοσόφησαν, ὡς Σίμων ὁ σκυτεὺς παρὰ Σωκράτει καὶ Κλειτόμαχος ὁ βάρβαρος, πόσῳ μᾶλλον ἀμείνους ἦσαν, φαίην ἄν, εἰ μετειλήφεισαν καὶ γραμματικῆς; εὑρήσομεν ὡς μόνον οὐ τέχνη τεχνῶν ἡ γραμματική.

Ὠνομάσθη δὲ γραμματικὴ παρὰ τὸ γράμμα, ὃ δηλοῖ πολλά, τοὺς τῶν στοιχείων τύπους, τὰ τῶν σοφῶν ἀπομνημονεύματα, καὶ τὸ ἐπίγραμμα, καὶ τὸ ποίημα·

Ὁμήρειον δὲ καλεῦμαι γράμμα,

ὁ Καλλίμαχος. καὶ ἀλλαχοῦ ὁ αὐτὸς ποτὲ μὲν τὸ ποίημα καλεῖ γράμμα, ποτὲ δὲ τὸ καταλογάδην σύγγραμμα, ὡς ἐκεῖ·

Κρεωφύλου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον Ὅμηρον
δεξαμένου· κλαίω δ' Εὔρυτον, ὅσσ' ἔπαθεν,
καὶ ξανθὴν Ἰόλειαν. Ὁμήρειον δὲ καλεῦμαι
γράμμα Κρεωφύλου.

ἀπὸ τοῦδε τοίνυν, τοῦ δηλοῦντος τὸ ποίημα, ὠνομάσθη γραμματικός, ὡς πρᾶγμα πράγματος πραγματικός, ὁ πολλῶν ποιημάτων ἐπιστήμων.

Ὁρίζονται δὲ τὴν γραμματικὴν οὕτως· γραμματική ἐστιν ἕξις θεωρητική τε καὶ καταληπτικὴ τῶν κατὰ πλεῖστον παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων, δι' ἧς ἑκάστην λέξιν τῷ οἰκείῳ κόσμῳ ἀποδιδόντες εὐκατάληπτον ἐξ ἀπείρου κατασκευάζουσι.

Μέρη δὲ αὐτῆς τέσσαρα, ἀναγνωστικόν, ἐξηγητικόν, διορθωτικὸν καὶ κριτικόν. ὄργανα τέσσαρα, γλωσσημα-

τικόν, ἱστορικόν, τεχνικόν, μετρικόν. πολλὴ δέ ἐστιν ἡ διαφορὰ μέρους καὶ ὀργάνου καὶ εἴδους. εἶδος γάρ ἐστιν ὃ διήρηται μὲν ἐκ τοῦ γένους, αὐτοτελὲς δέ ἐστι καὶ μηδενὸς εἰς συμπλήρωσιν δεόμενον, οἷον εἰ λέγοιμεν γένος τὸ φυτόν, εἶδος δὲ τὴν ἐλαίαν, καὶ γένος τὴν τέχνην, εἶδος δὲ τὴν γραμματικήν. τὸ δὲ μέρος ἀτελὲς καὶ ἀπόσπασμα ἑνὸς μόνου, ὡς λέγομεν πρύμναν· μόνης γὰρ νηός· καὶ στέλεχος· μόνου γὰρ φυτοῦ. καὶ τὸ μὲν εἶδος ἔχει ἐν ἑαυτῷ τὸ γένος· εἴ τι γὰρ ἐλαία, τοῦτο καὶ φυτόν, καὶ εἴ τι ἵππος, τοῦτο καὶ ζῶον· τό γε μὴν μέρος οὐχ οὕτως ἔχει· οὔτε γὰρ ὅλον τί ἐστιν, ὡς τὸ εἶδος, οὔτε ἐν ἑαυτῷ περιέχει τὸ ὅλον. καὶ ταῦτα μὲν περὶ μέρους. τὸ δὲ ὄργανον διαφόροις ὑποπίπτει τέχναις, ὡς τρύπανον, σκέπαρνον καὶ τὰ τοιαῦτα. ὑποπίπτουσι γὰρ τῇ τε λεπτουργικῇ καὶ ναυπηγικῇ καὶ ἄλλαις τισὶ τῶν τεχνῶν.

Διττὴ δέ ἐστιν ἡ γραμματική. ἡ μὲν γὰρ περὶ τοὺς χαρακτῆρας καὶ τὰς τῶν στοιχείων ἐκφωνήσεις καταγίνεται, ἥ τις καὶ γραμματικὴ λέγεται παλαιά, οὖσα καὶ πρὸ τῶν Τρωϊκῶν, σχεδὸν δὲ καὶ ἅμα τῇ φύσει προελθοῦσα· ἡ δὲ περὶ τὸν ἑλληνισμόν, ἥ τις καὶ νεωτέρα ἐστίν, ἀρξαμένη μὲν ἀπὸ Θεογένους, τελεσθεῖσα δὲ παρὰ τῶν Περιπατητικῶν παρ' Ἐξιφάνους τε καὶ Ἀριστοτέλους. καὶ τῆς μὲν τέλος τὸ εὖ ἀναγινώσκειν, τῆς δὲ τὸ εὖ γράφειν.

χνῶν, ὧν ἡ ἄγκοια πολλὰ τοὺς ἀμετόχους ἔβλαψε· καὶ γὰρ Ἡγέλοχος ὁ τῆς τραγῳδίας ὑποκριτής, οὐκ ἂν τοσοῦτον ὠφλήκει παρ' Ἀθηναίοις τὸν γέλωτα, εἰ τὴν ἐν τῷ ἄμβωνι ἀπόστροφον ἐγνώκει. Ξενοκράτην δὲ τὸν φιλόσοφον λέγουσι, βουλομένου τινὸς ἀγραμματικεύτου φιλοσοφεῖν, εἰπεῖν ἄπιθι· λαβὰς γὰρ οὐδὲ ὦτα ἔχεις. ἀλλ' εἴ μοι ἐρεῖς ὡς πολλοὶ δίχα γραμματικῆς ἐφιλοσόφησαν, ὡς Σίμων ὁ σκυτεὺς παρὰ Σωκράτει καὶ Κλειτόμαχος ὁ βάρβαρος, πόσῳ μᾶλλον ἀμείνους ἦσαν, φαίην ἄν, εἰ μετειλήφεισαν καὶ γραμματικῆς; εὑρήσομεν ὡς μόνον οὐ τέχνη τεχνῶν ἡ γραμματική.

Ὠνομάσθη δὲ γραμματικὴ παρὰ τὸ γράμμα, ὃ δηλοῖ πολλά, τοὺς τῶν στοιχείων τύπους, τὰ τῶν σοφῶν ἀπομνημονεύματα, καὶ τὸ ἐπίγραμμα, καὶ τὸ ποίημα·

Ὁμήρειον δὲ καλεῦμαι γράμμα,

ὁ Καλλίμαχος. καὶ ἀλλαχοῦ ὁ αὐτὸς ποτὲ μὲν τὸ ποίημα καλεῖ γράμμα, ποτὲ δὲ τὸ καταλογάδην σύγγραμμα, ὡς ἐκεῖ·

Κρεωφύλου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον Ὅμηρον
δεξαμένου· κλαίω δ' Εὔρυτον, ὅσσ' ἔπαθεν,
καὶ ξανθὴν Ἰόλειαν. Ὁμήρειον δὲ καλεῦμαι
γράμμα Κρεωφύλου.

ἀπὸ τοῦδε τοίνυν, τοῦ δηλοῦντος τὸ ποίημα, ὠνομάσθη γραμματικός, ὡς πρᾶγμα πράγματος πραγματικός, ὁ πολλῶν ποιημάτων ἐπιστήμων.

Ὁρίζονται δὲ τὴν γραμματικὴν οὕτως· γραμματικὴ ἔστιν ἕξις θεωρητική τε καὶ καταληπτικὴ τῶν κατὰ πλεῖστον παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων, δι' ἧς ἑκάστην λέξιν τῷ οἰκείῳ κόσμῳ ἀποδιδόντες εὐκατάληπτον ἐξ ἀπείρου κατασκευάζουσι.

Μέρη δὲ αὐτῆς τέσσαρα, ἀναγνωστικόν, ἐξηγητικόν, διορθωτικὸν καὶ κριτικόν. ὄργανα τέσσαρα, γλωσσημα-

τικόν, ἱστορικόν, τεχνικόν, μετρικόν. πολλὴ δέ ἐστιν ἡ διαφορὰ μέρους καὶ ὀργάνου καὶ εἴδους. εἶδος γάρ ἐστιν ὃ διήρηται μὲν ἐκ τοῦ γένους, αὐτοτελὲς δέ ἐστι καὶ μηδενὸς εἰς συμπλήρωσιν δεόμενον, οἷον εἰ λέγοιμεν γένος τὸ φυτόν, εἶδος δὲ τὴν ἐλαίαν, καὶ γένος τὴν τέχνην, εἶδος δὲ τὴν γραμματικήν. τὸ δὲ μέρος ἀτελὲς καὶ ἀπόσπασμα ἑνὸς μόνου, ὡς λέγομεν πρύμναν· μόνης γὰρ νηός· καὶ στέλεχος· μόνου γὰρ φυτοῦ. καὶ τὸ μὲν εἶδος ἔχει ἐν ἑαυτῷ τὸ γένος· εἴ τι γὰρ ἐλαία, τοῦτο καὶ φυτόν, καὶ εἴ τι ἵππος, τοῦτο καὶ ζῶον· τό γε μὴν μέρος οὐχ οὕτως ἔχει· οὔτε γὰρ ὅλον τί ἐστιν, ὡς τὸ εἶδος, οὔτε ἐν ἑαυτῷ περιέχει τὸ ὅλον. καὶ ταῦτα μὲν περὶ μέρους. τὸ δὲ ὄργανον διαφόροις ὑποπίπτει τέχναις, ὡς τρύπανον, σκέπαρνον καὶ τὰ τοιαῦτα. ὑποπίπτουσι γὰρ τῇ τε λεπτουργικῇ καὶ ναυπηγικῇ καὶ ἄλλαις τισὶ τῶν τεχνῶν.

Διττὴ δέ ἐστιν ἡ γραμματική. ἡ μὲν γὰρ περὶ τοὺς χαρακτῆρας καὶ τὰς τῶν στοιχείων ἐκφωνήσεις καταγίνεται, ἥ τις καὶ γραμματικὴ λέγεται παλαιά, οὖσα καὶ πρὸ τῶν Τρωϊκῶν, σχεδὸν δὲ καὶ ἅμα τῇ φύσει προελθοῦσα· ἡ δὲ περὶ τὸν ἑλληνισμόν, ἥ τις καὶ νεωτέρα ἐστίν, ἀρξαμένη μὲν ἀπὸ Θεογένους, τελεσθεῖσα δὲ παρὰ τῶν Περιπατητικῶν παρ᾽ Ἐξιφάνους τε καὶ Ἀριστοτέλους. καὶ τῆς μὲν τέλος τὸ εὖ ἀναγινώσκειν, τῆς δὲ τὸ εὖ γράφειν.

§ 1.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΙΚΗΣ.

Τῶν τεχνογράφων οἱ μὲν ἀπὸ λόγου ἤρξαντο, οἱ δὲ ἀπὸ ὅρου, ἔνιοι δὲ ἀπὸ λέξεως, ἄλλοι δὲ ἀπὸ συλλαβῆς, τινὲς δὲ ἀπὸ στοιχείων· εἰσὶ δὲ καὶ ἀπὸ φωνῆς ἀρξάμενοι, ὅπερ καὶ ἄμεινον. εἰ γὰρ ὕλη γραμματικῆς λέξις, αὕτη δὲ συνέστηκεν ἐκ συλλαβῶν, αἱ δὲ συλλαβαὶ ἀπὸ στοιχείων, τὰ δὲ στοιχεῖα ἡ πρώτη καὶ ἄτομος τοῦ ἀνθρώπου φωνὴ ὑπάρχει, δῆλον ὡς ἀπὸ τοῦ ἀρχετύπου καὶ πρώτου αἰτίου ἄρχεσθαι δεῖ, τῆς φωνῆς. ὁ δὲ Διονύσιος, νέοις ἐκδιδοὺς τὸ ποίημα, καὶ κατ' ἀρχὰς διαλαβεῖν τὸν περὶ ἀναγνώσεως βουλόμενος λόγον, ὅς ἐστι πάντων τοῖς νέοις προυργιαίτερος, ἐπίτηδες τὸν περὶ γραμματικὴν προέκρινε λόγον. δυοῖν ἕτερον ἐχρῆν· ἢ τὸ ποιοῦν τοῦ γενομένου προτάσσειν καὶ τὸ πρῶτον τῇ τάξει πρωτεύειν καὶ τῇ θέσει, τουτέστι τῶν λέξεων κατάλογον, ἐξ ὧν ἡ γραμματικὴ συνέστηκεν· ἢ προθέμενον εἰπεῖν περὶ γραμματικῆς, ἀκριβῶσαι αὐτῆς πάντα τὰ μέρη καὶ μὴ μόνον τὸ ἀναγνωστικόν.

„Γραμματική ἐστιν ἐμπειρία". Ἐνταῦθα γενόμενος Πτολεμαῖος ὁ Περιπατητικὸς καὶ ἄλλοι τινὲς ἐγκαλοῦσι Διονυσίῳ ἐμπειρίαν εἰρηκότι τὴν λογικωτάτην γραμματικήν, ἥ τις — ἐμπειρία φημί — τῶν ὡσαύτως ἐχόντων πραγμάτων ἐστὶ τήρησίς τε καὶ μνήμη ἄλογος. Καὶ οἱ μὲν οὕτως ἐπιλύονται τὴν κατηγορίαν. ἐπειδὴ γὰρ οὐ λόγῳ πάντοτε κατορθοῦται ἡ γραμματική, ἀλλὰ πολλάκις καὶ ψιλῇ παραδόσει, ὡς ἐπὶ τοῦ σκείρων καὶ εἰμί καὶ μεγάλως καὶ ὀλίγος, καὶ πολλάκις εὑρίσκομεν τὴν γραμματικὴν ἄλογον, φασὶν οὕτως ἔχειν τὸν ὅρον· γραμματική ἐστιν ὡς ἐπὶ πολὺ τῶν λέξεων ἐμπειρία, κατὰ δὲ τὸ πλεῖστον τέχνη. οὗτοι δὲ τὸ μὲν

ὑποκείμενον ἐπιθανεύσαντο, τόν γε μὴν ὅρον ἐλυμήναντο· πάντων [γὰρ] δεῖ εἶναι τὸν ὅρον περιεκτικόν, τὸ δὲ ὡς ἐπὶ πολύ ἀνοίκειον τοῦ ὅρου. Ἕτεροι δὲ οὕτω φασίν, ὅτι τὸ τῆς ἐμπειρίας ὄνομα τέτακται καὶ ἐπὶ τῆς τέχνης ἀδιαφόρως [ὑπὸ] τοῦ βίου, τῶν αὐτῶν ἐμπείρων τε καὶ τεχνικῶν ὀνομαζομένων, ὡς φησί που καὶ Μητρόδωρος μηδεμίαν ἄλλην πραγμάτων ἐμπειρίαν τὸ ἑαυτῆς τέλος συνορᾷν ἢ φιλοσοφίαν, τουτέστι μηδεμίαν τέχνην. Τάττεται δὲ τὸ τῆς ἐμπειρίας ὄνομα ἐξόχως καὶ ἐπὶ τῆς τῶν πολλῶν καὶ ποικίλων πραγμάτων γνώσεως, καθὸ καὶ τοὺς πρεσβύτας πολλὰ μὲν ἰδόντας, πολλὰ δὲ καὶ ἀκούσαντας ἐμπείρους τοῦ βίου φαμέν, ὡς Εὐριπίδης ἐν Φοινίσσαις, παρεισάγων τὴν Ἰοκάστην πρὸς τὸν Ἐτεοκλῆν λέγουσαν·

ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ᾽ ἡμπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

ἄμεινον οὖν λέγειν ἐμπειρίαν τὴν πολυπειρίαν. ὅτι οὐ διαφέρεται πρὸς τὸ ὄνομα τῆς ἐμπειρίας καὶ τῆς τέχνης ὁ τεχνικός, δῆλον ἀφ᾽ ὧν ὑποκατιὼν τὴν ἐμπειρίαν τέχνην φησί, λέγων „ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ". Ἄλλοι φασὶ βουλόμενος ἐφελκύσασθαι τοὺς νέους, τέως ἐμπειρίαν καλεῖστὴν γραμματικήν, ὕστερον δὲ τέχνην.

Μελάμποδος. Πρότερον δεῖ ἡμᾶς γνῶναι, τί ἐστι πεῖρα, εἶθ᾽ οὕτως τί ἐστιν ἐμπειρία. πεῖρα τοίνυν ἐστὶ κυρίως ἡ ἅπαξ τινὸς πράγματος δοκιμασία ἄλογος, ἐμπειρία δὲ ἡ πολλάκις τοῦ αὐτοῦ πράγματος δοκιμασία ἄλογος. διὸ καὶ τοὺς ἰατροὺς τοὺς εἰδότας μὲν ἐκ τῆς συνεχοῦς τριβῆς περιοδεύειν, μὴ δυναμένους δὲ λόγον ἀποδιδόναι τῆς περιοδείας, ἐμπειρικούς φαμέν. τί οὖν;

ἡ γραμματικὴ ἄλογός ἐστιν; οὔ, ἀλλ' ἐνταῦθα καταχρηστικῶς εἶπεν ἀντὶ τοῦ γνῶσις.

Ἐμπειρίαν εἰπὼν ἐξεφαύλισε τὴν τέχνην. ἐμπειρία γάρ ἐστιν ἡ ἄλογος τριβή, ὡς καὶ ἐμπειρικοὺς λέγομεν ἰατροὺς τοὺς ἄνευ λόγου τὰς θεραπείας τοῖς πάσχουσι προσάγοντας. ὅτι μὲν γὰρ θεραπεύειν οἷόν τέ ἐστι τὸ φάρμακον πρὸς τὸ ἕλκος, ἐπίστανται· εἰ δέ τις ἔροιτο τίνος ἕνεκα πρὸς τόδε τὸ πάθος ἐπιτηδείως ἔχει, ἀποροῦσιν. ἡ δὲ γραμματικὴ πάντα μετὰ λόγου καὶ τῆς 1
δεούσης ἀναλογίας κανονίζει. πῶς οὖν ὁ τεχνικὸς εἴρηκεν ἐμπειρία; ἆρα ἄγνωστος ὢν τοῦ καλῶς ἔχοντος; φαμὲν ὅτι οὔ, ἀλλ' ἐπειδὴ ὁ σκοπὸς αὐτῷ πρὸς εἰσαγομένους γράφειν, δεῖ δὲ τὰς εἰσαγωγικὰς τέχνας ἀπέχεσθαι τῶν δυσχερῶν προβλημάτων, τῶν δ' εὐκήπτων ἀντέχε- 1
σθαι, εἰδὼς ὅτι καὶ ἡ ἐμπειρία πολλαχῶς παρὰ τοῖς ἀρχαίοις φράζεται· ἔστι γὰρ ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἔστι δὲ καὶ ἡ ἀκριβὴς μάθησις. ἁπλούστερον δὲ τὸν λόγον ἐποιήσατο ὡς πρὸς εἰσαγομένους, σημαίνων ἀπὸ ἐμπειρίας τὴν γνῶσιν. ὥστε ἡ γραμματικὴ γνῶσίς 2
ἐστι. τίνων; ὧν παρατίθησιν αὐτός.

Πολλοὶ τῷ Διονυσίῳ ψόγον προσάπτουσι, λέγοντες κακῶς αὐτὸν εἰρηκέναι τὴν γραμματικὴν ἐμπειρίαν — οὐδὲν γὰρ ἄλλο ἐστὶν ἐμπειρία ἀλλ' ἢ ἀλόγου τέχνης κα- 2
τόρθωσις, ὥσπερ πεῖρα ἡ ἅπαξ δοκιμασία τινὸς ἀλόγου τριβῆς· ἡ δὲ γραμματικὴ οὐκ ἄλογός ἐστι τέχνη, ἀλλὰ μικτή —, ἀγνοοῦντες ὅτι, ἐπεὶ μικτή ἐστιν ἡ γραμματική, λογική τε καὶ πρακτική, διὰ τοῦ ἐμπειρία τὸ πρακτικὸν αὐτῆς μέρος ἀφορίζεται. Τί μὴ ἀπὸ τοῦ κρείτ- 3
τονος ὁρισάμενος τὸ χεῖρον διέλαβε; κρεῖττον γάρ ἐστι τὸ λογικὸν τοῦ πρακτικοῦ. Πρὸς οὓς φαμεν, ὅτι κακῶς, ὦ οὗτοι, φατέ, ἀγνοοῦντες ὅτι πάντα τοῦ εἶναι

ἐφίε-

ἐφίεται. εἰ δὲ διωρίσατο τὸ κρεῖττον, ἐλάνθανεν ἄρα τὸ χεῖρον ὡς μὴ ὄν. διὰ τοῦτο τὸ χεῖρον ὁρισάμενος, τὸ κρεῖττον διέλαβεν. ἔνθεν καὶ ἡμίονος ἀπὸ τοῦ χείρονος ὠνομάσθη, οὐχ ἡμίιππος, ἵνα μὴ λάθῃ τὸ χεῖρον ὄν. Τινὲς δὲ λέγουσιν ὅτι ἐμπειρία ἐπὶ ἀμφοτέρων τῶν σημαινομένων λαμβάνεται, ἐπὶ τοῦ λογικοῦ καὶ τοῦ πρακτικοῦ. λέγουσι γὰρ ὅτι ἐμπειρία ἐστὶν ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἀγνοοῦντες ὅτι τὸ προκατάρχον αἴτιον τῆς λέξεως, τὸ πεῖρα, οὐδὲν ἄλλο δηλοῖ ἀλλ᾽ ἢ τὴν ἀποδοκιμασίαν ἀλόγου τέχνης, ὡς εἴπομεν. παρὰ γὰρ τὸ πεῖρα, ἐν μετασχηματισμῷ καὶ συνθέσει τῆς ἐν προθέσεως, ἐγένετο ἔμπειρος, καὶ τὸ θηλυκὸν ἐμπειρία.

„Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι." Οὐκ ἔστι ποιητὴς ὁ μέτρῳ μόνῳ χρώμενος· οὐδὲ γὰρ Ἐμπεδοκλῆς ὁ τὰ φυσικὰ γράψας, οὐδ᾽ οἱ περὶ ἀστρολογίας εἰπόντες, οὐδὲ ὁ Πύθιος ἐμμέτρως χρησμῳδῶν. χρὴ γὰρ εἰδέναι ὅτι ταῦτα χαρακτηρίζει ποιητήν, μέτρον, πλάσμα, ἱστορία, ποιὰ λέξις. οὐδὲ γὰρ συγγραφεὺς λέγεται ὁ καταλογάδην εἰρηκώς, ἀλλ᾽ εἰδικῶς συγγραφεὺς ἐκεῖνος ὀνομάζεται ὁ τὰ ἐπὶ τῶν αὐτοῦ καιρῶν γεγονότα συγγραψάμενος, ὡς Θουκυδίδης, ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτικά.

Ποιηταὶ λέγονται οἱ τὰ ἔμμετρα γράψαντες, συγγραφεῖς δὲ οἱ τὰ ἐφ᾽ ἑαυτῶν γενόμενα συγγραψάμενοι, καταχρηστικῶς δὲ καὶ πάντες οἱ πεζῇ φράσει κεχρημένοι.

Οὐκ ἔστι μόνον παρὰ τοῖς ποιηταῖς καὶ συγγραφεῦσι χρειώδης ἡ γραμματική, ἀλλὰ καὶ παρὰ ῥήτορσι καὶ ἱστοριογράφοις. τέσσαρα γάρ εἰσι ταῦτα, ἀλλήλοις ἀντιπαρακείμενα· ἐξ ἑκατέρας δὲ ἀντιθέσεως ἓν εἰπών, καὶ τὸ ἕτερον παρεδήλωσεν. ἀντίκειται τῇ μὲν ποιητικῇ ἡ

ἱστοριογραφική· ἡ μὲν γὰρ ποιητικὴ τέχνη, ἡ δὲ ἱστοριογραφικὴ οὐ τέχνη· τὸ δὲ τέχνη καὶ οὐ τέχνη ἀντίθεσις. ὡςαύτως καὶ ἡ ῥητορικὴ ἀντίκειται τῇ συγγραφικῇ· ἡ μὲν ῥητορικὴ τέχνη ἐστίν, ἡ δὲ συγγραφικὴ οὐ τέχνη ἐστί. συγγραφεὺς δὲ καὶ ὁ ῥήτωρ καὶ ἱστοριογράφος ταύτῃ διαφέρουσι. συγγραφεὺς μὲν γὰρ ὁ τὰ ἐφ' ἑαυτοῦ γενόμενα συγγραψάμενος, ὡς Θουκυδίδης ὁ Ἀθηναῖος τὸν Πελοποννησιακὸν πόλεμον συνέγραψεν, ἐπὶ αὐτοῦ γεγονότα· ἱστοριογράφος ὁ τὰ πρὸ αὐτοῦ πάντα γράφων, ὡς Ἡρόδοτος· ῥήτωρ ὁ περὶ τὰ πολιτικὰ ἠσχολημένος, ὡς Δη- 1
μοσθένης καὶ οἱ κατ' αὐτόν. ποιητὴς δὲ κεκόσμηται τοῖς τέσσαρσι τούτοις, μέτρῳ, μύθῳ, ἱστορίᾳ καὶ ποιᾷ λέξει, καὶ πᾶν ποίημα μὴ μετέχον τῶν τεσσάρων τούτων οὐκ ἔστι ποίημα. ἀμέλει τὸν Ἐμπεδοκλέα καὶ Τυρταῖον οὐ καλοῦσι ποιητάς, εἰ καὶ μέτρῳ ἐχρήσαντο, διὰ τὸ μὴ 1
χρήσασθαι αὐτοὺς τοῖς τῶν ποιητικῶν χαρακτηριστικοῖς.

„Ὡς ἐπὶ πολύ" ὡς ἐπὶ τὸ πλεῖστον. Ἕως ἐνταῦθά ἐστιν [ὁ] ὅρος τῆς γραμματικῆς. εἴπωμεν οὖν αὐτόν· γνῶσις τῶν παρὰ τοῖς ἔμμετρα καὶ ἄμετρα γράψασιν ὡς 2
ἐπὶ τὸ πλεῖστον εὑρισκομένων. Διὰ τί δὲ εἶπεν „ὡς ἐπὶ τὸ πλεῖστον"; ἐπειδή τινες λέξεις ἅπαξ που ἢ δὶς εἰρημέναι εἰσίν, ἃς οὐ πᾶσα ἀνάγκη εἰδέναι τὸν γραμματικόν, οἷον οἱ γρῖφοι. τί δέ εἰσιν οἱ γρῖφοι; τὰ ζητήματα ἤτοι τὰ νοήματα. ἢ ὡς ἔν τισιν εὑρίσκομεν τὸ δέρμα τοῦ 2
ἀρνὸς κληθὲν σκέπαρνον, ἢ ἐκ πρώτης ἀκοῆς νομίσειεν ἄν τις εἰρηκέναι τὸ τεκτονικὸν ἐργαλεῖον. πάλιν ἔν τισιν ἱστοριογράφοις τὸ δόρυ εὑρίσκομεν λεχθὲν βαλάντιον, τῆς συνηθείας ἡμᾶς εἰς ἄλλο φερούσης· ὁ δὲ διὰ τὸ βαλεῖν κατεναντίον οὕτως αὐτὸ ἐκάλεσε. καὶ τὸν Τη- 3
λέμαχον Μακροπόλεμον ἐν τοῖς στίχοις τούτοις·

Οὕτινος εὐνάτειρα, Μακροπτολέμοιό τε μάτηρ
μαίας ἀντιπάτροιο θοὸν τέκες ἰθυντῆρα,

καὶ τὰ ἑξῆς. ἢ ὡς ἐν τῷ βωμῷ τοῦ Δωσιάδου ἡ γυνὴ εἴρηται στήτη, ἐπειδή τινες τὸ παρ' Ὁμήρῳ

διαστήτην ἐρίσαντες

οὕτως ἐξηγήσαντο, διὰ τὴν γυναῖκα. σύριγξ δὲ καὶ βωμὸς ποιήματά τινά ἐστι ... μέτρων τὸ σχῆμα καὶ τὴν διατύπωσιν τῆς ἐπωνυμίας ἔχοντα. τὰ οὖν τοιαῦτα ζητήματα εἰ μὲν ἐπίσταται ὁ γραμματικός, ἐπαινετέος ἐστίν· εἰ δὲ μή γε, οὐκ ἔστι μέμψεως ἄξιος. 5

Τουτέστι τῶν ὑπὸ πολλῶν ἀρχαίων διὰ μνήμης ἀξίως ἐνεχθέντων. λείπει δὲ τὸ λέξεων, ἵνα ᾖ τοιοῦτον [τὸ] ὅλον σημαινόμενον· χρειώδης ἐστὶν ἡ γραμματική, ἐμπειρία οὖσα τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων λέξεων παρά τε τοῖς ποιηταῖς καὶ συγγραφεῦσι. 10

„Μέρη δὲ αὐτῆς ἕξ." Τί δή ποτε τῆς γραμματικῆς μέρη λέγομεν, τῆς δὲ ῥητορικῆς εἴδη; καὶ τίνι διαφέρει μέρος εἴδους καὶ ὀργάνου; Εἶδος μὲν γὰρ τέλειόν ἐστιν, ὃ λέγομεν εἶδος ζώου ὁ ἄνθρωπος· μέρος δέ ἐστιν ὃ μεθ' ἑτέρων συναγωγῆς τέλειόν τι ἀπεργάζεται· ὄργανον δὲ τὸ καὶ ἑτέραις τέχναις πεποιημένον, ἀντιπεπονθὸς τῷ μέρει. τὸ γὰρ μέρος αὐτῷ μόνῳ πεποίηται, οὗ ἐστὶ μέρος, οἷον ὀφθαλμὸς ἐκείνῳ μόνῳ πεποίηται, οὗ ἐστὶ μέρος· τὸ δὲ ὄργανον καὶ ἑτέροις ἁρμόζει, οἷον τὸ πρίλιον οὐκ ἐφ' ἑνὶ ἔργῳ χρήσιμον, ἀλλ' ἐν πολλοῖς ἔργοις. Ἰστέον δὲ ὅτι ἡ γραμματικὴ εἴδη οὐκ ἔχει. οὐ γὰρ τὸ ἀναγνωστικὸν ἢ τὸ ἐξηγητικὸν τέλειον ἀποτελεῖ γραμματικόν, ὥσπερ τὸ συμβουλευτικὸν ῥήτορα τέλειον. διὰ τί δὲ τῶν ἐξ τούτων μὴ ὄντων μόνως μερῶν, ἀλλὰ καὶ ὀργάνων, τὰ πάντα μέρη ἐκάλεσεν; Καὶ λέγομεν ὅτι πρὸς εἰσαγομένους οὐκ ἀκριβολογεῖται. ἰστέον δὲ ὅτι [μέρη μὲν] ἐστι τῆς γραμματικῆς τὸ ἀναγνωστικὸν μετὰ τῆς δεούσης προσῳδίας, καὶ τὸ ἐξηγητικόν, ὥς φησιν αὐτός, κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους, τουτέστι 15 20 25 30

κατὰ πνεύματα, κατὰ πάθη. Ἔστιν οὖν ἀνάγνωσις ἡ συντετριμμένη ἢ συνήθης καὶ δεδοκιμασμένη προφορὰ τῶν ἀναγινωσκομένων κατὰ τέχνην. ἡ γοῦν παρὰ τέχνην οὐκ ἀνάγνωσις, ἀλλ' ἀγνωσία.

Πρῶτόν φησι τὴν ἀνάγνωσιν ἀναγκαῖον· πρῶτον γὰρ φοιτῶντες εἰς γραμματικούς, τὸ εὖ ἀναγινώσκειν μανθάνομεν. „ἐντριβὴς" δὲ ἡ τετριμμένη καὶ ἐκ παλαιῶν διδασκάλων παραδεδομένη ἀνάγνωσις.

„Δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας." Μετὰ τὸ διδαχθῆναι τὸν εἰσαγόμενον τὸ καλῶς ἀναγινώσκειν, ἀναγκαῖον ἐκλέγεσθαι καὶ τῆς καλῶς ἀναγνωσθείσης λέξεως τὴν σημασίαν, ἥ τίς ἐστιν ἡ ἐξήγησις, εἰς τὸ ἑξῆς ἡμᾶς ἄγουσα τοῦ νοῦ.

„Ἐνυπάρχοντας" τοὺς ὄντας καὶ ἐγκειμένους. „ποιητικοὺς" τοὺς μάλιστα ποιηταῖς ἁρμόζοντας. „τρόπους" τοὺς τρέποντας ἡμᾶς ἀπὸ τοῦ προσδοκωμένου εἰς ἀπροσδόκητον. οἷόν τί; ὡς τὸ

κορυφὴ ὄρεος μεγάλοιο,

ὁ γὰρ ἀκούσας τὸ κορυφή, ὑπονοεῖται περί τινος ἐμψύχου εἰρῆσθαι· ὁ δὲ ὑποφέρει ὄρεος, καὶ ἔτρεψε τὸν ἀκούσαντα, ὡς εἴρηται, ἀπὸ τοῦ προσδοκωμένου εἰς ἀπροσδόκητον, ἀπὸ ἐμψύχου εἰς ἄψυχον. ὁμοίως καὶ τὸ

πάντες δ' ἐσσείοντο πόδες πολυπίδακος Ἴδης.

λεχθὲν γὰρ τὸ πόδες ἔννοιαν παρέσχε τῷ ἀκούσαντι ἐμψύχου ἐπιφορᾶς· ὁ δὲ τὴν Ἴδην τὸ ὄρος ἐπιφέρει. καὶ καλεῖται οὗτος ὁ τρόπος μεταφορά· μεταφέρει γὰρ τὰ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα. Ἀνακεφαλαιώσωμεν οὖν. τί ἐστὶ τὸ [δεύτερον] μέρος τῆς γραμματικῆς; τὸ ἐξηγεῖσθαι κατὰ τοὺς ὄντας καὶ ἐγκειμένους τρόπους, καὶ μάλιστα ποιηταῖς ἁρμόζοντας. διὰ τί δὲ εἴπομεν μάλιστα; ἐπειδὴ ἑνί που ἢ δευτέρῳ ἐξ αὐτῶν, φημὶ δὲ τῶν τρόπων, κέχρην-

ται οἱ ῥήτορες. ποίῳ; ὡς τῇ εἰρωνείᾳ. τί δέ ἐστιν εἰρωνεία; ὅταν ἐπιγελῶν τις, ἀντὶ τοῦ δεῖξαι φανερῶς ὅτι ψέγει αὐτόν, δοκῇ τοῖς λόγοις ἐπαινεῖν, ὥσπερ ἐν τῇ συνηθείᾳ φαμὲν πολλάκις πρὸς ἐχθρόν, καλὲ ἄνθρωπε, παῦσαι. ὥσπερ καὶ ὁ ποιητὴς εἰσάγει τὸν Ὀθρυονέα μετὰ τὸ φονευθῆναι καταγελώμενον ὑπὸ τοῦ Ἰδομενέως. ταύτῃ τῇ εἰρωνείᾳ κέχρηνται οἱ ῥήτορες· ἄλλοις δὲ τρόποις οὐκ ἐφικτὸν αὐτοῖς κεχρῆσθαι, εἰ μὴ προτάξωσι κατὰ τὴν ποίησιν, καθ' Ὅμηρον. εἰσὶ δὲ τρόποι πολλοί, καὶ οἱ μέν φασιν αὐτοὺς εἶναι ὀκτωκαίδεκα, οἱ δὲ εἴκοσι τέσσαρας, οἱ δὲ εἴκοσιν ὀκτώ, οἱ δὲ τριάκοντα δύο. οἱ αὐτοὶ δέ εἰσιν· οἱ γὰρ δυςχερέστατοι αὐτῶν τέμνονται εἰς πλείονας, ὥσπερ τὸ διορθωτικὸν ἐτμήθη εἰς τρία.

„Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχ. ἀπόδ." Πρῶτον μανθάνει ὁ εἰσαγόμενος, ὅτι μῆνιν βαρυτόνως δεῖ ἀναγινώσκειν· διδαχθεὶς δὲ καὶ τοῦτο ἀναγνούς, ἀπαιτεῖ τὴν ἐξήγησιν· μαθὼν δὲ ὅτι ὀργὴν ἐπίμονον σημαίνει, ἀπαιτεῖ τὴν διάλεκτον, τίνες δὲ λέγουσι μῆνιν τὴν ὀργήν, καὶ ἀκούει ὅτι οἱ Ἴωνες. „πρόχειρος" δὲ ἀντὶ τοῦ ἕτοιμος. „ἀπόδοσις" ἡ ἀπολογία. Δεῖ οὖν τὸν γραμματικόν, φησίν, ἐρωτώμενον ἢ περὶ σημασίας ἢ περὶ γλώττης ἢ ἱστορίας προχείρως ἀποδιδόναι τὴν αἰτίαν.

„Γλωσσῶν" τῶν γλωσσηματικῶν λέξεων ἢ τῶν διαλέκτων. διάλεκτοι δέ εἰσι πέντε, Ἰάς, Ἀτθίς, Δωρίς, Αἰολίς, κοινή, ᾗ πάντες χρῶνται. γλωσσηματικαὶ δὲ λέξεις εἰσὶν αἱ ἐπιχωριάζουσαι, τουτέστιν αἱ καθ' ἑκάστην χώραν ἢ πόλιν ἴδιαί τινες λέξεις. „ἱστοριῶν" δὲ τῶν διηγημάτων. „πρόχειρος" ἕτοιμος. „ἀπόδοσις" κρίσις. Τί τρίτον οὖν μέρος τῆς γραμματικῆς ἐστί; τῶν γλωσσηματικῶν λέξεων καὶ τῶν διηγημάτων ἡ ἕτοιμος ἀπόκρισις. ἰδοὺ τοῦτο τὸ ἓν μέρος ἐστὶ τοῦ διορθωτικοῦ.

„Τέταρτον ἐτυμολογίας εὕρεσις." Μετὰ τὸ γνῶναι ἡμᾶς τὴν ἱστορίαν, ἀναγκαίως τρέχομεν εἰς τὴν ἐτυμολογίαν. ἐτυμολογία δέ ἐστιν ἀνάπτυξις λέξεως κατὰ τὸ δυνατόν. εἴρηται δὲ παρὰ τὸ ἔτυμον, ὅ ἐστιν ἀληθὲς καὶ πιθανόν.

Ἐτυμολογία ἐστὶν ἀνάπτυξις τῶν λέξεων, δι' ἧς τὸ ἀληθὲς σαφηνίζεται· ἔτυμον γὰρ λέγεται τὸ ἀληθές, τῆς τυ συλλαβῆς διὰ τοῦ υ μόνου γραφομένης, καὶ οὐ διὰ τῆς οι διφθόγγου. ἐτυμολογία ὡς ἂν εἴ τις εἴποι ἀληθι- 10
νολογία. οὐ γὰρ ὡς ἔτυχεν ἐξ ἀρχῆς αἱ Ἑλληνικαὶ λέξεις ἐπετέθησαν ἑκάστῳ πράγματι, ἀλλὰ διὰ τὸ τὸν νοῦν ἀναπτύσσοντας ἐξευρίσκειν, χάριν τίνος τόδε τι καὶ πῶς δὲ λέγεται. τέταρτον οὖν μέρος τῆς γραμματικῆς ἐστιν. ὡς εἴ τις ἔροιτό με, βλέφαρον διὰ τί εἴρηται, τρέψας τὸ 15
φ εἰς τὸ π, καὶ διαστείλας τὴν λέξιν, εὗρον ὅτι διὰ τοῦτο λέγεται βλέφαρον, διότι αἰρομένου αὐτοῦ ἐπὶ τὰ ἄνω βλέπομεν, οἷον βλεπέαρον, ἆρον καὶ βλέπεις· ἢ μηδὲ τρέψας τι, διαστείλας δὲ μόνον τὴν λέξιν, εὗρον ὅτι ὡς- 20
ανεὶ φᾶρος, ὅπερ περιβόλαιόν ἐστι τοῦ βλέμματος. πάλιν εἴ τις ἔροιτό με, γλῶσσα διὰ τί λέγεται, τρέψας τὸ λ εἰς τὸ ν καὶ τὸ δεύτερον σ εἰς τὸ τ, φημὶ οὕτως, ἡ γνωστὰ ἐν τῷ νῷ τοῖς ἀκούουσι ποιοῦσα τὰ λεγόμενα· οὐ γὰρ δι' ἑτέρου μέρους σωματικοῦ γινώσκομεν τὴν ἑκάστου ἔννοιαν. πάλιν εἴ τις ἔροιτό με, ὀδόντες διὰ τί 25
λέγονται, τρέψας τὸ ο εἰς τὸ ε, εὗρον ὡςανεὶ οἱ ἔδοντες, τουτέστιν οἱ ἐσθίοντες· δι' αὐτῶν γὰρ ἐσθίομεν. καὶ τοῦτο δὲ νῦν τέταρτον μέρος τῆς γραμματικῆς, ἄλλο δ' ἓν μέρος ἐστὶ τοῦ διορθωτικοῦ.

„Πέμπτον ἀναλογίας ἐκλογισμός." Μαθὼν ὁ εἰσαγό- 30
μενος τὰ προειρημένα, καὶ ἔμφρων γενόμενος, ἄρχεται καὶ περὶ τέχνην καταγίνεσθαι, καὶ πυνθάνεσθαι τί δή ποτε μῆνιν λέγομεν καὶ οὐχὶ μήνιδα. ἀναλογία δέ ἐστι

λόγος ἀποδεικτικὸς καθ' ὁμοίου παράθεσιν τῆς ἐν ἑκάστῳ μέρει λόγου φυσικῆς ἀκολουθίας. εἴρηται ἀναλογία ἡ τὸν λόγον τὸν αὐτὸν συλλέγουσα καὶ τὰς λέξεις, καὶ ἰδίῳ κανόνι ἀπονέμουσα.

Λέγεται ἡ τῶν ὁμοίων παράθεσις. „ἐκλογισμὸς" ἡ ἀκρίβεια. τὸ οὖν πέμπτον μέρος ἐστὶν ἡ ἀκριβὴς τῶν ὁμοίων παράθεσις, δι' ἧς συνίστανται οἱ κανόνες τῶν γραμματικῶν. ὥςπερ ὅτε ζητοῦμεν, τίνος ἕνεκεν ὁ Ὅμηρος τοῦ Ὁμήρου καὶ ὁ φίλος τοῦ φίλου, τὸ δὲ βέλος τοῦ βέλους. ἀκριβῶς δὲ ζητήσας εὗρον εἶναι τὸν κανόνα τοιοῦτον, ὅτι πάντα τὰ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ εἰς ου ποιεῖ τὴν γενικήν, Ἀλέξανδρος Ἀλεξάνδρου, καλὸς καλοῦ, παρθένος παρθένου, ἄμπελος ἀμπέλου, Σάμος Σάμου· τὰ δὲ οὐδέτερα εἰς ος λήγοντα μετὰ τοῦ σ ποιεῖ τὴν γενικήν, μέρος μέρους, ὄξος ὄξους, ὄρος ὄρους. οὕτως οὖν καὶ βέλος βέλους. ἐπὶ πάντων οὖν τῶν ὀνομάτων καὶ τῶν ῥημάτων καὶ τῶν μερῶν τοῦ λόγου ἀκριβῶς ζητοῦντες, καὶ τὰ ὅμοια τοῖς ὁμοίοις παρατιθέμενοι, τοὺς κανόνας ἀσφαλῶς ἀποφαινόμεθα. τοῦτό ἐστι τὸ πέμπτον μέρος τῆς γραμματικῆς. ἰδοὺ συμπεπλήρωται τὸ διορθωτικόν. ὡς προείρηται γὰρ ἄνω, τμηθὲν εἰς τρία εἰσὶ τὰ νῦν τρίτον, τέταρτον, πέμπτον.

„Ἕκτον κρίσις ποιημάτων." Ὅταν γάρ τις, ἀκριβῶς μαθὼν τὸ κατὰ προςῳδίαν ἀναγινώσκειν, καὶ τοὺς ποιητικοὺς τρόπους καὶ τὴν γλῶτταν, τὴν ἱστορίαν, τὴν ἐτυμολογίαν διδαχθῇ, ἱκανός ἐστιν ὁ τοιοῦτος κρίνειν. κρίνει δὲ τὰ ποιήματα οὐχ ὅτι καλά ἐστιν ἢ κακά· ποιητοῦ γὰρ ἂν εἴη τὸ τοιοῦτον· ἀλλ' ἐπειδὴ πᾶν μέτρον ὑπὸ τὴν τέχνην ἐστίν, ἀνάγκη τὸν γραμματικὸν ταῦτα πάντα διακρίνειν, εἰ τοῦ αὐτοῦ ἐστὶ ποιητοῦ.

„Κρίσις ποιημάτων" τὸ κρίνειν τὰ ἐμμέτρως γε-

γραμμένα, τουτέστι τὰ ποιήματα, εἴτε δεόντως εἴτε μὴ δεόντως, εἴτε καλῶς εἴτε φαύλως κεῖται ἐν τῷδε τῷ τόπῳ ἢ τῷδε, καὶ τὰς τούτων ἰδέας εἰδέναι καὶ ἀπροφαίνεσθαι. εἰ γὰρ μὴ προοῖδέ τις τὰ προλεχθέντα μέρη τῆς γραμματικῆς, τὸ ἔργον τοῦ κριτικοῦ ποιεῖν οὐ δύναται.

„Ὁ δὴ κάλλ. ἐστι π. τ. ἐν τ. τ." κάλλιστον εἶπε τοῦτο τὸ μέρος οὐχ ὅτι τὰ ἄλλα ἀσθενέστερά ἐστιν· ἀλλ' ἐπειδὴ συμπέρασμα ἦν τῆς πάσης τέχνης τὸ κριτικόν, καὶ τρόπον τινὰ στέφανος, διὰ τοῦτο κάλλιστον.

§ 2.

ΠΕΡΙ ΑΝΑΓΝΩΣΕΩΣ.

„Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά." Πᾶς ὅρος ἀπὸ γένους καὶ εἴδους καὶ διαφορᾶς συνίσταται, καὶ πάλιν πᾶς ὅρος ἀπ' εὐθείας ἄρχεται. οἷον ὁ τοῦ ἀνθρώπου ὅρος, ἔστι ζῶον λογικὸν θνητόν. ἰδοὺ τὸ ζῶον γένος ἐστίν, εἶδος τὸ λογικόν, θνητὸν δὲ διαφορά· καὶ πάλιν τὸ ζῶον εὐθείας πτώσεώς ἐστιν. ἐπὶ δὲ τοῦ προτεθέντος ὅρου, ἐὰν ἀναστρέψωμεν τὸν ὅρον, εὑρίσκομεν ὑγιῶς ἔχοντα, ἤγουν ἀνάγνωσίς ἐστι προφορὰ ἀδιάπτωτος ποιημάτων ἢ συγγραμμάτων. ἰδοὺ γὰρ ἀπ' εὐθείας ἤρξατο, ἀπὸ γένους καὶ εἴδους καὶ διαφορᾶς. προφορὰ γοῦν ἐστὶν ἡ ἐκφώνησις, ἥ ἐστι γένος· εἶδος δὲ [τὸ] ποιημάτων ἢ συγγραμμάτων· τὸ δὲ ἀδιάπτωτος διαφορά. Μόνης δὲ τῆς ἀναγνώσεως τὸν λόγον ποιησάμενος, οὐκέτι περὶ τῶν ἄλλων μερῶν διεξέρχεται. σκοπὸς γὰρ αὐτῷ πρὸς εἰσαγομένους γράφειν, δεῖ δὲ τοὺς εἰσαγομένους δυσχερῶν ἀπέχεσθαι διδαγμάτων. ἐπεὶ οὖν ὁ τῆς ἐξηγήσεως καὶ τῶν ἄλλων μερῶν λόγος ποικίλος τις ἦν καὶ πολλῆς ἀκριβείας δεόμενος, ἀναγκαίως παρῆκεν ὁ τεχνικός, περὶ μόνης δὲ τῆς ἀναγνώσεως ποιεῖται τὸν λόγον.

Τὸ ἀναγινώσκειν δοκίμως. τὸ δὲ δοκίμως ἀναγινώσκειν πάντως ἐκ τριβῆς καὶ ἐπιμονῆς πολλῆς γίνεται. ἐνδέχεται οὖν τὸν γραμματικὸν οὕτως ἀναγινώσκειν καὶ ὅσοις μὴ ἐντετύχηκε συγγράμμασιν, ὥσπερ ἐκεῖνα οἷς πολλάκις ἐντετύχηκε. δεῖ γὰρ οὕτως προδιοικονομεῖν ἑαυτὸν καὶ ἐθίζειν ἐν οἷς ἐγχειρίζεται, ὡς ἐκ τούτων καὶ παρατυχόντα δοκεῖν πολλάκις ἀνεγνωσμένα. Ἀναγινώσκειν δὲ „κατὰ προσῳδίαν", ἤτοι καθ' ὃν ἔχει τόνον ἡ λέξις, ὡς μὴ ἀναγνῶναι τὸ ὄρος ὀρός καὶ τὸ ἁγνός ὁ καθαρός ἄγνος, κἀντεῦθεν εἰς πλάνην ἀγαγεῖν τὸν ἀκροατήν, καὶ ἀντὶ τοῦ ὄρος, τυχὸν ὁ Ὑμηττὸς ἢ τὸ Τηΰγετον ἤ τι ἄλλο, ὀρὸν νοῆσαι ἤγουν τὸ ὑδατῶδες τοῦ γάλακτος, καὶ πάλιν ἀντὶ τοῦ ἁγνός ὁ καθαρός τὸ φυτὸν ὑπολαβεῖν λέγεσθαι τὸν ἄγνον· ἄγνος γάρ ἐστι φυτὸν ἄγονον καὶ ἄκαρπον.

Στεφάνου. Ἀναγνῶναι τὸ ἀναπεῖσαι, ὡς παρ' Ἴωσιν. Ἡρόδοτος γοῦν φησίν· τίς σε ἀνθρώπων ἀνέγνω ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον, ἀντὶ τοῦ ἀνέπεισεν. ἀνάγνωσις οὖν ἡ ἀνάπεισις· ἀναπείθονται γὰρ οἱ κακῶς ἀναγινώσκοντες. ἢ περιττή ἐστιν ἡ ἀνά πρόθεσις· γνῶσις γάρ ἐστιν ἡ ἀνάγνωσις.

Τί ἀνάγνωσίς ἐστι; „ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά," ποιημάτων τῶν ἐμμέτρως γεγραμμένων, συγγραμμάτων τῶν ἀμέτρως γεγραμμένων. „ἀδιάπτωτος" ἀδιάπταιστος. „προφορά" προένεξις. ὅρος τῆς ἀναγνώσεώς ἐστιν οὗτος· τῶν ἐμμέτρως καὶ ἀμέτρως γεγραμμένων ἡ ἄπταιστος προένεξις καλλίστη ἐστὶν ἀνάγνωσις. Μετὰ δὲ τὸν ὅρον τῆς ἀναγνώσεως λοιπὸν θέλει ἡμᾶς διδάξαι, τίνα παραφυλαττόμενοι ἢ πόσα τὴν ἀρίστην ἀνάγνωσιν ποιησόμεθα.

„Ἀναγνωστέον" δὲ δεῖ ἀναγινώσκειν. „καθ' ὑπόκρισιν" κατὰ μίμησιν·

Ὑπόκρισίς ἐστιν ἁρμόζουσα τοῖς ὑποκειμένοις προσώποις ἔν τε λόγῳ καὶ σχήματι. οὐ μόνον γὰρ δεῖ μιμεῖσθαι τῷ λόγῳ τὰ πρόσωπα, ἀλλὰ καὶ τὰς τῶν σωμάτων κινήσεις κατὰ τὸ ἀπαιτοῦν, ὡς ἐν τῷ Ὀρέστῃ τοῦ Μενελάου μηδὲν εἰρηκότος αὐτοῦ ἀποκρίνεται, λέγων 5

οὐ χρήματ' εἶπον.

δηλοῦται γὰρ ἐκ τούτου, ὡς οὐ λόγῳ γεγένηται ἡ ὑπόκρισις, ἀλλὰ μόνῳ τῷ σχήματι, τοῦ Μενελάου τὰς χεῖρας ἀνατείναντος, καὶ τρόπον τινὰ μετασχηματιζομένου ὡς οὐδὲν εἰληφότος. Καθ' ὑπόκρισιν οὖν, τουτέστι κατὰ μί- 10 μησιν τῶν προσώπων.

„Κατὰ προσῳδίαν" κατὰ τέχνην, τουτέστι κατὰ τόνους, χρόνους, πνεύματα, πάθη.

Κατὰ προσῳδίαν δέ, τουτέστι κατὰ τόνον. προσῳδία γάρ 15 ἐστι σημεῖον τῶν λέξεων τοῖς φωνήεσιν ἑπόμενον. κατὰ προσῳδίαν οὖν, τοῦτέστι κατὰ τὸν ὀρθὸν τόνον.

„Κατὰ διαστολήν" κατὰ στιγμήν.

Κατὰ διαστολὴν δέ, τουτέστι κατὰ χωρισμὸν τῶν διανοιῶν. διαστολὴ γάρ ἐστι σημεῖον λέξεων ὁμοῦ γεγραμ- 20 μένων, μὴ ὁμοῦ δὲ νοουμένων. διαστολὴν δὲ ἐκάλεσε τὴν στιγμὴν ἐκ τοῦ διαστέλλειν λέξεις ἀπὸ λέξεων καὶ σημαινόμενον ἀπὸ σημαινομένου.

Ταῦτα τὰ τρία δεῖ παραφυλάττειν τὸν θέλοντα ἀναγι- 25 νώσκειν καλῶς, κατὰ μίμησιν, τέχνην, στιγμήν. τί δὲ ἐξ ἑκάστων τούτων ὠφελούμεθα; αὐτὸς ἐπιφέρει.

„Ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετήν." Ἐν τοῖς μετὰ τοῦτο ἐπιφέρει τὸ ὁρῶμεν τὸ ἐνταῦθα λεῖπον· κατὰ κοινοῦ γὰρ ἐπὶ τῶν τριῶν τούτων τὸ ὁρῶμεν δεῖ 30 δέξασθαι. Τίνος δὲ τὴν ἀρετὴν ὁρῶμεν; τῶν ἀναγινωσκομένων. ἐκ τῆς μιμήσεως γὰρ ἐνάρετα δείκνυνται τὰ ἀναγινωσκόμενα. δεῖ γὰρ τὰ μὲν ἡρωϊκὰ σωτόνῳ τῇ φωνῇ

ἀναγινώσκειν καὶ μὴ ἐκλελυμένη, τὰ δὲ βιωτικά, τουτέστι τὰ κωμικά, ὡς ἐν τῷ βίῳ, τουτέστι μιμουμένους γυναῖκας νέας ἢ γραΐδας, ἢ ὀργιζομένους, ἢ ὅσα πρέπει τοῖς ἐναγομένοις προσώποις παρὰ Μενάνδρῳ ἢ Ἀριστοφάνει ἢ τοῖς ἄλλοις κωμικοῖς. 5

„Ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην." Καὶ ἐνταῦθα κατὰ κοινοῦ, ὡς προείρηται, τὸ ὁρῶμεν δεῖ ἐκδέξασθαι. Τίνος δὲ τὴν τέχνην ὁρῶμεν; τοῦ ἀναγινώσκοντος. ἐκ τοῦ γὰρ παραφυλάττεσθαι τόνους, χρόνους, πνεύματα, πάθη ἐν τῷ ἀναγινώσκειν τὴν τέχνην ὁρῶμεν τοῦ 10 ἀναγινώσκοντος.

„Ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν." Ἀποδέδωκεν ἐνταῦθα τὸ ὁρῶμεν, ὅπερ προειρήκαμεν ἐπὶ τῶν δύο λείπειν τῶν προκειμένων. διαστολὴ δὲ λέγεται ἡ στιγμὴ ἡ διαστέλλουσα καὶ διαχωρίζουσα ἢ λέξεις ἀπὸ τῶν ἐπι- 15 φερομένων λέξεων ἢ στοιχεῖα ἀπὸ τῶν στοιχείων. „τὸν περιεχόμενον νοῦν ὁρῶμεν." τὸν ὄντα καὶ ἐγκείμενον νοῦν ἐν τοῖς ἀναγινωσκομένοις. διὰ τῆς στιγμῆς, ὡς ἐπὶ παραδείγματος εἰπὼν τὸ ἔστιν ἄξιος, [ἐὰν] μὴ τὸ ν̄ μεταξὺ τοῦ ἔστιν ἄξιος διαστείλας καὶ διαχωρίσας προσνείμῃ ἢ τῷ 20 ἔστιν ἢ τῷ ἄξιος, οὐ ποιεῖ [σαφὲς] τὸ λεγόμενον τοῖς ἀκούουσι. δύο γάρ τινα νοεῖται· ἢ τὸ ἄξιός ἐστι τοῦ δεῖνος ὁ δεῖνα, ἢ ἀπὸ τῆς νήσου ἐστὶ τῆς Νάξου. ὡς προείρηται οὖν, ἢ τὸ ν̄ προσνείμας τῇ δευτέρᾳ λέξει, καὶ εἰς τὸ ῑ τῆς προτέρας λέξεως ὑποστίξας τὶ διαστελεῖ· ἢ τὸ ν̄ 25 προσνείμας τῇ προτέρᾳ λέξει, καὶ εἰς αὐτὸ τὸ ν̄ ὑποστίξας τί ποτε διαστελεῖ, καὶ τὴν δευτέραν λέξιν ἀπὸ τοῦ ᾱ προφερόμενος σαφὲς ποιήσει τὸ λεγόμενον. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἔστινοῦς· ἢ ὅτι νοῦς ἐστίν, ἢ οὗς ἐστίν.

30

Εἰπὼν τὰ τρία τὰ διδάσκοντα ἡμᾶς καλῶς ἀναγινώσκειν, ὑπόκρισιν, τέχνην, στιγμήν, διαλαμβάνει πρῶτον περὶ τῆς διαφορᾶς τῆς ὑποκρίσεως, καί φησιν „ἵνα

τὴν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν." Τραγῳδία λέγεται τὰ τῶν τραγικῶν ποιήματα, ὡς τὰ τοῦ Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου καὶ τῶν τοιούτων. γεγόνασι δὲ οὗτοι ἐπὶ τῶν χρόνων τῶν Ἀθηναίων. τραγικοὶ δὲ ὄντες, καὶ θέλοντες ὠφελεῖν κοινῇ τοὺς τῆς πόλεως, λαμβάνοντές τινας ἀρχαίας ἱστορίας τῶν ἡρώων, ἐχούσας πάθη τινά, ἔσθ' ὅτε καὶ θανάτους καὶ θρήνους, ἐν θεάτρῳ ταῦτα ἐπεδείκνυντο τοῖς ὁρῶσι καὶ ἀκούουσιν, ἐνδεικνύμενοι παραφυλάττεσθαι τὸ ἁμαρτάνειν. εἰ γὰρ οἱ τηλικοῦτοι ἥρωες τοιαῦτα ἔπασχον, δηλονότι ἁμαρτήσαντες, πόσῳ μᾶλλον ἡμεῖς καὶ οἱ καθ' ἡμᾶς ἁμαρτήσαντες πεισόμεθα; δεῖ οὖν, ὡς προείρηται, ὡς οἷόν τε βίον ἀναμάρτητον καὶ φιλοσοφώτατον μεταδιώκειν. ἐπ' ὠφελείᾳ οὖν τῶν πολιτῶν ἡ τῶν τραγικῶν ποίησις εἰσήγετο. ἐπιδεικνύμενοι δὲ τῶν ἡρώων ὡσανεὶ τὰ αὐτῶν πρόσωπα, πρῶτον μὲν ἐπελέγοντο ἄνδρας τοὺς μείζονα φωνὴν ἔχοντας, δεύτερον δὲ βουλόμενοι καὶ τὰ σώματα δεικνύειν ἡρωϊκά, ἐμβάδας ἐφόρουν καὶ ἱμάτια ποδήρη. Ταύτην οὖν τὴν τραγῳδίαν φησὶ δεῖν ὁ τεχνικὸς ἡρωϊκῶς ἀναγινώσκειν, τουτέστι μεγάλῃ τῇ φωνῇ.

Ἡ δὲ ἐτυμολογία τῆς τραγῳδίας ἐστὶν αὕτη. ἢ ὅτι τράγον ἔλαμβανον ἔπαθλον οἱ νικῶντες, οἱονεὶ ἡ ἐπὶ τράγῳ ᾠδή· ἢ ὅτι τοῦ γ τρεπομένου εἰς χ, νοεῖται τραχῳδία ἢ τραχεῖα ᾠδή· τραχύτερον γὰρ καὶ φευκταῖον καὶ δύσβατον τὸ τῶν θρήνων εἶδος τοῦ γελωτοποιεῖν. ἢ οἱσνεὶ τετραγωνῳδία· οἱ γὰρ χορευταὶ αὐτῶν ἐν τετραγώνῳ σχήματι ἱστάμενοι τὰ τῶν τραγικῶν ἐπεδείκνυντο. ἦσαν δὲ τῶν μὲν τραγικῶν χορευταὶ δέκα τέσσαρες, τῶν δὲ κωμικῶν εἴκοσι τέσσαρες. ἕκαστος οὖν ὁ ποιητὴς τραγικὸς καὶ κωμικὸς εἶχε τούτους προεκμανθάνοντας τὰ ἑαυτοῦ καὶ τρεφομένους ἀπὸ τοῦ δημοσίου.

Τραγῳδία ποίησίς ἐστιν. εἴρηται δὲ τραγῳδία παρὰ τὸ τραχύς καὶ τὸ ᾠδή, ἐκ μεταφορᾶς τῆς τῶν τράγων φωνῆς· ἐκεῖνοι γὰρ τραχεῖαν ᾠδὴν ᾄδουσιν. ἢ τραγῳδία ἐστὶ ποίημα ἐπιτάφιον, ὅπερ οἱ τότε ποιοῦντες ἀντὶ μισθοῦ τράγον ἔλαμβανον· καὶ ἐπαλεῖτο τραγῳδία. „Ἡρωϊκῶς" δέ, τουτέστιν ἀξιοπίστως, μετὰ πολλῆς σεμνότητος καὶ ὄγκου. δεῖ γὰρ ἡμᾶς, τραγικὰ προφερομένους, κατὰ πάντα τρόπον μιμεῖσθαι τοὺς ἥρωας καὶ μεγέθει σώματος καὶ λόγου ὑπερβολῇ. 5

„Τὴν δὲ κωμῳδίαν βιωτικῶς." Κωμῳδία ἐστὶν ἡ ἐν μέσῳ λαοῦ κατηγορία ἤγουν δημοσίευσις. εἴρηται δὲ παρὰ τὸ κώμη καὶ τὸ ᾠδή, ἔστι δὲ εἶδος ποιήματος ἐν κώμαις κατὰ τὸν βίον ᾀδόμενον. διὰ τοῦτο καὶ „βιωτικῶς" λέγεται, τουτέστιν ἱλαρῶς, ὡς ἂν εὔξαιτό τις βιῶναι, ἀντὶ τοῦ ἐν ἡδονῇ καὶ γέλωτι. δεῖ οὖν τῷ τὴν κωμῳδίαν ὑποκειμένῳ μετὰ γέλωτος καὶ πολλῆς ἀστειότητος καὶ ἱλαροῦ τοῦ προσώπου προσφέρεσθαι. ἢ βιωτικῶς κατὰ μίμησιν τοῦ βίου, ἵνα, ἂν μὲν ὑπόκειται γέρων, μιμησώμεθα τὴν φωνὴν τοῦ γέροντος· εἰ δὲ γυνή, μιμησώμεθα τὴν φωνὴν τῆς γυναικός. Διαφέρει δὲ κωμῳδία τραγῳδίας, ὅτι ἡ τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων.

Κωμῳδία λέγεται τὰ τῶν κωμικῶν ποιήματα, ὡς τὰ Μενάνδρου καὶ Ἀριστοφάνους καὶ Κρατίνου καὶ τῶν ὁμοίων. Ἐφευρέθη δὲ ἡ κωμῳδία, ὥς φασιν, ἔκ τινος τοιαύτης αἰτίας. βλαπτόμενοί τινες γεωργοὶ παρὰ τῶν πολιτῶν τῶν ἐν Ἀθήνῃσι, καὶ θέλοντες ἐλέγχειν αὐτούς, κατήεσαν ἐν τῇ πόλει, καὶ παρὰ τὸν καιρὸν τοῦ καθεύδειν περιιόντες περὶ τὰς ἀγυιὰς ἔλεγον ἀνωνυμεὶ τὰς βλάβας, ἃς ἔπασχον ὑπ' αὐτῶν. ἵνα δὲ σαφέστερον εἰ-

πωμεν, τοιαῦτά τινα ἐβόων, ἐνταῦθα μένει τις τάδε καὶ τάδε τισὶ ποιῶν τῶν γεωργῶν, καὶ οὐ μετρίας βλάβας ἐπιφέρων αὐτοῖς. ὥςτε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γινομένης πρὸς ἀλλήλους λέγειν, ἅ τινα νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τῷ ἀδικοῦντι τόδε, ἐμφανιζόμενον τοῖς τῆς πόλεως, [ὥςτε] αἰδεῖσθαι καὶ παύεσθαι τῆς τοιαύτης ἀδικίας. τούτοις πολλάκις παρακολουθήσαντες ἄλλοι πολλοὺς τῶν ἀδικούντων ἀνέστειλαν. ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν κωμικῶν, καὶ 1
ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου τοῦτο ποιεῖν. οἱ δὲ αἰδούμενοι, μᾶλλον δε φοβούμενοι, τρυγίᾳ περιχρίοντες αὐτῶν τὰς ὄψεις, οὕτως εἰςήεσαν. καὶ ἔτι μᾶλλον ἐλεγχομένων τῶν ἀδικούντων ἐπὶ θεάτρου, ἀνοχὴ τῶν ἀδικιῶν ἐγένετο, τῆς αἰδοῦς ἔτι συνοικούσης 1
τοῖς ἀνδράσιν. ἔδοξεν οὖν τοῖς τῆς πόλεως τὸ ἐγχείρημα καλὸν ὑπάρχειν, καὶ λογίους ἄνδρας αὐτὸ μετιέναι. πρῶτον οὖν Σουδαρίων τις τῆς ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο, οὗ τὰ μὲν δράματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι τοῦ πρώτου δράματος ἐπὶ μνήμῃ φέρονται. εἰσὶ δὲ οὗτοι· 2

ἀκούετε, λεώς· Σουδαρίων λέγει τάδε,
υἱὸς Φιλίνου, Μεγαρόθεν, Τριποδίσκιος.
κακὼν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ. 2

ἀρχὴν οὖν δεξαμένου τοῦ πράγματος, πολλοὶ γεγόνασι κωμῳδοί, ἐλέγχοντες τοὺς κακῶς βιοῦντας καὶ τοὺς ταῖς ἀδικίαις χαίροντας, ἀναστέλλοντες τὰς ἀκαίρους καὶ ἀδίκους αὐτῶν πράξεις, καὶ ὠφελοῦντες κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. Ἐπειδὴ δὲ τὸ μὲν παράνομον ἐπὶ τὰ 3
χερείονα νικᾷ, τὸ δὲ καλὸν ταχέως ἀφίπταται τῆς τῶν ἀνθρώπων πολιτείας, οὐ μετὰ πολὺν χρόνον οἱ ἄρχοντες Ἀθηνῆσιν ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ μὴ φα-

νερῶς

νερῶς οὕτω καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας· αὐτοὶ γὰρ θέλοντες ἀδικεῖν καὶ μὴ ἐλέγχεσθαι, τούτου χάριν ἐπετίμων αὐτοῖς. ὅθεν ὥςπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἐλέγχονται ὑπὸ τῶν κωμικῶν. Ἔτι δὲ ἐπὶ τὸ πλεῖον προϊούσης καὶ ἐπικρατούσης τῆς κακίας, ἐκωλύθησαν τοῦ αἰνιγματωδῶς ἐλέγχειν καὶ ὑβρίζειν τοὺς κρατοῦντας καὶ ἄρχοντας τῆς πόλεως. Διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία. καὶ ἡ μὲν καλεῖται παλαιά, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἡ δὲ μέση καὶ αἰνιγματώδης, ἡ δὲ νέα μηδ' ὅλως τοῦτο ποιοῦσα πλὴν ἐπὶ δούλων ἢ ξένων. καὶ τῆς μὲν παλαιᾶς πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ Κρατῖνος ὁ καὶ πραττόμενος· μετέσχον δέ τινος χρόνου τῆς παλαιᾶς κωμῳδίας Εὔπολίς τε καὶ Ἀριστοφάνης. τῆς δὲ μέσης καὶ αὐτῆς μὲν πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ Πλάτων τις, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός τις. ὁμοίως κἀκείνου τὰ δράματα οὐ φαίνεται. τῆς δὲ νέας ὁμοίως πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ ὁ Μένανδρος, ὃς ἄστρον ἐστὶ τῆς νέας κωμῳδίας, ὡς μεμαθήκαμεν.

Εἴρηται δὲ κωμῳδία οἱονεὶ ἐπὶ τῷ κώματι ᾠδή· καὶ γὰρ περὶ τὸν καιρὸν τοῦ ὕπνου ἐφευρέθη· κῶμα γὰρ ὁ ὕπνος. ἢ ἡ τῶν κωμητῶν ᾠδή· κῶμαι γὰρ λέγονται οἱ μείζονες ἀγροί.

Ταύτην οὖν τὴν κωμῳδίαν δεῖ βιωτικῶς ἀναγινώσκειν, τουτέστιν ὡς ἐν τῷ βίῳ, μιμουμένους τὸ παρεισαγόμενον πρόςωπον, καὶ τὴν ἐκείνου σχέσιν ἀναματτομένους.

„Τὰ δὲ ἐλεγεῖα λιγυρῶς." Ἐλεγεῖον ἔμμετρός ἐστι στίχος, ἐλλείπων ἑνὶ ποδὶ τοῦ ἡρωϊκοῦ στίχου, εἰς δύο πενθημιμερεῖς τεμνόμενος, οἷον

νηΐδες οἳ μούσης οὐκ ἐγένοντο φίλοι·

οὗ τὸ μὲν πρῶτον τμῆμα ἀδιαφόρως καὶ σπονδεῖον καὶ δάκτυλον ἐπιδέχεται· τῆς δὲ μετὰ τοὺς δύο πόδας περιττευούσης συλλαβῆς, καὶ τὴν πενθημιμερίδα τομὴν

ἀποτερματιζούσης, πάντως μακρᾶς οὔσης φύσει ἢ θέσει, τὸ δεύτερον τμῆμα τοὺς μὲν δύο πόδας πάντως δακτύλους θέλει ἔχειν, τὴν δὲ τελευταίαν συλλαβὴν ἀδιάφορον τῷ λόγῳ τῶν μετρικῶν μεμαθήκαμεν· παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή. Τούτῳ οὖν τῷ τρόπῳ πολλοὶ ποιηταί τινα γεγραφήκασιν, ἅ τινα ἐπικαλεῖται ἐπικήδεια· πρὸς γὰρ παραμυθίαν τῶν συγγενῶν τοῦ τετελευτηκότος, τῶν καλῶν τούτου μνημονεύοντες, καὶ τῶν συγγενῶν τούτου καὶ φίλων τῇ παραινέσει τὴν λύπην ἀνέστελλον. διὸ καὶ καλεῖται ἐλεγεῖα, οἷον ἐλεεῖα, τοῦ γ̄ ἐκθλιβομένου, παρὰ τὸ ἐλεεῖν τὸν τετελευτηκότα· ἢ εὐλεγεῖα, παρὰ τὸ εὖ λέγειν τὸν ἀποβιώσαντα. Ταῦτα οὖν τὰ ἐλεγεῖα πῶς δεῖ ἀναγινώσκειν; „λιγυρῶς," τουτέστιν ὀξυφώνως. ἡ γὰρ λύπη τῇ παρατροπῇ τῆς φωνῆς ἐκ τοῦ κλαυθμοῦ ὀξυτέρα παρεισάγει.

Ἐλεγεῖόν ἐστιν εἶδος μέτρου ἐκ δύο πενθημιμερῶν τεμνόμενον, παρὰ τὸ ἔλεγος, ὃ δηλοῖ τὸν θρῆνον· τοῦτο πάλιν παρὰ τὸ ἔ λέγειν, ὡς περ ἐλεοῦντες τοὺς ἀποσχομένους τοῦτο ἐφεῦρον τὸ μέτρον. ἢ ἐλεγεῖόν ἐστι θρῆνος ἐπιτάφιος, οἱονεὶ ἐλεεῖόν τι ὄν, τοῦ γ̄ ἐκθλιβομένου, παρὰ τὸ ἐλεεῖν τὸν τετελευτηκότα. ἢ εὐλογεῖον, παρὰ τὸ εὖ λέγειν τὸν ἀποβιώσαντα. Ἐπειδὴ οἱ τεθνηκότες ἔλλειψίν τινα ἔχουσιν ἤγουν τοῦ ζῆν, τούτου χάριν καὶ τὰ ἐλεγεῖα, ὡς ἐπὶ τοῖς τεθνηκόσι λεγόμενα, ἐλλείπουσι ποδὶ πρὸς τὸν δακτυλικὸν στίχον. Ἰστέον δὲ ὅτι ἐλεγεῖον ἐλεγείας διαφέρει. ἐλεγεῖον γάρ ἐστιν, ὅταν εἷς στίχος ὑπάρχῃ καὶ πεντάμετρος, ἐλεγεία δέ, ὅταν ὅλον τὸ ποίημα ἀμοιβαῖα ἔχῃ τὰ μέτρα, ἑξάμετρον καὶ πεντάμετρον.

„Λιγυρῶς" δὲ οἷον ὀξέως ἀναγινώσκειν ἡμᾶς δεῖ τὰ ἐλεγεῖα, ὡς ἂν συμπεπληγμένους καὶ ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν. ἢ λιγυρῶς ἤγουν γλυκερῶς· λιγὺς ὁ γλυκύς.

„Τὸ δὲ ἔπος εὐτόνως." Ἔπος τί λέγεται; Πᾶς στίχος ἰαμβικός τε καὶ τροχαϊκὸς καὶ ἀναπαιστικὸς καὶ δακτυλικὸς καὶ οἱῳδήποτε ποδὶ μετρούμενος· κατ' ἔξοχὴν δέ, τουτέστι κατὰ τιμὴν καὶ ὑπεροχήν, τὸ ἡρωϊκὸν μέτρον ἐκάλεσεν. ὅπερ διδάσκει ἡμᾶς εὐτόνως ἀναγινώσκειν, τουτέστι συντόνῳ τῇ φωνῇ καὶ μὴ ἐκλελυμένῃ, ὡς καὶ ἡρώων ἀνδρῶν περιέχον ἱστορίαν.

Ἔπος κυρίως ὁ ἔμμετρος λόγος λέγεται, καταχρηστικῶς δὲ καὶ πᾶς λόγος· νῦν δὲ πάντα λόγον λέγει. ἢ ἔπος τὸ ἑξάμετρον. ἐκείνη ἡ ποίησις ἔπος λέγεται, ὅταν τὸ σωμάτιον ὅλον ἐκ τοῦ ἑξαμέτρου στίχου συγκέηται. τὸ δὲ εἰπεῖν „εὐτόνως" οὐ λέγει κατὰ τόνον, ἀλλ' εὐτόνως τουτέστι μετὰ δυνάμεως· τάσις γάρ ἐστιν ἡ δύναμις. ἐπεί περ τινες ἀναγινώσκοντες μαλθακύνουσιν ἑαυτῶν τὰς φωνάς· οὐ δεῖ δὲ μαλθακῇ τῇ φωνῇ ἡρώων πράξεις προσάγεσθαι. Ἔπος δὲ παρὰ τὸ ἕπεσθαι τῷ μέτρῳ, ὅλου τοῦ σωματίου ἐξ ἡρωϊκοῦ συγκειμένου.

„Τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς." Ἔστι τινὰ ποιήματα, ἃ οὐ μόνον ἐμμέτρως γέγραπται, ἀλλὰ καὶ μετὰ μέλους *) ἐσκέπτοντο, ἃ καὶ διπλοῦν κάματον παρεῖχε τοῖς σκεπτομένοις, τὸ μέτρον σπουδάζουσι διαφύλαττειν καὶ τῶν μελῶν ἐπινοεῖν τὴν εὕρεσιν. ταῦτα οὖν τὰ ποιήματα καλεῖται λυρικά, ὡς ὑπὸ λύραν ἐσκεμμένα καὶ μετὰ λύρας ἐπιδεικνύμενα. γεγόνασι λυρικοὶ καὶ οἱ πραττόμενοι ἐννέα, ὧν τὰ ὀνόματά ἐστι ταῦτα, Ἀνακρέων, Ἀλκμάν, Βακχυλίδης, Ἴβυκος, Πίνδαρος, Στησίχορος, Σιμωνίδης, Σαπφώ, καὶ δεκάτη Κόριννα. Ταύ-

---

*) Διὸ οὐδ' ὁ στίχος κεῖται ἐν τῇ σταχύσει τέλειος, ἀλλὰ μέχρι τοῦ ἀπηρτισμένου τῆς λέξεως σπεῦδε τὴν ὁρμὴν, ὡς ὀφείλει τὰ τοῦ Πινδάρου συγκεκομμένως ἐπιφέρειν.

τὴν οὖν τὴν λυρικὴν ποίησιν δεῖ μετὰ μέλους ἀναγινώσκειν, εἰ καὶ μὴ παρελάβομεν μηδὲ ἀπομεμνήμεθα τὰ ἐκείνων μέλη.

Ποίησίς ἐστι λυρική. εἴρηται δὲ λυρικὴ ἀπὸ τοῦ ἀξιοπίστου ὀργάνου. οὐ μόνον γὰρ πρὸς λύραν ἐλέγετο, ἀλλὰ καὶ πρὸς αὐλὸν καὶ βάρβιτον, καὶ ἁπλῶς εἰπεῖν πρὸς πᾶν ὄργανον μουσικόν· ἀλλ' ἐπειδὴ τῶν ἁπάντων τὸ ἀξιοπιστότατον ὄργανον ἡ λύρα ἐστίν, ἀπὸ ταύτης ὠνομάσθη. Εἴρηται δὲ λύρα, λύτρα τις οὖσα. φασὶ γὰρ ὅτι ποτὲ Ἑρμῆς ἐν Ἀρκαδίᾳ ἀναστρεφόμενος, εὗρε χελώνην, καὶ διακόψας ἐποίησε κοιλίαν λύρας. ἡνίκα δὲ τοῦ Ἡλίου βοῦς κλέψαι ἠβουλήθη, καὶ διὰ τὸ μαντικὸν τοῦ θεοῦ οὐ δεδύνητο, ἀνελήφθη. εἰδὼς δὲ καὶ τοῦ θεοῦ τὸ μουσικόν, δέδωκεν ὑπὲρ ἑαυτοῦ τὴν λύραν λύτρον, καὶ ἠλευθερώθη τοῦ ἐγκλήματος.

„Τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς." Πάλιν εἰσί τινα ποιήματα, ἃ ἐγκειμένου τοῦ λειψάνου ἔλεγον θρηνοῦντες αὐτοί. διδάσκει ἡμᾶς καὶ Ὅμηρος τοῦτο, λέγων ἐπὶ τὸ λείψανον τοῦ Ἕκτορος, ἔνθα φησὶ

παρὰ δ' εἶσαν ἀοιδούς·
θρήνων ἐξαρχούς, οἵ τε στονόεσσαν ἀοιδήν.

ταῦτα οὖν τὰ ποιήματα οἶκτοι καλοῦνται καὶ θρῆνοι, καὶ δεῖ αὐτὰ κεχαλασμένῃ τῇ φωνῇ καὶ θρηνώδει ἀναγινώσκειν.

Εἶδος μὲν ποιήσεως ὁ οἶκτος οὐκ ἔστιν, εὑρίσκεται δὲ ἐν παντὶ εἴδει ποιήσεως, παρὰ λυρικοῖς, παρ' ἐλεγειογράφοις, ὁμοίως καὶ παρὰ τοῖς τὰ ἔπη γράφουσιν, ὡς καὶ παρ' Ὁμήρῳ Ἀνδρομάχη λέγει ἐλεεινολογουμένη πρὸς Ἕκτορα,

δαιμόνιε, φθίσει σε τὸ σὸν μένος,

καὶ πάλιν

ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο.

λέγει οὖν τοὺς οἴκτους προφέρεσθαι „ὑφειμένως καὶ γοερῶς," τουτέστι συνεσταλμένως, ταπεινῶς καὶ μετὰ πένθους, οἰκτρῶς, θρηνητικῶς. δεῖ γὰρ τὸν ἀναγινώσκοντα τὸν οἶκτον τοιοῦτον φαίνεσθαι, ὡς ἐλεεῖσθαι ὑπὸ τῶν ἀκουόντων. 5

„Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν καὶ τὰς ἕξεις." Ἡ παρά πρόθεσις σημαίνει καὶ ἐγγύτητα, σημαίνει καὶ χωρισμόν, ὡς ἂν εἴποι τις ἐπὶ χωρισμοῦ πάντες συνήχθημεν ἐν τῇ διατριβῇ παρὰ τόνδε ἀντὶ τοῦ ἐκτὸς τοῦδε, καὶ πάλιν ἐπὶ πλησιασμοῦ πάντες συνήχθημεν παρὰ τόνδε, τουτέστιν ἐγγὺς τοῦδε. ἐνταῦθα οὖν τὴν παρά πρόθεσιν ἐπὶ πλησιασμοῦ εἴρηκε. „τὰ γὰρ μὴ παρὰ τὴν τούτων" φησί, τουτέστι τὰ μὴ πλησίον τούτων καὶ κατὰ τὴν αὐτῶν ῥῆσιν προφερόμενα. „καταῤῥίπτει" δὲ ἀντὶ τοῦ ἐξουθενεῖ. „ἕξεις" δὲ τὰς μνήμας λέγει. καλῶς εἶπε „καταγελάστους παρίστησιν·" ἀρκεῖ γὰρ τοῖς ἀπαιδεύτοις, ἀλόγως προφερομένοις τὰ μαθήματα, πρὸς τιμωρίαν ὁ παρὰ τῶν ἀνθρώπων κατ' αὐτῶν γινόμενος γέλως. 10 15 20

„Παρατήρησιν" παραφυλακήν. εἰρηκὼς ὁ Διονύσιος ἑκάστου τῶν ποιημάτων τὴν διαφορὰν τῆς ὑποκρίσεως, ἐπιφέρει ταῦτα ὅτι, ἐὰν μὴ παραφυλάττωνται ταῦτα, ὡς προείρηται, „καὶ τὰς τῶν ποιημάτων ἀρετὰς ἀπορρίπτει," τουτέστιν εὐτελίζει, ἐξαφανίζει, εἰς ἔδαφος καταβάλλει καὶ τὰ ἐνάρετα ποιήματα. ἢ οὕτως, τῶν σκεψαμένων ἀνδρῶν τὸν ἐνάρετον κάματον καταβάλλει εἰς ἔδαφος. „καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων" ἕξεις τὰς σχέσεις, τὰς μαθήσεις, τὰς διδαχάς, τουτέστιν ὧν τινῶν μετέσχον καὶ ἀντελάβοντο τῇ μαθήσει. „καταγελάστους" ἀξίας γέλωτος, ἀποβλήτους, ἀδοκίμους. „παρίστησι" δείκνυσι τὰς μαθήσεις καὶ δι- 25 30

ἐαχὰς τῶν ἀναγινωσκόντων ἀξίας καταγέλωτος. ὅθεν ἑκάστου ποιήματος τὴν ὑπόκρισιν παραφυλάττει, ἵνα καὶ τῶν σκεψαμένων ἀνδρῶν ἡ ἀρετὴ διαφαίνηται καὶ ἡ τέχνη τοῦ ἀναγινώσκοντος.

§ 3.

ΠΕΡΙ ΤΟΝΟΥ.

„Τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίου" Ἐκεῖνα μόνα πειρᾶται παραβάλλειν ὁ τεχνικός, ὅσα τοῖς εἰσαγομένοις ὠφελεῖν δύναται. ἐπεὶ οὖν οἱ εἰσαγόμενοι πρῶτον ἀναγνώσει ἐντυγχάνουσιν, ἀναγκαῖον ᾠήθη περὶ ταύτης διαλαβεῖν, περισπούδαστον δὲ ἡγήσατο καὶ περὶ τῶν παρεπομένων τῇ ἀναγνώσει ἀφηγήσασθαι· ἔστι δὲ ταῦτα τόνος καὶ στιγμὴ καὶ διαστολή. καίτοι ἀκόλουθον ἦν μετὰ τὸν περὶ ἀναγνώσεως λόγον εἰπεῖν τὸν περὶ ἐξηγήσεως· δεύτερον γὰρ μέρος ἡ ἐξήγησις. Λέγει δὲ τὸν τόνον εἶναι ἀπήχησιν τῆς ἐναρμονίου φωνῆς ἤγουν τῆς ἐνάρθρου, τουτέστι τῆς ἀνθρωπίνης· μόνη γὰρ ἡ τοῦ ἀνθρώπου φωνὴ ἔναρθρος, ὅθεν καὶ φώς ὁ ἄνθρωπος, ὡς εἶναι αὐτὴν φωτεινοειδῆτινά, τὴν φωτίζουσαν καὶ σαφηνίζουσαν τὰ ἐντὸς τοῦ νοῦ. ὅθεν καὶ ἐναρμόνιός ἐστι, τουτέστιν ἔναρθρος, ἡ ἀπὸ διανοίας ἐκπεμπομένη καὶ εἰς διάνοιαν ἀπερχομένη, ἣ καὶ διεξοδικὴ καλεῖται. διεξοδικὴν δὲ καλοῦμεν τὴν ἐγγράμματον. τῶν γὰρ φωνῶν διαφοραὶ δύο, ἐγγράμματος καὶ ἀγράμματος· ἐγγράμματος μέν, ἧς ὁ νοῦς εἰσακούων διέξεισι τὰ στοιχεῖα, ἀγράμματος δέ, ὡς οἱ ψόφοι. ἐπεὶ δὲ καὶ ἄλλα ἐστὶ ζῶα τὴν ἐναρμόνιον φωνὴν ἀπομιμούμενα, καὶ φθέγγεται ὡς δοκεῖν ἀνθρώπου ἀκούειν, ἆρα κἀκείνων εἴποιμεν ἐναρμόνιον εἶναι τὴν φωνήν; φαμὲν οὔ· μιμεῖται γὰρ τὴν τοῦ ἀνθρώπου φωνήν, οὐκ ἀπὸ διανοίας δὲ ἐκπέμπεται. Πᾶσα οὖν φω-

νὴ ἐκπεμπομένη μετὰ δυνάμεως ἐκπέμπεται. αὕτη οὖν ἡ δύναμις κατὰ τὸν τεχνικὸν τόνος λέγεται. ἀνάγκη οὖν πᾶσαν συλλαβήν, ἥ τις συντείνει εἰς τὴν τοῦ ἀνθρώπου φωνήν, τόνον ἴδιον ἔχειν.

Μελάμποδος. Τὴν ὑπόκρισιν ἡμῖν διασαφήσας, περὶ τοῦ τόνου διαλαμβάνει, ὅς ἐστιν ἀναγκαιότατος τῶν προσῳδιῶν καὶ φανερὸς ἔλεγχος τῆς τοῦ ἀναγινώσκοντος διδαχῆς. Τί οὖν ἐστὶ τόνος; φησὶν ἀπήχησις τουτέστιν ἦχος. τίνος; φωνῆς. οἱαδήποτε; οὔ, ἀλλὰ τῆς ἐναρμονίου. τί δέ ἐστιν ἐναρμόνιος φωνή; ἡ συγκειμένη ἐξ ὀξείας καὶ βαρείας καὶ περισπωμένης, οἵα ἐστὶν ἡ τοῦ ἀνθρώπου φωνὴ καὶ πᾶσα ἡ μιμουμένη αὐτήν, οἷον κιθάρα ὄργανον, σύριγξ, καὶ ὅσα τοιαῦτα. τοῦτο δὲ καὶ αὐτὸς ἐπιφέρει.

„Κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ, ἢ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ, ἢ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ." Ἀμήχανόν ἐστι φωνὴν δίχα τάσεως ἀποτελεσθῆναι. εἰ γὰρ φωνή ἐστιν ἀὴρ πεπληγμένος, δεῖ δὲ τὴν πλῆξιν μετὰ τάσεως γίνεσθαι, οὐκ ἂν εἴη φωνὴ δίχα τόνου. πᾶσα τοίνυν συλλαβὴ τόνῳ κέχρηται. Τῶν δὲ τόνων οἱ μέν εἰσιν ὀξεῖς, οἱ δὲ βαρεῖς· ὁ γὰρ περισπώμενος σύνθετός ἐστιν ἐξ ἀμφοῖν. ὅσαι τοίνυν τῶν συλλαβῶν τὸν ὀξὺν ἔχουσι τόνον, τρόπον τινὰ ταῖς [ἄλλαις] συλλαβαῖς ἐπισκιάζουσαι, τὸν ἐν αὐταῖς βαρύν τε καὶ ὁμαλὸν τόνον οὐκ ἐῶσιν ἐξακούεσθαι. ὅμως γε μὴν οἱ γραμματικοί, τῷ τέλει προσέχοντες τῶν λέξεων, ὥσπερ ὀξύτονα καλοῦσι τὰ ἐπὶ τῆς τελευταίας συλλαβῆς τὴν ὀξεῖαν ἔχοντα, οὕτω καὶ βαρύτονα τὰ ἐπὶ τοῦ τέλους ἔχοντα τὴν βαρεῖαν.

„Ἢ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ." Ἀνάτασις φωνῆς ὁ ὀρθὸς τόνος ἐστίν, ὅθεν καὶ τὸ σημεῖον αὐτοῦ τὴν ἐπὶ τὰ ἄνω φορὰν ἔχει· καὶ γὰρ ἀποκάτω ἀρχόμενοι τὸ σχῆμα προφέρομεν τὴν χεῖρα ὀξυτέρως ἐπὶ τὰ ἄνω μέρη. ὀξεῖα δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῶν δρομέων τῶν εὐκι-

νήτων καὶ ὀξέως τρεχόντων· οὗτοι γὰρ καὶ ὀξεῖς εἰσί, καὶ ἐπὶ τὸ ἄνω νεύουσιν. „Ἡ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ" Ὁμαλισμὸς λέγεται ἡ κατένεξις καὶ ὁ κοιμισμός· ὁ γὰρ βαρὺς τόνος τὴν ἐναντίαν φορὰν ἔχει τοῦ λεχθέντος ὀξέος τόνου. διὸ καὶ τὸ σημεῖον αὐτοῦ τὴν ἐπὶ τὰ κάτω φορὰν ἔχει. καὶ ἡ φωνὴ δὲ τοῦ ἀνθρώπου, ἀπὸ ὀξείας κοιμιζομένη, τουτέστι καταφερομένη, εἰς βαρεῖαν καταντᾷ. Καὶ ἄλλως. Ὁμαλισμὸς ἀντὶ τοῦ κατένεξις καὶ κοίμισις, οἷα ἡ τῆς βαρείας προένεξις. αὕτη γὰρ μετὰ ὁμαλότητος τίθεται, ἥ τις εἴρηται ἐκ μεταφορᾶς τῶν τὰ φορτία βαστάζοντων. ὥσπερ γὰρ οἱ βαστάζοντες ταῦτα, τῷ βάρει συνωθούμενοι, κάτω νεύουσι καὶ ὁμαλωτέραν, τούτεστι χθαμαλωτέραν, τὴν βάδισιν ἀναγκάζονται ποιεῖσθαι, τὸν αὐτὸν τρόπον καὶ ἡ βαρεῖα κάτω νεύει. „Ἡ κατὰ περίκλασιν ἐν τῇ περισπ." Περίκλασις φωνῆς λέγεται ἡ ἐν τῷ αὐτῷ ἀνένεξις καὶ κατένεξις, μὴ ἐπιμενούσης τῆς φωνῆς ἐν τῇ ἀνατάσει ἀλλὰ μετὰ τὸ ἀναταθῆναι καὶ καταφερομένης. ὅθεν τὸ σημεῖον τοῦ τόνου τούτου ἅμα ἄνεισι καὶ κάτεισι. καὶ παρὰ μὲν τοῖς γραμματικοῖς καλεῖται περισπωμένη, παρὰ δὲ τοῖς μουσικοῖς μέση. Οὗτος οὖν ὁ τόνος δοκεῖ σύνθετος εἶναι, ὥσπερ καὶ τὸ σημεῖον ἐλέγχει, συγκείμενον ἐξ ὀξείας καὶ βαρείας. διὸ καὶ ὡς ἐπὶ τὸ πλεῖον ἐπὶ τῶν συλλαβῶν ἐκείνων τίθεται [τῶν] ποτὲ μὲν διαιρουμένων εἰς συλλαβὰς δύο καὶ τῆς μὲν προτέρας ἐχούσης τὴν ὀξεῖαν, τῆς δὲ δευτέρας τὴν βαρεῖαν, ὕστερον δὲ συνελθουσῶν εἰς μίαν συλλαβήν. καὶ τῇ συνελεύσει τῶν συλλαβῶν ἐξ ἀνάγκης καὶ οἱ τόνοι συνῆλθον οἱ ἐπικείμενοι αὐταῖς, φημὶ δὲ ὁ ὀξὺς καὶ ὁ βαρύς, καὶ ἀπετέλεσαν τὸν προκείμενον τόνον τὸν περισπώμενον, [ὄντα,] ὡς προειρήκαμεν, σύνθετον. ὡς ἐπὶ παραδείγματος — δεῖ γὰρ πιστώσασθαι τὸν λόγον τῇ τῶν ὁμοίων παραθέσει, ὡς ἔχει ἡ ἀναλογία — ὁ Σοφοκλέης. ἡ $\overline{\text{κλε}}$ συλλαβὴ ἔχει τὴν ὀξεῖαν, ἡ $\overline{\text{ης}}$ τὴν βαρεῖαν· ἐμά-

θομεν γὰρ ὅτι πᾶς τόπος τῆς βαρείας, πλὴν ὅπου κεῖται ἡ ὀξεῖα ἢ ἡ περισπωμένη. συνελθουσῶν οὖν τῆς κλε καὶ τῆς ης εἰς μίαν συλλαβὴν τὴν κλης, συνεισῆλθον οἱ τόνοι ὀξύς τε καὶ βαρύς, καὶ ἀπετέλεσαν τὴν περισπωμένην. Ἡρακλέης Ἡρακλῆς, Ξενοφάων Ξενοφῶν, Δημοφάων Δημοφῶν, Ἑρμέας Ἑρμῆς, καὶ ὅσα τοιαῦτα. 5

Ἡ περισπωμένη ταύτης ἔτυχε τῆς προσηγορίας· ἔοικε γὰρ τῷ σχήματι περικεκλασμένῃ ῥάβδῳ, ἐχούσῃ δύο ἀρχὰς νευούσας εἰς ἀλλήλας. Εἴρηται δὲ οὕτως ἐκ μεταφορᾶς τῶν περισπωμένων ἐν πράγμασι· καὶ γὰρ οὗτοι ὑπὸ τῆς ἀθυμίας δαπγόμενοι δοκοῦσι περικλᾶσθαι. 10

Εἰς τὸ αὐτὸ Πορφυρίου. Τῶν τόνων γνήσιοι μέν εἰσι δύο, ὅ τε ὀξὺς καὶ ὁ περισπώμενος. ἀλλ' ὁ μὲν κατ' ἀπαθοῦς λέξεως τίθεται, ὁ δὲ κατὰ πεπονθυίας, ὁ περισπώμενος, καὶ ἔστι σύνθετος ἐκ τῆς ὀξείας καὶ βαρείας συντεθειμένης εἰς τὸν περισπώμενον. καὶ οὐκ ἂν εὕροι τις πεπονθυῖαν λέξιν μὴ ἐκ τῆς ὀξείας καὶ τῆς βαρείας συντιθεμένην εἰς τὸν περισπώμενον. ὁ δὲ ἕτερος τόνος νωθὴς καὶ βραδύς, ὡς ἔστι γνωρίζειν καὶ ἀπὸ τῶν σχημάτων. ὁ μὲν γάρ, ἅτε δὴ λεπτὸς καὶ ἐλαφρὸς ὤν, ἀνωφερής ἐστιν· ὃν τρόπον ἐπὶ τῶν στοιχείων, ὅσα μέν ἐστι βαρύτατα, κάτω νένευκεν, ὡς ἡ γῆ καὶ τὸ ὕδωρ, ὅσα δὲ κουφότατα, τὴν ἄνω φορὰν διώκει, ὡς ὁ ἀὴρ καὶ τὸ πῦρ. οὕτως οὖν καὶ ὁ ὀξὺς τόνος, ἐλαφρὸς ὤν, ἄνω τρέχει καὶ ἄνω νένευκεν· ὁ δὲ βαρύς, ἅπαξ νωχελὴς ὤν, κατὰ μικρὸν βαδίζειν δυνάμενος κάτω νένευκεν, ἐκ μεταφορᾶς τῶν τὰ ἄχθη ἐπιφερομένων. οὗτοι γὰρ πιεζόμενοι κάτω νεύουσι. καὶ διὰ τοῦτο καὶ ὁ τεχνικὸς ὁμαλισμόν φησιν. ὁμαλισμὸς δὲ τὸ βραδὺ καὶ χθαμαλόν. ὁ δὲ περισπώμενος σύνθετός ἐστιν, ἔκ τε ὀξείας καὶ βαρείας συναιρούμενος.

καὶ μεταβαίνει πάλιν εἰς τὴν στιγμήν· σύμφορος γάρ ἐστι καὶ αὕτη τῇ ἀναγνώσει τῆς γραμματικῆς. καὶ λέγει ταύτας εἶναι τρεῖς, τελείαν, μέσην καὶ ὑποστιγμήν. ἡ τοίνυν στιγμὴ αὐτή ἐστι τῇ διαστολῇ συνόμοιος, καὶ οὐκ ἔστι διαφορά, εἰ μὴ ἐν τούτῳ ὅτι ἡ μὲν στιγμὴ ἐπινενόηται ἕνεκα τοῦ πνεύματος, ἡ δὲ διαστολὴ μετὰ τοῦ ἀναπαύειν ἡμῖν τὴν πνοήν, καὶ διαστέλλει τὰς διατοίας ἀπ' ἀλλήλων.

Οὐ τρεῖς εἰσὶ στιγμαί, ἀλλὰ τόποι τρεῖς. ἔστι δὲ ἐν τελείᾳ, ὅτε τῆς περιόδου τέλειον καὶ ἀπηρτισμένον ἐστὶ τὸ ἐνθύμημα, οἷον

τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.

καὶ πάλιν

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

ἰδοὺ αὕτη περίοδος τελεία. τίθεται δὲ ἐπὶ κεφαλῆς τοῦ γράμματος. Ἡ δὲ μέση, ὅταν μέσως πως ἔχῃ ὁ νοῦς, οἷον

Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ·

ἐν γὰρ τῷ ἄνακτι τὴν μέσην τίθεμεν. Ὑποστιγμὴ δέ, ὅταν ἤ τι παρηρτημένον τοῦ νοῦ καὶ μὴ δεχόμενον ὑπέρθεσιν, ἀλλὰ ταχείας ἐπιφορᾶς δεόμενον, οἷον

αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς
βάλλεν·

ἐν γὰρ τῷ ἐφιεὶς τίθεμεν τὴν ὑποστιγμήν. τίθεται δὲ ἡ μὲν μέση ἐν τῷ μέσῳ τοῦ γράμματος, ἡ δὲ ὑποστιγμὴ μεθ' ὑποκρίσεως κατωτάτω τοῦ γράμματος.

Ἄλλοι δὲ λέγουσι στιγμὰς τέσσαρας, τελείαν, ἤ τις ἐν τῷ τέλει τῶν περιόδων τίθεται· ἀτελῆ, ἤ τις ἐν τῷ τέλει τῶν περικοπῶν τίθεται· ὑποστιγμὴν μεθ' ὑποκρίσεως, ἤ τις ἐν ταῖς συναπτικαῖς τε καὶ ἀναφορικαῖς τῶν φράσεων τίθεται, οἷον

εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι

αἰδεσθείς, μή πώς με περιστήσω ἕνα πολλοί

καὶ

ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός. 5

ἡ δὲ ἀνυπόκριτος στιγμὴ μετὰ τὰς ἐν ἤθει ἢ πάθει κλητικάς, οἷον

Τυδείδη, μήτ' ἄρ με, μάλ' αἴνεε, μή τέ τι νείκει

καὶ

ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο. 10

Ἔστι δ' ἐπὶ ταύταις ἡ καλουμένη ἐγκοπή, ἥ τις ἐν συναλειφομέναις καταγίνεται λέξεσιν, οἷον

ὣς ἔφαθ' · Ἕκτωρ δ' αὖτ' ἐχάρη μέγα, μῦθον ἀκούσας

καὶ 15

δαίτυσθ' · ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν.

Ὁ δὲ Νικάνωρ ὀκτώ φησιν εἶναι στιγμάς.

Περὶ τῆς τελείας στιγμῆς πρῶτον διαλαμβάνει ὁ Διονύσιος. ὁ δὲ νοῦς οὗτος· ἡ τελεία στιγμὴ σημεῖόν ἐστι διανοίας τελείας καὶ πεπερασμένης καὶ τετελεσμένης. διαλλάσσει δὲ στιγμὴ διαστολῆς. ἡ μὲν γὰρ στιγμὴ τὰ πνεύματα διίστησιν, ἡ δὲ ἅμα τοῖς πνεύμασι καὶ τὰς διανοίας: καὶ ἡ μὲν μέση σημεῖον μεσούσης διανοίας, μήτε λίαν οὔσης πρὸς τὸ τέλος, μήτε κρεμαμένης, οἷον 20 25

αἰδεῖσθαί θ' ἱερῆα·

ἡ δὲ ὑποστιγμὴ κρεμαμένης τῆς διανοίας καὶ πρὸς συμπλήρωσιν ὀλίγου δεομένης. διὸ καὶ καταβιβάζοντες ἐμφαντικώτατα τὴν φωνήν, ζητητικὴν αὐτὴν κατασκευάζουσι τῶν ἑξῆς, οἷον 30

Διὸς δ' ἐτελείετο βουλή.

§ 5.

ΤΙΝΙ ΔΙΑΦΕΡΕΙ ΣΤΙΓΜΗ ΥΠΟΣΤΙΓΜΗΣ.

„Τίνι διαφέρει στιγμὴ ὑποστιγμῆς;" Ἰδού, τῶν δύο μέμνηται τῆς διαφορᾶς, τὴν μέσην παρωσάμενος. Τίνι οὖν διαφέρει στιγμὴ ὑποστιγμῆς; χρόνῳ. τίνος χρόνῳ; τῆς σιωπῆς. πῶς; αὐτὸς ἐπιφέρει. „ἐν μὲν γὰρ τῇ στιγμῇ πολὺ τὸ διάστημα" τῆς σιωπῆς — ἐν τῇ τελείᾳ γὰρ στιγμῇ ὅσον θέλω σιωπῶ — „ἐν δὲ τῇ ὑποστιγμῇ ὀλίγον" πάνυ ὀλίγον τὸ διάστημα τῆς σιωπῆς. ἐν γὰρ τῇ ὑποτελείᾳ ἤτοι ὑποστιγμῇ οὐχ ὅσον θέλω σιωπῶ, ἀναγκαζόμενος, ὡς εἴρηται, ἐπαγαγεῖν τὸ λεῖπον.

Τῷ χρόνῳ φησὶ διαφέρουσιν ἀλλήλων. χρόνῳ δὲ εἶπεν οὐ τῷ καιρῷ, ἀλλὰ τῷ διαστήματι τῆς φωνῆς. μετὰ γὰρ τὴν τελείαν ἔξεστί μοι καὶ μετὰ μίαν ὥραν καὶ μετὰ δύο καὶ μετὰ τρεῖς τὸν ἑξῆς ἐπαγαγεῖν στίχον, ἐν δὲ τῇ ὑποστιγμῇ οὐδ' ὅλως ἀναμένειν, ἀλλ' εὐθέως ἐπαγαγεῖν. ὥστε οὖν τῷ χρόνῳ διαφέρουσιν ἀλλήλων ἥ τε στιγμὴ καὶ ἡ ὑποστιγμή.

Ζητοῦσι δέ, τί δή ποτε τῆς τελείας καὶ τῆς ὑποστιγμῆς σύγκρισιν ὁ τεχνικὸς ποιεῖται, τῆς δὲ μέσης οὐκέτι. Καί φασιν ὅτι τὰ ἄκρα ἀεί ποτε ἐναντία ἐστί, καὶ ἐκ τοῦ ἐναντίως ἔχειν πρὸς ἄλληλα δεῖται συγκρίσεως, ἡ δὲ μέση οὐδ' ὅλως· δήλη γάρ ἐστιν, ὡς οὖσα τῶν πρός τι ἐχόντων. τὰ γὰρ μέσα τῶν πρός τί ἐστιν ἀεί. ὥςπερ οὖν τὸ ψυχρὸν τῷ θερμῷ ἐναντίον καὶ τὸ πικρὸν τῷ πάνυ γλυκεῖ, οὕτω καὶ ἡ στιγμὴ τῇ ὑποστιγμῇ. καὶ ταῦτα μὲν ὁ ὑπομνηματίζων. Ἐγὼ δὲ νομίζω ὅτι τὰ πάντῃ διεστῶτα οὐ συγκρίνεται. ἀμέλει τὸ πικρὸν οὐκ ἄν τις συγκρίνειε τῷ γλυκεῖ, οὐδὲ τὸ θερμὸν τῷ ψυχρῷ. οὐκ-

οὖν οὐδὲ στιγμὴν τελείαν ὑποστιγμῆ· ἄκρα γὰρ καὶ διεστῶτα. τὰ δὲ ποσῶς κοινωνοῦντα ἤγουν πλησιάζοντα, ταῦτα ἐπιδέχοιντο ἂν τὴν σύγκρισιν, οἷον ὁ ταχύτερος λέγεται οὐ πρὸς τὸν μηδ' ὅλως ταχύν, ἀλλὰ πρὸς ταχὺν μέν, ἔλαττον δέ. ἡ δὲ μέση τῇ διαστολῇ πλησιάζουσα, καθότι ἑκατέρα ἐπ' ἀτελοῦς ἐννοίας τίθεται, εἰκότως συγκριθήσεται. ἰστέον δὲ ὅτι μετὰ τὴν ἐν ὑποκρίσει ὑποστιγμὴν ἡ τελεία ἐπενεχθήσεται.

Ἵνα δὲ μὴ δόξῃ τις ἡμᾶς ἀγνοεῖν καὶ τὴν τοῦ λεχθέντος Νικάνορος διατύπωσιν περὶ τῶν στιγμῶν, ὧν τὰ ὀνόματα ἤδη ἡμῖν προείρηται, δεῖ ὡς ἐν συντόμῳ ἐνταῦθα μνησθῆναι τῆς τε θέσεως αὐτῶν καὶ τῆς διαφορᾶς τῆς τῷ Νικάνορι εἰρημένης· ὡς δεῖ πρώτας ἀποὰς τῶν παίδων ἀκοῦσαί τε καὶ μὴ παντελῶς ἀμυήτους εἶναι. Ἡ μὲν οὖν τελεία στιγμὴ τίθεται ἐν τῷ μέσῳ τόπῳ τῆς τελευταίας γραμμῆς τοῦ στοιχείου τοῦ τελευταίου ἐν τοῖς ἀσυνδέτοις λόγοις. ἐπὶ τοῦ

μάντι κακῶν, οὔ πώ ποτέ μοι τὸ κρηγύον εἶπες

εἰς τὸ εἶπες, τουτέστιν εἰς τὸ τελευταῖον αὐτοῦ γράμμα, ἡ τελεία τίθεται, τοῦ ἐφεξῆς λόγου ἀσυνδέτου ὄντος. Ἡ δὲ ὑποτελεία ὀλίγον ὑποκάτω τοῦ μέσου τόπου τοῦ στοιχείου τοῦ ἐσχάτου, ὅτε ἐπιφέρεται ὁ δέ ἢ ἄλλος τις σύνδεσμος τῶν ἰσοδυναμούντων τῷ δέ, λέγω δὲ τὸν γάρ, τὸν ἀλλά, τὸν αὐτάρ, ὡς ἐπὶ τοῦ

ἡρώων· αὐτοὺς δὲ ἑλώρια

εἰς τὸ ν τοῦ ἡρώων ἡ ὑποτελεία τίθεται διὰ τὸ ἐπιφέρεσθαι τὸν δέ. οὕτω γὰρ δοκεῖ τῷ ἡμετέρῳ γραμματικῷ, φημὶ δὲ τῷ Ἀπολλωνίῳ, καὶ μάλα εὖ, ὡς γέ μοι δοκεῖ· ἐν δὲ τούτῳ παρεωρακέναι Νικάνορα, τὴν μὲν ἐν τῷ χρόνῳ τῆς σιωπῆς διαφορὰν ὁρισάμενον τῶν πρώτων δύο στιγμῶν, φημὶ δὲ τῆς τελείας καὶ ὑποτελείας, τὴν δὲ θέσιν καὶ τὸν τόπον τὸν αὐτὸν ταῖς δύο ἀπονέμοντα.

οὐ δεῖ οὖν τὴν τελείαν καὶ ὑποτελείαν ἐν μέσῳ στίχου τιθέναι, ὡς γέ φησι Νικάνωρ, ἐπεὶ ποία διαφορὰ ἔσται αὐτῶν; ἀλλὰ τὴν μὲν τελείαν ἐν τῷ μέσῳ, τὴν δὲ ὑποτελείαν ὑποκάτω ὀλίγον τοῦ μέσου τόπου τοῦ τελευταίου στοιχείου. Ἡ δὲ πρώτη ἄνω τίθεται ἐπάνω τῆς τελευταίας γραμμῆς τοῦ τελευταίου στοιχείου, ὅτε πρόκειται ὁ μέν ἢ ὁ ἤ ἢ τὸ οὔ, ἐπιφέρεται δὲ ὁ δέ ἢ ὁ ἤ ἢ ὁ ἀλλά, ὡς ἐπὶ τοῦ 5

αἴδεσθεν μὲν ἀνήνασθαι

εἰς τὸ τελευταῖον ῑ τοῦ ἀνήνασθαι ἡ πρώτη ἄνω τίθεται διὰ τὸ ἐπιφέρεσθαι τὸν δέ, τοῦ μέν προκειμένου. 10

Ἡ δὲ δευτέρα ἄνω τίθεται καὶ αὐτὴ ἐπάνω τῆς τελευταίας γραμμῆς τοῦ ἐσχάτου στοιχείου, περιέχεται δὲ ὑπὸ διπλῆς ἔξωθεν, ὅτε ἐπιφέρεται ὁ καί, ὡς ἐπὶ τοῦ

καί ῥα πάροιθ' αὐτοῖο καθέζετο

εἰς τὸ ō τοῦ καθέζετο τίθεται ἡ δευτέρα ἄνω, τοῦ καί ἐπιφερομένου. Ἡ δὲ τρίτη ἄνω τίθεται μὲν καὶ αὐτὴ ἐπάνω τῆς τελευταίας γραμμῆς τοῦ τελευταίου στοιχείου, περιέχεται δὲ ὑπὸ διπλῆς ἔσωθεν, ὅτε ἐπιφέρεται ὁ τέ, ὡς ἐπὶ τοῦ

Κίλλαν τε ζαθέην

εἰς τὸ ν̄ τοῦ ζαθέην τίθεται ἡ τρίτη ἄνω, ἐπιφερομένου τοῦ τέ συνδέσμου. Ἡ δὲ ὑποστιγμὴ ἡ ἐνυπόκριτος τίθεται ὑποκάτω μὲν τῆς τελευταίας γραμμῆς τοῦ τελευταίου στοιχείου, ὀλίγον δὲ ἐξωτέρω ἐκ πλαγίου νεύουσα, ἐν ταῖς ὀρθαῖς περιόδοις, τουτέστιν ὅτε πρόκειται τὸ ὄφρα ἢ τὸ ἦμος ἢ τὸ ὅτε ἢ τὸ ἕως ἢ τὸ ὅπου, ἐπιφέρεται δὲ τὸ τόφρα, τὸ τῆμος, τὸ τότε, τὸ τέως, τὸ ἐκεῖ καὶ τὰ ὅμοια, ὡς ἐπὶ τοῦ

ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς

εἰς τὸ σ̄ τοῦ ἠώς τίθεται ἡ ἐνυπόκριτος, ἐπιφερομένου τοῦ τότε. Ἡ δὲ ὑποστιγμὴ ἡ ἀνυπόκριτος τίθεται καὶ αὐτὴ ὑποκάτω τοῦ τελευταίου γράμματος ὑπὸ τὴν ἐσχάτην

την καὶ κατωτάτω γραμμὴν τοῦ στοιχείου, ἐν δὲ ταῖς μεταξὺ πρὸ τῆς ἀνταποδόσεως τῶν ὀρθῶν περιόδων ἀναφωνουμέναις ἑτέραις περιόδοις, ὡς ἐπὶ τοῦ

ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη 5

οὔρεος ἐν βήσσῃς.

ἐνταῦθα τίθεται ἡ ἀνυπόκριτος, ὁμοίως καὶ εἰς τὸ γυῖα καὶ εἰς τὸ ἀνεχώρησε· μεταξὺ γὰρ τῆς ἀνταποδόσεως ἕτεραι περίοδοι ἐνετέθησαν· εἰς δὲ τὸ παρειά ἡ ἐνυπόκριτος· εὐθέως γὰρ ἐπιφέρεται ἡ ἀνταπόδοσις. Ἡ δὲ 10 *ὑποδιαστολὴ κατὰ πάντα τῶν προλαβουσῶν στιγμῶν ἐνήλλακται, ὡς καὶ αὐτῷ τῷ στίγματι μὴ εἶναι νυγμή τις ὡς αἱ ἄλλαι, ἀλλὰ τύπον ἔχειν τοῦ ὀξέος τόνου. τίθεται δὲ καὶ αὐτὴ ὑποκάτω τοῦ τελευταίου γράμματος τῆς ἐσχάτης γραμμῆς, ὡς ὀξεῖα δέ τις, ὡς προείρηται,* 15 *ἐν ταῖς ἀντεστραμμέναις περιόδοις, ὡς ἐπὶ τοῦ*

ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ.

ἐνταῦθα τίθεται ἡ ὑποδιαστολή· ἐπιφέρεται γὰρ τὸ εἰ σφῶϊν, καὶ ποιεῖ ἀντεστραμμένην τὴν περίοδον. ἡ γὰρ ὀρθὴ περίοδος ἦν 20

εἰ σφῶϊν τάδε πάντα πυθοίατο,

ἦ κεν γηθήσαι Πρίαμος.

§ 6.

ΠΕΡΙ ΡΑΨΩΙΔΙΑΣ. 25

„Ῥαψῳδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσιν." Ἐπειδὴ οἱ ἀρχόμενοι ἀναγινώσκειν παῖδες πρὸ πάντων τῶν βιβλίων ἅπτονται τῶν Ὁμηρικῶν, τὰ δὲ Ὁμηρικὰ ποιήματα τέμνεται εἰς ῥαψῳδίας, βούλεται διδάξαι τοὺς παῖδας αὐτὸ τοῦτο, τί ἐστι ῥαψῳδία, καί φησι τὸν ὅρον τοῦτον. ποίημα μέν ἐστι τὸ ὅλον βιβλίον, ὡς ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, τὰ δὲ τμήματα αὐτῶν ῥα- 30

ψῳδίαι καλοῦνται. καλῶς οὖν εἶπε μέρος εἶναι τοῦ ὅλου ποιήματος ἑκάστην ῥαψῳδίαν. ἀλλὰ καὶ αὐτὸ τὸ μέρος περιέχει τινὰ εἰδικὴν ὑπόθεσιν μὴ ἐμφερομένην ἐν τοῖς ἄλλοις μέρεσιν, ὡς τὸ μὲν Α περιέχει τὴν μάχην Ἀχιλλέως καὶ Ἀγαμέμνονος, τὸ Β τὸν ὄνειρον τὸν πεμφθέν- 5
τα ὑπὸ τοῦ Διὸς πρὸς τὸν Ἀγαμέμνονα, τὸ Γ τὴν μονομαχίαν Ἀλεξάνδρου καὶ Μενελάου, καὶ τὰ ἑξῆς. ἕκαστον τούτων ἐμπεριείληφε, τουτέστι περιέχει, εἰδικήν τινα ὑπόθεσιν, ὅ μέρος ἐστὶ τοῦ ὅλου ποιήματος.

Βούλεται λοιπὸν ἐτυμολογῆσαι, τίνος ἕνεκεν εἴρη- 10
ται ῥαψῳδία, καί φησιν ὅτι οἱονεὶ ῥαβδῳδία τις οὖσα, τουτέστιν ἡ ἐπὶ ῥάβδῳ ᾠδή. οἱ γὰρ μεθ' Ὅμηρον τὰ αὐτοῦ ποιήματα περιερχόμενοι ᾖδον, ῥάβδον δαφνίνην κατέχοντες, σύμβολον Ἀπολλωνιακόν. ἢ οὖν ἀπὸ τῆς ῥάβδου καὶ τῆς ᾠδῆς ἐτυμολογεῖται ἡ ῥαψῳδία, ἢ ἀπὸ 15
τοῦ ῥάπτειν, ὅ πέρ ἐστι τὰ διεστῶτα καὶ διακεχωρισμένα εἰς ἓν συνάπτοντα ὑγιάζειν. ἔστι γάρ τι ῥῆμα ῥῶ, καὶ σημαίνει τὸ ὑγιάζω, ἔνθεν φαμὲν καὶ τὸ ἔῤῥωσο ἀντὶ τοῦ ὑγίαινε, καὶ ῥῶσιν τὴν ὑγίειαν. ἀπὸ τοῦ ῥῶ οὖν τούτου γίνεται παράγωγον ῥῆμα τὸ ῥάπτω, ὅθεν 20
καὶ ἕως νῦν ῥάπτας φαμὲν τοὺς τὰ διεστῶτα καὶ διεῤῥηγμένα ἱμάτια εἰς ἓν συνάγοντας καὶ ὑγιές τι ἓν ἀποτελοῦντας. ἀπὸ τοῦ ῥάπτω οὖν τούτου ὁ μέλλων γίνεται ῥάψω, ἀφ' οὗ παράγωγον ῥαψῳδία. οἱ γὰρ μεθ' Ὅμηρον, ὡς προείρηται, περιερχόμενοι καὶ ᾄδοντες 25
τὰ αὐτοῦ, οὐκ ἐφεξῆς, ὡς νῦν κεῖνται οἱ στίχοι, οὕτως ἔλεγον ἀκολούθως ἐπιδεικνύμενοι, ἀλλ' ἐντεῦθεν κἀκεῖθεν, λόγου χάριν ἀπὸ τοῦδε τοῦ σελιδίου ἕνα στίχον καὶ ἀφ' ἑτέρου σελιδίου ἕνα καὶ ἀπ' ἄλλου ἄλλον λαβόντες, καὶ οὕτω συνάγοντες τοὺς διεστῶτας στίχους εἰς ἕν, τοὺς 30
ἁρμόζοντας τῷ πράγματι, λόγου χάριν εἰς γάμους, εἰς ἄρχοντας, εἰς γενεθλίους ἢ ἄλλο τι προκείμενον, οὕτως ἐπεδείκνυντο. διὰ τοῦτ' οὖν καὶ αὐτὸς ὁ Διονύσιος εἶπε

τὰς δύο ἐτυμολογίας, ἢ ἀπὸ τοῦ ῥάπτειν, τουτέστι τὰ διεστῶτα συνάγειν, ἢ ἀπὸ τοῦ ῥάβδον κρατοῦντας ἐπιδείκνυσθαι.

Ἀναγκαῖον δὲ μετὰ τὴν ἐτυμολογίαν τῆς ῥαψῳδίας μνησθῆναι κἀκείνου, ὅτι ἔν τινι χρόνῳ τὰ Ὁμήρου ποιήματα παρεφθάρησαν ἢ ὑπὸ πυρὸς ἢ ὑπὸ σεισμοῦ ἢ ὑπὸ ὑδάτων ἐπιφορᾶς, καὶ ἄλλων ἄλλως τῶν βιβλίων διασκεδασθέντων καὶ φθαρέντων ὕστερον εὑρέθη ὁ μὲν ἔχων τυχὸν ἑκατὸν στίχους Ὁμηρικούς, ὁ δὲ χιλίους, ἄλλος διακοσίους, ἄλλος ὅσους ἂν ἔτυχε. καὶ ἔμελλε λήθη παραδίδοσθαι ἡ τοιαύτη ποίησις. ἀλλὰ Πεισίστρατός τις Ἀθηναίων στρατηγός, θέλων καὶ ἑαυτῷ δόξαν περιποιήσασθαι καὶ τὰ τοῦ Ὁμήρου ἀνανεῶσαι, τοιοῦτόν τι ἐβουλεύσατο. ἐκήρυξεν ἐν πάσῃ τῇ Ἑλλάδι τὸν ἔχοντα Ὁμηρικοὺς στίχους ἀγαγεῖν πρὸς αὐτόν, ἐπὶ μισθῷ ὡρισμένῳ καθ' ἕκαστον στίχον. πάντες οὖν οἱ ἔχοντες ἀπέφερον, καὶ ἐλάμβανον ἀδιαστρόφως τὸν ὁρισθέντα μισθόν. οὐκ ἀπεδίωκε δὲ οὐδὲ τὸν φέροντα οὗς ἤδη προειλήφει παρ' ἑτέρου στίχους, ἀλλὰ κἀκείνῳ τὸν αὐτὸν ἐδίδου μισθόν· ἐνίοτε γὰρ ἐν αὐτοῖς ἕνα ἢ δύο στίχους εὕρισκε περιττούς, ἐνίοτε δὲ καὶ πλείους. ὅθεν τις ἔσθ' ὅτε καὶ ἰδίους παρεισέφερε, τοὺς νῦν ὀβελιζομένους. καὶ μετὰ τὸ πάντας συναγαγεῖν, παρεκάλεσεν ἑβδομήκοντα δύο γραμματικούς, συνθεῖναι τὰ τοῦ Ὁμήρου ἕκαστον κατ' ἰδίαν, ὅπως ἂν δόξῃ τῷ συντιθέντι καλῶς ἔχειν, ἐπὶ μισθῷ πρέποντι λογικοῖς ἀνδράσι καὶ κριταῖς ποιημάτων, ἑκάστῳ δεδωκὼς ἅπαντας τοὺς στίχους κατ' ἰδίαν, ὅσους ἦν συναγαγών. καὶ μετὰ τὸ ἕκαστον συνθεῖναι κατὰ τὴν ἑαυτοῦ γνώμην, εἰς ἓν συνήγαγε πάντας τοὺς προλεχθέντας γραμματικούς, ὀφείλοντας ἐπιδεῖξαι αὐτῷ ἕκαστον τὴν ἰδίαν σύνθεσιν, παρόντων ὁμοῦ πάντων. οὗτοι οὖν ἀκροασάμενοι οὐ πρὸς ἔριν, ἀλλὰ πρὸς τὸ ἀληθὲς καὶ πᾶν τὸ τῇ τέχνῃ ἁρμόζον, ἔκριναν πάντες

κοινῇ καὶ ὁμοφώνως, κρατῆσαι τὴν σύνθεσίν τε καὶ διόρθωσιν Ἀριστάρχου καὶ Ζηνοδότου. καὶ πάλιν ἔκριναν τῶν δύο συνθέσεών τε καὶ διορθώσεων βελτίονα τὴν Ἀριστάρχου. ἐπειδὴ δέ τινες τῶν συναγαγόντων τοὺς Ὁμηρικοὺς στίχους πρὸς τὸν Πεισίστρατον διὰ τὸ πλείονα μισθὸν λαβεῖν καὶ ἰδίους στίχους, ὡς καὶ προείρηται, σκεψάμενοι προσέθηκαν, καὶ ἤδη ἐν συνηθείᾳ ἐγένοντο τοῖς ἀναγινώσκουσιν, οὐκ ἔλαθε τοῦτο τοὺς κριτάς, ἀλλὰ διὰ μὲν τὴν συνήθειαν καὶ πρόληψιν ἀφῆκαν αὐτοὺς κεῖσθαι, ὀβελίσκους δὲ ἑκάστῳ τῶν ἀδοκίμων καὶ ἀλλοτρίων καὶ ἀναξίων τοῦ ποιητοῦ στίχων παρατιθέμενοι, τοῦτο αὐτὸ ἐνεδείξαντο ὡς ἀνάξιοί εἰσι τοῦ Ὁμήρου. Φέρεται δὲ ἐπίγραμμα εἰς τὸν Πεισίστρατον σπουδάσαντα συναγαγεῖν τὰ Ὁμήρου τοιοῦτον·

τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξε
δῆμος Ἀθηναίων, καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον
ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,
εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

„Ῥαψῳδία ἐστὶ μέρος ποιήματος." Ποιήσεως ἐχρῆν εἰπεῖν, οὐ ποιήματος· ποίησις γὰρ ἡ πᾶσα Ἰλιάς, ποίημα δὲ ἑκάστη ῥαψῳδία. διαφέρει δὲ ποίημα καὶ ποίησις καὶ ποιητικὴ καὶ ποιητής. ποιητικὴ μὲν γάρ ἐστιν ἡ ἕξις, ποιητὴς ὁ μετέχων ποιητικῆς, ποίημα ὁ στίχος καὶ σύνταγμα τὸ ἐν τῷ αὐτῷ ἀρχὴν καὶ τέλος ἔχον, ὁποῖόν ἐστι τὸ Κ τῆς Ἰλιάδος, ἡ νυκτεγερσία καλουμένη. ποίησίς ἐστιν ἥ τις ἀρχὴν μὲν οὐκ ἔχει ἐν τοῖς πρότερον, τὸ δὲ νόημα ἐν τοῖς ἐχομένοις ἀποτελεῖ. ποίημα δὲ φράσις ἔμμετρος καὶ εὔρυθμος, ἀρχαιοτέρα καὶ σεμνοτέρα τῆς λογικῆς συντάξεως, κατὰ τῶν ὑποκειμένων πραγμάτων ἢ ὡς ὑποκειμένων τιθεμένη, ὑποκειμένων μὲν θείων

τῃ καὶ ἀνθρωπίνων, ὡς ὑποκειμένων δὲ Σκύλλης, Χιμαίρας καὶ τῶν ὁμοίων.

Πορφυρίου. Ὁ ἐμπεριεχόμενος νοῦς ἐν τῇ ὑπογραφῇ τούτων ἔχει τὸν τρόπον, ὅτι ῥαψῳδία ἐστὶ μέρος ποιήματος, ποίημα δὲ ἡ Ἰλιὰς καὶ ἕτερον ποίημα ἡ Ὀδύσσεια· τὸ δὲ συναμφότερον λέγεται ποίησις. ἑκάστη δὲ τῶν ῥαψῳδιῶν οἰκείαν ὑπόθεσιν ἔχει. Ὠνόμασται δὲ ἀπὸ τοῦ ῥάψω μέλλοντος καὶ τοῦ ᾠδή· συνέῤῥαπτον γὰρ τοὺς κατάλληλον διάνοιαν ἀπαρτίζοντας στίχους Ὁμηρικούς, καὶ ἔψαλλον τὸ ἐφαρμόζον μέλος πρὸς τὴν τοῦ Ἀπόλλωνος ἑορτήν. κατεῖχον δὲ καὶ κλάδους δαφνῶν οἱ Ὁμηρίδαι ἐν ταῖς χερσίν, ὅτε τοὺς Ὁμηρικοὺς στίχους ἐν τῇ τοῦ Ἀπόλλωνος ἑορτῇ ἔψαλλον. Διὰ τί τοιαύτην ῥάβδον κατέχοντες, τὰ Ὁμηρικὰ ᾖδον; Διὰ τὸ ἀειθαλὲς τῆς ποιήσεως, ἐπεὶ καὶ ἡ τέχνη ἀειθαλής ἐστι, οὐδέποτε φυλλοροοῦσα, καὶ ὅτι τοῦ Ὁμήρου ἡ ποίησις καὶ μαντικῆς ἐπέχει, οἱ δὲ μάντεις δάφνῃ ἐστέφοντο, τοῦ Ἀπόλλωνος κατὰ τὴν ἱστορίαν Δάφνης τινὸς κόρης ἐρασθέντος, διώκοντος δὲ καὶ μὴ καταλαβόντος, στεφανωθέντος δὲ ἀπὸ τῶν κλάδων αὐτῆς, ἐπεὶ ἀπεδενδρώθη παρὰ τῆς γῆς διασχούσης καὶ ταύτην λαβούσης ὡς μητρός, καὶ ἀνταποδούσης ἀντὶ γυναικὸς τὸ φυτόν. Ποῦ δὲ φαίνεται ὁ ποιητὴς μαντευσάμενος; Καὶ ἐν ἄλλοις μὲν πολλοῖς, πλὴν καὶ ἐν τούτοις. φησὶ γὰρ προσῴπῳ τοῦ Ποσειδῶνος διὰ τὸν Αἰνείαν, ὅτι

νῦν δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει,
καὶ παῖδες παίδων, τοί κεν μετόπισθεν ἔσονται.

ὅτι δὲ ἀληθείαν ἐμαντεύσατο, δηλοῦσι τὰ πράγματα. ἐξ Αἰνείου γὰρ ἡ Ῥωμαϊκὴ ἀρχή, καὶ Αἰνειάδαι οἱ βασιλεῖς.

Ταῦτα μὲν ἐν τούτοις. ἐντεῦθεν δὲ τῆς γραμματικῆς ὅτι περὶ στοιχείου μὲν ἐπιγράφεται, ἄρχεται δὲ ἐκ τοῦ „γράμματά εἰσιν εἴκοσι τέσσαρα."

κοινῇ καὶ ὁμοφώνως, κρατῆσαι τὴν σύνθεσίν τε καὶ διόρθωσιν Ἀριστάρχου καὶ Ζηνοδότου. καὶ πάλιν ἔκριναν τῶν δύο συνθέσεών τε καὶ διορθώσεων βελτίονα τὴν Ἀριστάρχου. ἐπειδὴ δέ τινες τῶν συναγαγόντων τοὺς Ὁμηρικοὺς στίχους πρὸς τὸν Πεισίστρατον διὰ τὸ πλείονα μισθὸν λαβεῖν καὶ ἰδίους στίχους, ὡς καὶ προείρηται, σκεψάμενοι προσέθηκαν, καὶ ἤδη ἐν συνηθείᾳ ἐγένοντο τοῖς ἀναγινώσκουσιν, οὐκ ἔλαθε τοῦτο τοὺς κριτάς, ἀλλὰ διὰ μὲν τὴν συνήθειαν καὶ πρόληψιν ἀφῆκαν αὐτοὺς κεῖσθαι, ὀβελίσκους δὲ ἑκάστῳ τῶν ἀδοκίμων καὶ ἀλλοτρίων καὶ ἀναξίων τοῦ ποιητοῦ στίχων παρατιθέμενοι, τοῦτο αὐτὸ ἐνεδείξαντο ὡς ἀνάξιοί εἰσι τοῦ Ὁμήρου. Φέρεται δὲ ἐπίγραμμα εἰς τὸν Πεισίστρατον σπουδάσαντα συναγαγεῖν τὰ Ὁμήρου τοιοῦτον·

τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξε
δῆμος Ἀθηναίων, καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον
ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,
εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

„Ῥαψῳδία ἐστὶ μέρος ποιήματος." Ποιήσεως ἐχρῆν εἰπεῖν, οὐ ποιήματος· ποίησις γὰρ ἡ πᾶσα Ἰλιάς, ποίημα δὲ ἑκάστη ῥαψῳδία. διαφέρει δὲ ποίημα καὶ ποίησις καὶ ποιητικὴ καὶ ποιητής. ποιητικὴ μὲν γάρ ἐστιν ἡ ἕξις, ποιητὴς ὁ μετέχων ποιητικῆς, ποίημα ὁ στίχος καὶ σύνταγμα τὸ ἐν τῷ αὐτῷ ἀρχὴν καὶ τέλος ἔχον, ὁποῖόν ἐστι τὸ Κ τῆς Ἰλιάδος, ἡ νυκτεγερσία καλουμένη. ποίησίς ἐστιν ἥ τις ἀρχὴν μὲν οὐκ ἔχει ἐν τοῖς πρότερον, τὸ δὲ νόημα ἐν τοῖς ἑχομένοις ἀποτελεῖ. ποίημα δὲ φράσις ἔμμετρος καὶ εὔρυθμος, ἀρχαιοτέρα καὶ σεμνοτέρα τῆς λογικῆς συντάξεως, κατὰ τῶν ὑποκειμένων πραγμάτων ἢ ὡς ὑποκειμένων τιθεμένη, ὑποκειμένων μὲν θείων

τε καὶ ἀνθρωπίνων, ὡς ὑποκειμένων δὲ Σκύλλης, Χιμαίρας καὶ τῶν ὁμοίων.

Πορφυρίου. Ὁ ἐμπεριεχόμενος νοῦς ἐν τῇ ὑπογραφῇ τούτων ἔχει τὸν τρόπον, ὅτι ῥαψῳδία ἐστὶ μέρος ποιήματος, ποίημα δὲ ἡ Ἰλιὰς καὶ ἕτερον ποίημα ἡ Ὀδύσσεια· τὸ δὲ συναμφότερον λέγεται ποίησις. ἑκάστη δὲ τῶν ῥαψῳδιῶν οἰκείαν ὑπόθεσιν ἔχει. Ὠνόμασται δὲ ἀπὸ τοῦ ῥάψω μέλλοντος καὶ τοῦ ᾠδή· συνέῤῥαπτον γὰρ τοὺς κατάλληλον διάνοιαν ἀπαρτίζοντας στίχους Ὁμηρικούς, καὶ ἔψαλλον τὸ ἐφαρμόζον μέλος πρὸς τὴν τοῦ Ἀπόλλωνος ἑορτήν. κατεῖχον δὲ καὶ κλάδους δαφνῶν οἱ Ὁμηρίδαι ἐν ταῖς χερσίν, ὅτε τοὺς Ὁμηρικοὺς στίχους ἐν τῇ τοῦ Ἀπόλλωνος ἑορτῇ ἔψαλλον. Διὰ τί τοιαύτην ῥάβδον κατέχοντες, τὰ Ὁμηρικὰ ᾖδον; Διὰ τὸ ἀειθαλὲς τῆς ποιήσεως, ἐπεὶ καὶ ἡ τέχνη ἀειθαλής ἐστι, οὐδέποτε φυλλοροοῦσα, καὶ ὅτι τοῦ Ὁμήρου ἡ ποίησις καὶ μαντικῆς ἐπέχει, οἱ δὲ μάντεις δάφνῃ ἐστέφοντο, τοῦ Ἀπόλλωνος κατὰ τὴν ἱστορίαν Δάφνης τινὸς κόρης ἐρασθέντος, διώκοντος δὲ καὶ μὴ καταλαβόντος, στεφανωθέντος δὲ ἀπὸ τῶν κλάδων αὐτῆς, ἐπεὶ ἀπεδενδρώθη παρὰ τῆς γῆς διασχούσης καὶ ταύτην λαβούσης ὡς μητρός, καὶ ἀνταποδούσης ἀντὶ γυναικὸς τὸ φυτόν. Ποῦ δὲ φαίνεται ὁ ποιητὴς μαντευσάμενος; Καὶ ἐν ἄλλοις μὲν πολλοῖς, πλὴν καὶ ἐν τούτοις. φησὶ γὰρ προσώπῳ τοῦ Ποσειδῶνος διὰ τὸν Αἰνείαν, ὅτι

νῦν δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει,
καὶ παῖδες παίδων, τοί κεν μετόπισθεν ἔσονται.

ὅτι δὲ ἀληθειαν ἐμαντεύσατο, δηλοῦσι τὰ πράγματα. ἐξ Αἰνείου γὰρ ἡ Ῥωμαϊκὴ ἀρχή, καὶ Αἰνειάδαι οἱ βασιλεῖς.

Ταῦτα μὲν ἐν τούτοις. ἐντεῦθεν δὲ τῆς γραμματικῆς ὅτι περὶ στοιχείου μὲν ἐπιγράφεται, ἄρχεται δὲ ἐκ τοῦ „γράμματά εἰσιν εἴκοσι τέσσαρα."

§ 7.

ΠΕΡΙ ΣΤΟΙΧΕΙΩΝ.

Διδάξας ἡμᾶς ὁ Διονύσιος περὶ προσῳδιῶν τέχνης καὶ γραμματικῆς καὶ ἀναγνώσεως καὶ τῶν ἐφεξῆς τοὺς λόγους, ἄρχεται λοιπὸν καὶ περὶ τῶν τῆς γραμματικῆς ἀρχῶν, τό τε ποσὸν καὶ τὴν τούτων διάκρισιν ποιούμενος. δέον δὲ εἰπεῖν, τί ἐστι στοιχεῖον. ἀλλ' ἐπειδὴ ἀδύνατόν ἐστιν εἰπεῖν τι, εἰ μὴ διαστείλωμεν τὸ τοῦ στοι- 1
χείου ὄνομα — ὁμώνυμον γάρ —, δέον εἰπεῖν ποσαχῶς τὸ στοιχεῖον λέγουσι. λέγουσι τοίνυν αὐτὸ διχῶς, τά τε ἀφ' ἑαυτῶν ἀρχόμενα γράμματα, καὶ τὰ ἐξ ὧν σύγκειται τὰ σώματα. στοιχεῖον δέ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, ἢ φωνὴ ἐγγράμματος ἀμερής, ἢ 1
φωνῆς Ἑλληνικῆς φθόγγος ἐλάχιστος.

Ἐπειδὴ καὶ ἐκ τῆς φωνῆς τῶν στοιχείων συνίστανται, στοιχεῖον δέ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, ἀναγκαῖον ἡμᾶς πρῶτον περὶ φωνῆς 2
διαλαβεῖν, καὶ ὁ τεχνικὸς οὐδὲν εἶπε περὶ αὐτῶν. καὶ οἱ μὲν τῶν παλαιῶν λέγουσι τὴν φωνὴν σῶμα, οἱ δὲ ἀσώματον. οἱ γὰρ λέγοντες [ὅτι] ἀὴρ πεπληγμένος, σῶμα αὐτὴν νοοῦσι· σῶμα γὰρ ὁ ἀήρ, ἓν ὑπάρχων τῶν τεσσάρων στοιχείων· οἱ δὲ λέγοντες ἀσώματον οὔ φασι τὴν φω- 2
νὴν [ὅτι] ἀὴρ πεπληγμένος, ἀλλὰ πληγὴ ἀέρος ἤτοι ἴδιον αἰσθητὸν ἀκοῆς· ὅ πέρ ἐστι καὶ μᾶλλον ἀληθές. καὶ δῆλον ἐκ μεθόδου τοιαύτης. Τῶν πραγμάτων τὰ μὲν ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι, καθάπερ ἡ αὐλητικὴ καὶ ὀρχηστική. ταῦτα γὰρ ἐνεργούμενα μὲν εἰσί, γεγονότα δὲ 3
οὐκ εἰσίν· ἅμα γὰρ τῷ παύσασθαι, τὴν ἐνέργειαν φθείρεται καὶ τὸ γινόμενον. τὰ δὲ ἐν τῷ γεγονέναι ἔχει τὸ εἶναι, ὥςπερ ἡ ἀνδριαντοποιητικὴ καὶ τεκτονική. ταῦ-

τα μὲν ἐν τῷ γίνεσθαι οὐκ ἔχουσι τὴν ὕπαρξιν, καθὸ οὔπω ἀποτέλεσμα ἔχουσι· μετὰ δὲ τὸ γενέσθαι ἔχουσι καὶ τὸ εἶναι, τότε τοῦ ἀποτελέσματος ὄντος. Ἆρ' οὖν ἡ φωνὴ ἐν τῷ λέγεσθαι ἔχει τὴν ὕπαρξιν, μετὰ δὲ ταῦτα οὐχ ὑφίσταται. καὶ δῆλον, ὅτι οὐκ ἔστι σῶμα, ἀλλ' ἀσώματον.

Ἰστέον δὲ ὅτι τῶν φωνῶν αἱ μέν εἰσιν ἔναρθροι καὶ ἐγγράμματοι, ὡς αἱ ἡμέτεραι· αἱ δὲ ἄναρθροι καὶ ἀγράμματοι, ὡς ὁ ἦχος τοῦ πυρὸς καὶ ὁ κτύπος τοῦ λίθου ἢ τοῦ ξύλου· αἱ δὲ ἄναρθροι μέν, ἐγγράμματοι δέ, οἷον αἱ μιμήσεις τῶν ἀλόγων ζώων, ὡς τὸ βρεκεκέξ καὶ τὸ κοῖ, ἡ φωνὴ τοῦ χοίρου — αὕτη γὰρ ἡ φωνὴ ἄναρθρος μέν, καθὸ οὐκ ἴσμεν τί σημαίνει, ἐγγράμματος δέ, καθὸ δύναται γραφῆναι — · αἱ δὲ ἔναρθροι μέν, ἀγράμματοι δέ, ὡς ἐπὶ τοῦ συρισμοῦ. αὕτη γὰρ ἡ φωνὴ ἔναρθρος μέν, καθὸ ἴσμεν τί σημαίνει, οἷον

ῥοίζησε δ' ἄρα πιφάσκων Διομήδεϊ δίῳ,

ἀγράμματος δέ ἐστι, καθὸ οὐ δύναται γραφῆναι.

Ἰστέον δὲ ὅτι ἡ φωνὴ κυρίως λέγεται ἐπὶ τῶν ἀνθρώπων, ὡς παρὰ τῷ ποιητῇ

οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν,

φωνή τ' ἄῤῥηκτος·

καταχρηστικῶς δὲ καὶ ἐφ' ἑτέρων λέγεται φωνή, ὡς ἐπὶ σάλπιγγος εἶπεν Ὅμηρος

ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ.

Σχηματίζεται δὲ ἡ φωνὴ παρὰ τὸ φῶ τὸ φαίνω, κατὰ πρόσληψιν συλλαβῆς τῆς νη γινομένη φῶ φωνή· φαίνει γὰρ καὶ λαμπρῶς δηλοῖ τὰ ἐνθυμήματα. ἢ ὅτι φωτονοή τίς ἐστιν· αὕτη γὰρ τὰ τοῦ νοὸς ἐνθυμήματα εἰς φῶς ἐξάγει.

Ὁρίζεται δὲ ἡ φωνὴ οὕτως· φωνή ἐστι πνεῦμά τι, ἀπὸ συστήματος ἰδίου καὶ αἵματος ἀναφερόμενον ἕως

τῆς γλώττης, ὑφ' ἧς τυπτόμενον διαρθροῦται καὶ νοητὸν ταῖς πλησίον ἀκοαῖς παραδίδοται.

„Γράμματά ἐστι κδ." Περὶ στοιχείου ἐπιγράψας, οὐ στοιχεῖα εἶπεν εἴκοσι τέσσαρα, ἀλλὰ γράμματα εἴκοσι τέσσαρα. διὰ τί; ἵνα δείξῃ ὅτι ἄμφω τὰ ὀνόματα τῷ πράγματι ἁρμόζει. οἱ δέ φασιν, ὅτε μὲν γράφονται, λέγονται γράμματα· ὅτε δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα.

Οὐχ ὑγιῶς δὲ ἐνταῦθα ὁ τεχνικός, περὶ στοιχείου λόγον διδάσκειν ἡμᾶς προθέμενος, τὰ γράμματα εἰσηνέγκατο· εἰπὼν γὰρ „περὶ στοιχείου" τὰ γράμματα ὁρίζεται. Λέγομεν οὖν ὅτι καὶ ἐνταῦθα σκοπὸν ἔχει εἰσαγωγικὴν τέχνην γράφειν· δεῖ δὲ τὸν οὕτω συγγραφόμενον τῶν γλαφυρωτέρων ἀφίστασθαι. ἐπεὶ οὖν ὁ περὶ στοιχείου λόγος πολὺς ἦν καὶ φιλοσοφίας γέμων, παρῆκεν αὐτόν, μετέρχεται δὲ ἐπὶ τὰ γράμματα, εἰδὼς ὅτι καὶ αὐτὰ στοιχεῖά ἐστιν, ὁπόταν δύνανται τὴν ἐγγράμματον φωνὴν ἀποτελεῖν. στοιχεῖα γάρ φαμεν εἶναι κοσμικὰ τέσσαρα, πῦρ, ἀέρα, ὕδωρ καὶ γῆν· καὶ ὃν τρόπον ταῦτα, καταλλήλως πλεκόμενα, τὰ ἡμέτερα σώματα ὑγιᾶ τε καὶ τέλεια καθίστησιν, οὕτω καὶ τὰ στοιχεῖα ὁμωνύμως ἐκάλεσεν. ὅτε γὰρ κατὰ τάξιν καὶ δεόντως γράφεται, τότε τὴν ἐναρμόνιον φωνὴν ἀποτελεῖ. στοιχεῖον γὰρ ἡ ἀπὸ τῶν γραμμάτων καὶ λέξεων ἀποτελουμένη ἐκφώνησις.

Μελάμποδος. Ἀπορίαν τινὰ εὐθέως καὶ ζήτησιν ἔχει ἡ ἐπιγραφή, τίνος ἕνεκεν, ἐπιγράψας „περὶ στοιχείου," οὐκ ἐπήγαγε στοιχεῖόν ἐστιν, [καθὼς] εἰπὼν ἀνωτέρω „περὶ ἀναγνώσεως" ἐπιφέρει ἀνάγνωσίς ἐστι, „περὶ τόνου" τόνος ἐστί, καὶ ἑφεξῆς ὁμοίως. ἐνταῦθα δέ, ἐπιγράψας „περὶ στοιχείου," οὐκ ἐπήγαγε στοιχεῖόν ἐστιν, ἀλλὰ γράμματά ἐστι. ταύτην οὖν τὴν ζήτησιν σὺν

θεῷ εἰσόμεθα. Ἐπειδὴ τοῖς γραμματικοῖς ἀναγκαῖόν ἐστι καὶ αὐτῶν τῶν γραμμάτων τὴν φύσιν καὶ τὴν εὕρεσιν ζητεῖν, τούτου χάριν θέλει ἡμᾶς ὡς εἰδὼς ἐπιστῆσαι. ἀναγκαῖον οὖν ἡμᾶς ἐστὶ πρῶτον γνῶναι τὸν ὅρον τοῦ στοιχείου, εἰ καὶ μὴ αὐτὸς ἔξεθ το. Τί οὖν ἐστὶ στοιχεῖον; ἡ ἐκφώνησις. ἑτέρως, τί ἐστι στοιχεῖον; ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή· ἕκαστον μὲν γὰρ τῶν στοιχείων οὐ δύναται μερισθῆναι, ἡ δὲ συλλαβὴ μερίζεται εἰς δύο στοιχεῖα ἢ τρία ἢ καὶ εἰς πλείοτα· αὐτὸ δὲ τὸ ἓν στοιχεῖον, ὡς προείρηται, ἀμερές ἐστι. καὶ ἄλλως, στοιχεῖόν ἐστιν ἐξ οὗ ἐλαχίστου συνίσταταί τι ἐν συνθέσει καὶ εἰς ὃ ἐλάχιστον ἀναλύεται. ἀπὸ γὰρ ἑκάστου στοιχείου, ὡς ἔφη ὁ ὅρος, ἐλαχίστου συνίστανται αἱ συλλαβαί, καὶ ἀπὸ τῶν συλλαβῶν αἱ λέξεις, ἀπὸ τῶν λέξεων οἱ λόγοι, ἀπὸ τῶν λόγων τὰ ποιήματά τε καὶ τὰ συγγράμματα. καὶ πάλιν τὰ ποιήματα καὶ τὰ συγγράμματα ἀναλύονται εἰς λόγους, καὶ οἱ λόγοι εἰς λέξεις, καὶ αἱ λέξεις εἰς συλλαβάς, καὶ αἱ συλλαβαὶ εἰς στοιχεῖα, καὶ οὐκέτι περαιτέρω· οὐ γὰρ δύναται τὸ στοιχεῖον εἰς μικρότερόν τι ἑαυτοῦ ἀναλυθῆναι. τοῦτο οὖν ἐστίν, ὃ ἔφη ὁ ὅρος, καὶ εἰς ὃ ἐλάχιστον ἀναλύεται. Τούτῳ οὖν τῷ στοιχείῳ, τουτέστι τῇ ἐκφωνήσει, παρέπεται τρία, χαρακτὴρ μέν, ὡς τρίγωνον σχῆμα ἢ ἡμικύκλιον ἢ στρογγύλον, καὶ τὰ ἑξῆς· ὄνομα δέ, ὡς τὸ ἄλφα ἢ βῆτα καὶ τὰ λοιπά. καὶ τὴν μὲν οὖν ἐκφώνησιν τῶν στοιχείων ἡ φύσις τοῖς ἀνθρώποις ἐξ ἀρχῆς ἐδωρήσατο· ταῦτα δὲ τὰ τρία, ἃ προειρήκαμεν παρεπόμενα τῷ στοιχείῳ, ἀνθρώπων ἐστὶν ἐφεύρεσις. διὸ καὶ παρ' ἡμῖν μὲν οἱ χαρακτῆρες τῶν στοιχείων τοιοίδε τινές εἰσιν, οὓς ἐδιδάχθημεν, ὡς προϊὼν ὁ λόγος δηλώσει· παρὰ δὲ Πέρσαις ἕτεροι, παρὰ δὲ Σύροις ἄλλοι, παρὰ δὲ ἄλλοις ἔθνεσιν ἄλλοι. ἐφευρέθη οὖν ἑκάστῃ ἐκφωνήσει τοιάδε τις εἰκὼν ἤτοι χαρακτήρ, καὶ μετὰ τοὺς χαρακτῆρας ἐφευρέθη καὶ

ἐπετέθη αὐτοῖς τὰ ὀνόματα, ὥςτε ἔχειν τῶν στοιχείων ἕκαστον τοιόνδε τὸν χαρακτῆρα καὶ τὸ ὄνομα τῇ ἐκφωνήσει. διὸ καὶ κατανοήσαντί μοι τάς τε ἐκφωνήσεις αὐτῶν καὶ τὰ ὀνόματα, ὡς παράδοξόν τι ἐφάνη παρηκολουθηκέναι τοῖς γράμμασιν ἐκ πάντων, φημὶ τῷ ῡ καὶ τῷ ῶ, τῇ τε τοῦ ὀνόματος αὐτῶν συνελεύσει καὶ τῆς ἐκφωνήσεως· τούτων γὰρ μόνων μᾶλλον τὸ ὄνομα ὁμοφώνως τῇ ἐκφωνήσει καὶ τὴν ἐκφώνησιν ὁμοφώνως τῷ ὀνόματι φθεγγόμεθα. τὴν δὲ αἰτίαν τούτων φιλοσόφοις ἀνατίθεμαι. Μετὰ δὲ τὰ ὀνόματα ἐνομοθετήθη παρὰ τῶν ἀρχαίων τινὰ μὲν εἶναι μακρά, τινὰ δὲ βραχέα, τινὰ δὲ σύμφωνα, τινὰ δὲ φωνήεντα. καὶ οὐδὲ ἀλόγως οὐδὲ ὡς ἔτυχεν ἐνομοθετήθη, ἀλλ' ἕκαστον ἔχεταί τινος λόγου καὶ αἰτίας προεπούσης. Τινὲς δέ φασι τοὺς χαρακτῆρας τῶν στοιχείων τοὺς παρ' ἡμῖν ὑπὸ Ἑρμοῦ ἐν φοίνικος φύλλῳ γεγραμμένους καταπεμφθῆναι τοῖς ἀνθρώποις, διὸ καὶ φοινικικὰ λέγεται τὰ γράμματα. οἱ δέ, ὅτι Φοινίκων ἐστὶν εὕρεσις. οἱ δέ, ὅτι ὁ παιδαγωγὸς τοῦ Ἀχιλλέως Φοῖνιξ εὗρεν αὐτά. Λοιπὸν δεῖ νῦν τὴν ζήτησιν τὴν προλεχθεῖσαν ἡμᾶς γνῶναι, φημὶ δὲ τὴν ἐξ ἀρχῆς, τίνος ἕνεκεν, εἰπὼν λοιπὸν „περὶ στοιχείου," οὐκ ἐπήγαγε στοιχεῖον ἀλλὰ γράμματα. καὶ ἔστι μὲν εἰπεῖν, ὡς καὶ αὐτὸς μετ' ὀλίγον ἐρεῖ, ἐπειδὴ ταὐτόν ἐστι στοιχεῖον καὶ γράμμα· φησὶ γὰρ ὑποκατιὼν ὁ τεχνικός „τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται." τὸ δὲ ἀληθές, ὅτι στοιχεῖον μέν ἐστιν ἡ ἐκφώνησις, γράμματα δὲ αἱ εἰκόνες καὶ οἱ χαρακτῆρες. καὶ χαρακτῆρες μέν εἰσιν εἴκοσι τέσσαρες, ἐκφωνήσεις δὲ πολλῷ πλείους. οἱ γὰρ παλαιοὶ ἄλλως ἐξεφώνουν τὸ ᾱ τὸ μακρὸν καὶ ἄλλως τὸ βραχύ, καὶ ἄλλως τὸ δασὺ καὶ ἄλλως τὸ ψιλόν, ἑνὶ δέ χαρακτῆρι ἀπετυποῦντο τὸ πνεῦμα. ἵνα οὖν πλέον τι γνῶμεν, ... ὅτι τὸ ᾱ ἔχει ἐκφωνήσεις ῑ. Πῶς;

Ἀ μακρὸν δασὺ ὀξυνόμενον,
ᾱ μακρὸν δασὺ βαρυνόμενον,
ᾱ μακρὸν δασὺ περισπώμενον·
ἰδοὺ τρεῖς διαφοραὶ ἐκφωνήσεων. πάλιν
ᾱ μακρὸν ψιλὸν ὀξυνόμενον,
ᾱ μακρὸν ψιλὸν βαρυνόμενον,
ᾱ μακρὸν ψιλὸν περισπώμενον·
ἰδοὺ ἄλλαι τρεῖς διαφοραί.
ᾱ βραχὺ δασὺ ὀξυνόμενον,
ᾱ βραχὺ δασὺ βαρυνόμενον,
ᾱ βραχὺ ψιλὸν ὀξυνόμενον,
ᾱ βραχὺ ψιλὸν βαρυνόμενον·
ἰδοὺ ἄλλαι τέσσαρες διαφοραί.
Καὶ ἐπὶ τοῦ ῑ δὲ ὁμοίως·
ῑ μακρὸν δασὺ ὀξυνόμενον,
ῑ μακρὸν δασὺ βαρυνόμενον,
ῑ μακρὸν δασὺ περισπώμενον,
ῑ μακρὸν ψιλὸν ὀξυνόμενον,
ῑ μακρὸν ψιλὸν βαρυνόμενον,
ῑ μακρὸν ψιλὸν περισπώμενον,
ῑ βραχὺ δασὺ ὀξυνόμενον,
ῑ βραχὺ δασὺ βαρυνόμενον,
ῑ βραχὺ ψιλὸν ὀξυνόμενον,
ῑ βραχὺ ψιλὸν βαρυνόμενον.
(περισπωμένων δὲ μνήμην ἐπὶ τῶν βραχέων οὐ πεποίη-
μαι· οὐ γὰρ οἷόν τε ἄλφα βραχὺ καὶ ἰῶτα βραχὺ ἢ ἕτε-
ρον τοιοῦτον περισπᾶσθαι. ἐπάνω γὰρ βραχείας περι-
σπωμένη οὐ τίθεται, εἴγε ἡ μὲν βραχεῖα μονόχρονός
ἐστι καὶ ἀρκεῖ εἰπεῖν βραχεῖα, ἡ δὲ περισπωμένη σύν-
θετός ἐστι τόνος ἐξ ὀξείας καὶ βαρείας, καὶ ἀεὶ ἐπάνω
μακρᾶς τίθεται, καὶ οὐ μόνον ἐπάνω μακρᾶς, ἀλλ' ὡς ἐπὶ
τὸ πλεῖστον καὶ ἐπὶ συνθέτου συλλαβῆς. τί δέ ἐστι συν-
θέτου; τῆς ποτὲ μὲν [ἐν] δύο συλλαβαῖς ἐκφωνουμένης,

ποτὲ δὲ ἐν μιᾷ, ὡς ἐπὶ τοῦ Ἡρακλέης Ἡρακλῆς καὶ τῶν ὁμοίων, ὡς προείρηται ἡμῖν.) ἰδοὺ καὶ ἐπὶ τοῦ ἰῶτα δέκα διαφοραί. Οἱ οὖν παλαιοὶ οὐχ ὁμοίως τὰ μακρὰ καὶ τὰ βραχέα ἐξεφώνουν, ἀλλ' ἐπὶ μὲν τῶν μακρῶν διπλασίονα ὥραν, ὡς ἄν τις εἴπῃ, ἐν τῇ ἐκφωνήσει ἐπέμενον, ἐπὶ δὲ τῶν βραχέων ἐλάττω ὥραν, τουτέστι τὸ ἡμισυ τῆς ἐπὶ τῇ μακρᾷ ἐκφωνήσει ὥρας, καὶ ὡςανεὶ παρατρέχοντες αὐτὰ ἐξεφώνουν, ὥστε ἀπὸ μικρᾶς ἡλικίας εἰδέναι ἑκάστης συλλαβῆς, μακρᾶς καὶ βραχείας, τὴν διαφοράν. καὶ ἄλλως τὰ δασέα ἐξεφώνουν καὶ ἄλλως τὰ ψιλά, πῇ μὲν μετὰ πολλοῦ πνεύματος, πῇ δὲ μετὰ ἐλαχίστου.

Ἐπὶ τοῦ ῡ εἰσὶν ἐκφωνήσεις πέντε,
ῡ μακρὸν δασὺ ὀξυνόμενον,
ῡ μακρὸν δασὺ βαρυνόμενον,
ῡ μακρὸν δασὺ περισπώμενον·
ἰδοὺ τρεῖς διαφοραί. καὶ πάλιν
ῡ βραχὺ δασὺ ὀξυνόμενον,
ῡ βραχὺ δασὺ βαρυνόμενον.
ἰδοὺ πέντε διαφοραί. τὸ γὰρ ῡ βραχὺ οὐδέποτε περισπᾶται. Πάλιν ἐπὶ τοῦ ῃ καὶ τοῦ ῳ εὑρίσκομεν δώδεκα διαφοράς, ἓξ ἐπὶ τοῦ ῃ καὶ ἓξ ἐπὶ τοῦ ῳ. Πῶς;

ῃ δασὺ ὀξυνόμενον,	ῳ δασὺ ὀξυνόμενον,
ῃ δασὺ βαρυνόμενον,	ῳ δασὺ βαρυνόμενον,
ῃ δασὺ περισπώμενον,	ῳ δασὺ περισπώμενον,
ῃ ψιλὸν ὀξυνόμενον,	ῳ ψιλὸν ὀξυνόμενον,
ῃ ψιλὸν βαρυνόμενον,	ῳ ψιλὸν βαρυνόμενον,
ῃ ψιλὸν περισπώμενον,	ῳ ψιλὸν περισπώμενον.

Ἐπὶ δὲ τοῦ ε καὶ τοῦ ο ὀκτὼ διαφορὰς εὑρίσκομεν·

ε δασὺ ὀξυνόμενον,	ο δασὺ ὀξυνόμενον,
ε δασὺ βαρυνόμενον,	ο δασὺ βαρυνόμενον,
ε ψιλὸν ὀξυνόμενον,	ο ψιλὸν ὀξυνόμενον,
ε ψιλὸν βαρυνόμενον,	ο ψιλὸν βαρυνόμενον.

Ἰδοὺ ἐπὶ τῶν φωνηέντων ἀνεφάνησαν τεσσαράκοντα πέντε διαφοραὶ ἐκφωνήσεων.

Ἐπὶ δὲ τῶν ἑπτακαίδεκα συμφώνων εἴκοσι μίαν εὑρίσκομεν διαφοράν. ποτὲ γὰρ μηκύνει τὰ πρὸ ἑαυτῶν φωνήεντα, ὡς δύο συμφώνων δύναμιν ἔχοντα καὶ ὡσανεὶ ἰσοδυναμοῦντα τῷ ζ ἢ τῷ ξ ἢ τῷ ψ, ἀρχόμενα μέντοι λέξεως, ὡς μετ᾽ ὀλίγον εἰσόμεθα· ποτὲ δὲ οὐ μηκύνει, ἀλλὰ τοῖς συμφώνοις τοῖς ἄλλοις, τοῖς ἀπὸ ἡμιχρονίου δύναμιν ἔχουσιν, ὅμοια καθέστηκεν. ἄλλως οὖν ἐξεφωνοῦντο, ὡς εἴρηται, τὰ μηκύνοντα, καὶ ἄλλως τὰ μὴ μηκύνοντα. τὰ δὲ ἐπίλοιπα τῶν συμφώνων δεκατρία σύμφωνα πρὸς μίαν ἔχει ἐκφώνησιν. Ἰδοὺ εἴκοσι μία διαφορὰ ἐπὶ τῶν συμφώνων ἐφάνη, ἐπὶ δὲ τῶν φωνηέντων τεσσαράκοντα πέντε, ὡς πάσας γίνεσθαι ἑξήκοντα ἓξ διαφορὰς ἐκφωνήσεων. τὸ γὰρ εὑρισκόμενον παρὰ τοῖς Αἰολεῦσι δίγαμμα οὐκ ἔστι γράμμα — ἔχει δὲ τύπον τόνδε F — · ὃ προστιθέασιν οἱ Αἰολεῖς ἑκάστῃ λέξει [τῇ] παρ᾽ ἡμῖν δασυνομένῃ, αὐτοὶ ψιλοῦντες πᾶσαν λέξιν. σύμβολον οὖν παρ᾽ αὐτοῖς ἐστίν, ἐκφωνήσεις ἔχον τῆς οι καὶ ου διφθόγγου. ὅθεν δείκνυται μὴ ὂν γράμμα μηδὲ συγκαταριθμούμενον τοῖς γράμμασιν· οὐ γὰρ ἐν πάσαις τοῖς Ἑλληνικαῖς διαλέκτοις εὑρίσκεται, ὡς τὰ ἄλλα γράμματα, οὔτε ἀφ᾽ ἑαυτοῦ ἄρχεται ἐν τῷ ἐκφωνεῖσθαι, ὡς τὰ ἄλλα. *)

---

*) Ἐπειδὴ δέ τινες τὸ παρὰ Βοιωτοῖς καὶ Αἰολεῦσι λεγόμενον δίγαμμα, ὃ τυποῦται οὕτως F, βούλονται τοῖς στοιχείοις κατατάσσειν, ἔλθωμεν καὶ εἴπωμεν τοὺς λόγους, δι᾽ οὓς βούλονται αὐτὸ κατατάσσειν τοῖς στοιχείοις, καὶ τότε δείξομεν ὅτι οὐκ ἔστι στοιχεῖον. Φασὶ μὲν ὅτι παντὶ στοιχείῳ ἕπεται τὸ ἔχειν χαρακτῆρα καὶ ὄνομα, δι᾽ οὗ ὀνομάζεται, ὡς φαμεν τοῦτο καλεῖται ἀ ἢ ἡ ἢ ὦ. εἰ οὖν ἄρα καὶ τὸ δίγαμμα χαρακτῆρα ἔχει καὶ ὄνομα, δῆλον ὅτι στοιχεῖόν ἐστιν. Εἰπόντες οὖν πῶς λέγεται αὐτὸ

Ἰδοὺ τοσαῦται διαφοραὶ ἐκφωνήσεων. ὥςτε τοῦτο ἐπιστάμενος ὁ Διονύσιος, ἐπιγράψας „περὶ στοιχείου," οὐκ ἐπήγαγεν ὅτι στοιχεῖόν ἐστιν, ἀλλὰ γράμματα.

στοιχεῖον, ἔλθωμεν καὶ δείξωμεν ὅτι οὐκ ἔστιν αὐτὸ στοιχεῖον. Ἰστέον οὖν ὅτι πᾶν στοιχεῖον ἀφ' ἑαυτοῦ ἄρχεται, τὸ ᾱ ἀπὸ τοῦ ᾱ, τὸ β̄ ἀπὸ τοῦ β̄, καὶ τὰ ἑξῆς ὁμοίως. τὸ δὲ δίγαμμα οὐχ οὕτως ἔχει. οὐκ ἄρα οὖν ἐστὶ στοιχεῖον. Ἄλλως δὲ πάντα τὰ στοιχεῖα κατὰ πᾶσαν ἔστιν εὑρίσκεσθαι διάλεκτον, τὸ δὲ δίγαμμα οὔ, ἀλλὰ παρὰ μόνοις τοῖς Βοιωτοῖς καὶ τοῖς Λάκωσι καὶ τοῖς Αἰολεῦσιν. οὐκ ἄρα στοιχεῖον. Τὰ δὲ στοιχεῖα ἢ φωνήεντά ἐστιν ἢ σύμφωνα. [καὶ τὰ μὲν σύμφωνα] εὑρίσκονται μετὰ ἑτέρου συμφώνου ἢ ἐν συλλήψει ἢ ἐν διαστάσει, οἷον θνήσκω, ἕλκω. εἰ ἄρα οὖν τὸ F οὐ σύνεστι παντελῶς σύμφωνοις, ἀλλὰ φωνήεσιν ἀεί, οἷον Fοῦλεα, δῆλον ὅτι οὐκ ἔστι σύμφωνον. ἀλλ' οὐδὲ φωνῆεν δύναται εἶναι, καὶ γὰρ τοῖς φωνήεσι παρέπεται τὸ δασύνεσθαι καὶ ψιλοῦσθαι, τὸ δὲ F οὐδέποτε δασύνεται, ἀλλὰ μόνον ψιλοῦται. οὐκ ἄρα ἐστὶ φωνῆεν. Ἄλλως δὲ καὶ τὰ προτακτικὰ φωνήεντα οὐχ ὑποτάσσονται φωνήεσιν, οἷον τὸ ᾱ καὶ ᾱ καὶ τὰ ἄλλα, προτακτικὰ ὄντα, οὐχ εὑρίσκονται ἑτέροις ὑποτατόμενα φωνήεσιν. εἰ ἄρα οὖν τὸ F εἴπωμεν φωνῆεν, εὑρεθήσεται ἐν τῷ Fάναξ καὶ Fελένη τὸ ᾱ καὶ ᾱ, τὰ προτακτικά, ὑποτατόμενα φωνήεσιν, ὅ πέρ ἐστιν ἄτοπον . . . . τρία οὖν φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅ πέρ ἐστιν ἀδύνατον. εἰ ἄρα οὖν, ὡς δέδεικται, οὔτε σύμφωνον δύναται εἶναι οὔτε φωνῆεν, δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον τὸ F. Ἔτι πᾶς χαρακτὴρ στοιχείων σημαίνει ἀριθμόν. καὶ γὰρ τὸ ᾱ σημαίνει ἕνα ἀριθμόν, καὶ τὸ β̄ δύο, καὶ ἑξῆς. εἰ ἄρα οὖν ὁ χαρακτὴρ τοῦ F οὐ σημαίνει ἀριθμόν, δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον.

Ἐπειδὴ δέ τινες τὴν δασεῖαν, ἤ τις τυποῦται οὕτως ῾, οὐκ ὤκνησαν στοιχεῖον λέγειν, φέρε πρῶτον τοὺς λόγους εἴπωμεν, οἷς τινὲς ἐπερειδόμενοι λέγουσι τὴν δασεῖαν στοιχεῖον εἶναι, καὶ τότε δείξομεν ὅτι οὐκ ἔστι στοιχεῖον. Πᾶν στοιχεῖον ἔχει τινὰ ἐκφώνησιν. τοιαύτη δέ ἐστι καὶ ἡ δασεῖα, προςγινομένη καὶ φθόγγον ἴδιον ἀποτελοῦσα. στοιχεῖον ἄρα ἡ δασεῖα. Ἔστι δὲ εἰπεῖν ὅτι οὐκ ἔστι στοιχεῖον ἡ δασεῖα. καὶ γὰρ πάντα τὰ στοιχεῖα ἢ φωνήεντα ἢ σύμφωνα. εἰ ἄρα δείξομεν τὴν δασεῖαν, ὅτι οὔτε φωνήεντος δύναμιν ἔχει οὔτε συμφώνου, δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον. Καὶ γὰρ

Εἴκοσι τέσσαρα λέγουσιν αὐτὰ εἶναι κατὰ μίμησιν τῶν εἴκοσι τεσσάρων ὡρῶν τῆς νυχθημέρου.

Ζητεῖται, τίνος ἕνεκεν εἶπεν εἴκοσι τέσσαρα, εἴγε γράμματά ἐστιν, ὡς καὶ αὐτὸς λέγει, παρὰ τὸ γράφεσθαι καὶ καταξέεσθαι. οὐκοῦν γράμματα καὶ τὰ ση-

---

φωνήεντος μὲν δύναμιν οὐκ ἔχει, ἐπειδὴ τὰ φωνήεντα καὶ δασύνονται καὶ ψιλοῦνται, ὅπερ οὐ παρακολουθεῖ τῇ δασείᾳ. οὐκ ἄρα οἷν φωνῆεν ἐστιν. ἄλλως τε καὶ εἰ ἦν φωνῆεν ἡ δασεῖα, ἔδει τὸ δασυνόμενον ε̄ καὶ τὸ ο̄ τὸ δασυνόμενον μείζονι χρόνῳ κεχρῆσθαι τοῦ ψιλουμένου, εἴγε τὰ ἐκ δύο φωνηέντων καταγινόμενα μείζονα τῶν βραχέων εἰσίν. οὐδέποτε τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ παραλαμβάνονται· εἰ ἄρα οὖν εἴπωμεν τὴν δασεῖαν φωνῆεν, εὑρεθήσονται τῷ εἶμα καὶ αἷμα τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἀδύνατον. ἔτι τὰ φωνήεντα αὐτὰ καθ' ἑαυτὰ δύνανται παραλαμβάνεσθαι, ἡ δὲ δασεῖα οὔ· οὐκ ἄρα φωνῆέν ἐστιν. Ἀλλ' οὐδὲ σύμφωνον δύναται εἶναι. καὶ γὰρ τοῖς δασέσι συμφώνοις οἱ Αἰολεῖς κέχρηνται συνεχῶς, οἷον

ἀμφ' ἀγαθὸν θεράποντα,

οὐχ εὕρον· τῇ δὲ δασείᾳ οὐ κέχρηνται· ψιλωταὶ γάρ εἰσιν. οὐκ ἄρα ἐστὶ σύμφωνον ἡ δασεῖα. ἄλλως τε καὶ τὰ ἀπὸ συμφώνων ἀρχόμενα ῥήματα τὸ ε̄ προσλαμβάνουσι κατὰ τὸν παρατατικόν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον· εἰ ἄρα οὖν ἡ δασεῖα σύμφωνον, ὤφειλον τὰ δασυνόμενα, φημὶ δὴ τὸ εὑρίσκω καὶ τὸ εὕδω, τὸ ε̄ προσλαμβάνειν κατὰ τὸν παρατατικόν, ὅπερ οὐκ ἔστιν. ἔτι τὰ σύμφωνα ἐν τῇ ἀρχούσῃ καὶ τῷ μέσῳ καὶ ἐν τῷ τέλει εὑρίσκονται, οἷον Πλάτων, ἡ δὲ δασεῖα οὐχ οὕτως ἔχει· φίλαρχος γάρ ἐστιν. οὐκ ἄρα οὖν σύμφωνον. Δῆλον οὖν ὡς οὔτε σύμφωνον οὔτε φωνῆεν ὑπάρχουσα ἡ δασεῖα οὐκ ἔστι στοιχεῖον.

Δέον δὲ ἐστ ζητῆσαι, εἰ ἄρα τὸ ο̄, τὸ προτιθέμενον παρὰ Βοιωτοῖς τοῦ ῡ, δύναμιν ἔχει στοιχείου. Καὶ ἔστιν εἰπεῖν ὅτι οὐκ ἔχει δύναμιν στοιχείου, ἀλλὰ φθόγγος μόνον ἐστίν. ὅτι γὰρ οὐκ ἔχει δύναμιν στοιχείου, δῆλον, εἴγε προσερχομένου τοῦ ῡ τὸν αὐτὸν χρόνον φυλάττει. καὶ γὰρ ὥσπερ τὸ κύνες συνεσταλμένον ἔχει τὸ ῡ, οὕτω καὶ τὸ κούνες συνεσταλμένην ἔχει τὴν κου συλλαβήν.

μεῖα καὶ οἱ ἀριθμοὶ καὶ πάνθ' ὅσα διὰ τοῦ ξέεσθαι, ὥςτε εἶναι ἄπειρα τὰ γράμματα. Λέγομεν οὖν ὅτι ἐκεῖνα ἀριθμεῖται καὶ λέγει εἶναι εἴκοσι τέσσαρα τὰ παρ' Ἕλλησι μόνα γνωριζόμενα, ἐπεὶ ἔστι πλείω, ὡς τὰ Ἀρμενίων καὶ τὰ Αἰγυπτίων.

Δεῖ δὲ προειδέναι καὶ τοῦτο, ὅτι πάλαι οὐκ ἦν τὰ εἴκοσι τέσσαρα γράμματα, ἀλλὰ ἑκκαίδεκα· οὐκ ἦν δὲ τὰ τρία τὰ λεγόμενα διπλᾶ, ζ̄, ξ̄, ψ̄, τὰ τρία δασέα, θ̄, φ̄, χ̄, τὰ δύο μακρά, η̄ καὶ ω̄. ὅταν οὖν ἤθελον γράψαι ἔχουσαν ἐκφώνησιν τοῦ η̄ λέξιν, ἔγραφον τὸ ε̄, καὶ ἐπάνω τοῦ ε̄ τὸ σημεῖον τῆς μακρᾶς· ὅταν δὲ τὴν ἐκφώνησιν τοῦ ω̄, ἔγραφον τὸ ο̄, καὶ ἐπάνω τοῦ ο̄, ὡς προείρηται ἐπὶ τοῦ ε̄, τὸ σημεῖον τῆς μακρᾶς. ὅταν δὲ ἤθελον συγγράψαι λέξιν ἔχουσαν τὴν τοῦ ζ̄ ἐκφώνησιν, ἔγραφον τὸ σ̄ καὶ τὸ δ̄ ἀντὶ τοῦ ζ̄, ὥςπερ καὶ νῦν εὑρίσκομεν παρὰ τοῖς Δωριεῦσιν· ἀντὶ δὲ τοῦ ξ̄ κ̄ καὶ σ̄, ἀντὶ δὲ τοῦ ψ̄ π̄ καὶ σ̄. πάλιν ἂν ἤθελον γράψαι λέξιν ἔχουσαν τὴν ἐκφώνησιν τοῦ θ̄, ἔγραφον ἀντὶ τοῦ θ̄ τὸ τ̄, καὶ πρὸς τοῦτο ἐτίθεσαν τὸ παρ' αὐτοῖς σημεῖον τῆς δασείας, ἐνδεικνύμενοι ὅτι τοῦτο οὐκ ἔστι τ̄ ἀλλὰ θ̄ τῇ ἐκφωνήσει. ἀντὶ δὲ τῆς ἐκφωνήσεως τοῦ φ̄ ἔγραφον τὸ π̄, προςτιθέντες, ὡς προείρηται, τὸ παρ' αὐτοῖς σημεῖον τῆς δασείας. ἀντὶ δὲ τῆς τοῦ χ̄ ἐκφωνήσεως τὸ κ̄ ἔγραφον, τὸ σημεῖον τῆς δασείας προςτιθέντες. [ἦν δὲ] τὸ παλαιὸν σύμβολον τῆς δασείας τὸ παρ' ἡμῖν νῦν Η. διότι [ὅτε] ἐφευρέθη τὰ ὀκτὼ γράμματα, ὧν τὸ ἓν ἐστι καὶ τὸ Η, ἡ τότε δασεῖα ἐτμήθη εἰς δύο κατὰ κάθετον· καὶ τὸ μὲν πρῶτον αὐτῆς μέρος τῆς δασείας ἐστὶ τὸ σημεῖον, τὸ δὲ δεύτερον τῆς ψιλῆς. ἐφεῦρε δὲ τὰ ὀκτὼ ταῦτα γράμματα εἷς τῶν λυρικῶν, Σιμωνίδης.

Ἰστέον δὲ ὅτι βαρβάρων μέν εἰσιν εὑρέματα τὰ ἑκκαι-

δεκα

δεκα γράμματα ταῦτα, ᾱ, β̄, γ̄, δ̄, ε̄, ῑ, κ̄, λ̄, μ̄, ν̄, ο̄, π̄, ρ̄, σ̄, τ̄, ῡ· Σιμωνίδου δὲ τοῦ Κείου εὕρεμα τὰ δύο μακρά, τὸ η̄ καὶ τὸ ω̄, καὶ τὰ δύο διπλᾶ, τὸ ξ̄ καὶ τὸ ψ̄.

Ἱστέον δὲ ὅτι τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσιν, ὡς μέν φασί τινες, ὅτι βαρβάρων ἐστὶν εὑρήματα. πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν πολλὰ τῶν βαρβάρων κλίνονται, ὡς τὸ Ξέρξης καὶ Δαρεῖος· εἶτα ὅτι ἄτοπόν ἐστι τὸ θεμέλιον τῆς Ἑλληνικῆς διαλέκτου βαρβάρων εὑρήματα λέγειν· τρίτον δὲ εἰ, διότι βαρβάρων ἐστὶν εὑρήματα, διὰ τοῦτο ἄκλιτά εἰσιν, ὤφειλον ἐκεῖνα στοιχεῖα ἄκλιτα εἶναι μόνα, ἅπερ λέγει βαρβάρους εὑρεῖν — φημὶ δὴ ᾱ, β̄, [γ̄,] δ̄, [ε̄,] ῑ, κ̄, λ̄, μ̄, ν̄, ο̄, π̄, ρ̄, σ̄, τ̄, ῡ —, τὰ δὲ ἄλλα ὀκτὼ τὰ ὑπὸ τῶν Ἑλλήνων εὑρεθέντα ὤφειλον κλίνεσθαι, φημὶ δὴ τὰ δύο μακρά, τὸ η̄ καὶ τὸ ω̄, καὶ τρία διπλᾶ, ζ̄, ξ̄, ψ̄, καὶ τρία δασέα, θ̄, φ̄, χ̄. κακῶς οὖν λέγει. ἀλλὰ κρεῖττόν ἐστιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά ἐστιν, ἢ ἐπειδὴ ἀρχαί εἰσιν, αἱ δὲ ἀρχαὶ θέλουσιν ἁπλαῖ τε εἶναι καὶ ἀποίκιλοι ὥςπερ ἡνίκα διαλέκτου οἱ δὲ θεμέλιοι ἀμεταθέτως θέλουσιν ἔχειν· ἢ διὰ τὰ ἀρτιμαθῆ τῶν παίδων οὐ κλίνονται, ἵνα μὴ πολλὰ γινόμενα δυςκατάληπτα αὐτοῖς γίνωνται. παρὰ Δημοκρίτῳ δὲ κλίνονται· λέγεται γὰρ τὸ δέλτατος καὶ θήτατος. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ τῆς τῶν γραμμάτων εὑρέσεως διαφόρως οἱ ἱστορικοὶ ἱστόρησαν· οἱ μὲν γὰρ Προμηθέα λέγουσι τούτων εὑρετήν, ἄλλοι δὲ Φοίνικα τὸν τοῦ Ἀχιλλέως παιδαγωγόν, ἄλλοι δὲ τὸν Μιλήσιον Κάδμον, ἄλλοι δὲ τὴν Ἀθηνᾶν, ἄλλοι δὲ ἐξ οὐρανοῦ ἐρρίφθαι τοῖς ἀνθρώποις πρὸς ὠφέλειαν. Εὕρηνται δὲ οὐχ ὑφ' ἑνὸς ἅπαντα· ὕστερον

δόν, οἱ δὲ βουστροφηδόν, οἱ δὲ κιονηδόν, περὶ ὧν ἐν τοῖς ἑξῆς ἔχομεν μαθεῖν. ἔγραφον δὲ αὐτὰ καὶ διασχιδὸν ἤγουν στιχηδόν, ᾗ γραφῇ καὶ ἡμεῖς νῦν χρώμεθα. διασχιδὸν δὲ λέγεται τὰ στιχηδὸν γεγραμμένα παρὰ τὸ ἔχειν διεσχισμένους καὶ διακεχωρισμένους τοὺς στίχους ἀπ' ἀλλήλων. Διὰ τοῦτο δὲ καὶ οὐκ ἄλλοις χαρακτῆρσι χρώμεθα τῶν στοιχείων, ἀλλὰ τοῖς Ἰωνικοῖς, ὡς μὲν Ἀσκληπιάδης ὁ Σμυρναῖος λέγει, διὰ τὸ κάλλος καὶ ὅτι πλεῖστα τῶν συγγραμμάτων τούτοις ἐγέγραπτο τοῖς χαρακτῆρσιν· ὡς δὲ Διόδωρος καὶ Ἀπίων ἐν τῷ περὶ τῶν στοιχείων, ὅτι πλεῖστοι συγγραφεῖς καὶ οἱ ποιηταὶ ἀπὸ τῆς Ἰωνίας τούτοις τοῖς τύποις ἐχρήσαντο. Ἀπολλώνιος δὲ ὁ Μεσσήνιος ἐν τῷ περὶ ἀρχαίων γραμμάτων φησί τινας λέγειν, ὅτι Πυθαγόρας αὐτῶν τοῦ κάλλους ἐπεμελήθη, ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς ῥυθμίσας αὐτὰ γωνίαις καὶ περιφερείαις καὶ εὐθείαις.

Ὅσοι τὴν τῶν γραμμάτων εὕρεσιν Σισύφῳ ἢ Παλαμήδει ἢ Φοίνικι ἢ Προμηθεῖ ἐφάπτουσιν, ἢ ἐν Φοίνικι τόπῳ Ἐφέσου πεπτωκέναι φασίν, ἢ παρ' Αἰγυπτίοις εὑρηκέναι Θεόθεν ὡς ἑρμηνεύουσι· καὶ γὰρ ἡ φύσις ἡνίκα ἐδημιούργησε τὸν ἄνθρωπον, ἐχαρίσατο αὐτῷ τοιαύτην ἐπιτηδειότητα, ὥστε τεχνήσασθαι ταῦτα τὰ στοιχεῖα. Δείκνυνται δὲ ταῦτα καὶ πρὸ τῶν Ἰλιακῶν ὄντα, ὡς δῆλον ἐκ τῶν Βελλεροφόντου. φησὶ γὰρ ὁ ποιητής·

γράψας ἐν πίνακι πτυκτῇ θυμοφθόρα πολλά.

ὁ δὲ Βελλεροφόντης πρὸ τοῦ Τρωϊκοῦ πολέμου· ἦν γὰρ πάππος τοῦ Γλαύκου τοῦ ἐν τῷ Τρωϊκῷ πολέμῳ ὄντος. ἀλλὰ καὶ ἐν Πυθοῖ ἦν λέβης ἐπιγεγραμμένος

Ἀμφιτρύων μ' ἀνέθηκε λαβὼν ἀπὸ Τηλεβοάων.

καὶ ἐν Πάφῳ τῇ νήσῳ·

Ὠκεανῶ θυγατὴρ καὶ Τηθύος εἰμὶ Νύχεια
κρήνη· Τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.

νύμφαις μὲν προχέω λουτρόν, θνητοῖς δ' ὑγιείην,
θῆκε δέ με Πτερίλας, υἱὸς Ἐνυαλίου.

μετὰ δὲ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν οὐδεὶς τῶν παραλειφθέντων Ἑλλήνων ἐφύλαξε τὴν μνήμην πλὴν τῶν Πελασγῶν τῶν ἀφ' Ἑλλάδος εἰς βαρβάρους πλανηθέντων, οὓς καὶ ὁ ποιητὴς καλεῖ, φάσκων ἔθνος Παφλαγονίας·

καὶ Λέλεγες καὶ Κάυκωνες δῖοί τε Πελασγοί·

παρ' ὧν μαθόντες πρῶτοι Φοίνικες εἰς Ἕλληνας ἤγαγον, ἡτονίς τε βαρβάρων ὄντες καὶ συνεχεῖς ἐμπορίας ποιοῦντες. ὅθεν καὶ φοινίκεια κτητικῶς ὀνομάζονται. *)

---

*) Φασὶ δέ τινες ὅτι ἕως τῶν Τρωϊκῶν οὐκ ἐγινώσκοντο γράμματα. καὶ δῆλον ἐκ τοῦ μὴ σωθῆναι ποίημά τι τῶν κατὰ τοὺς Ὁμηρικοὺς χρόνους, εἰ καὶ ἱστοροῦσί τινες ποιητὰς προγεγενῆσθαι Ὁμήρου, Μουσαῖόν τε καὶ Ὀρφέα καὶ Λίνον, ἀλλ' ὅμως οὐδὲν εἰς τὰ μέτρα ταῦτα διασωθῆναι συμβέβηκε πρὸ τῆς Ὁμήρου ποιήσεως· ἀλλ' οὐδὲ πρεσβύτερον ἄλλο τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας σώζεσθαι ποίημα. Ἀλλ' ἐρεῖ τις· πῶς; ἐπεὶ γράμματα σώζονται νομιζόμενα πρεσβύτερα Ἰλιάδος καὶ Ὀδυσσείας. Καί φαμεν ὅτι τὰ μὲν τούτων ἐψευσμένους ἔχουσι τοὺς χρόνους, τὰ δὲ νεωτέρων τινῶν ἐχόντων ὁμωνυμίας τῶν παλαιῶν τὰς ἐπιγραφὰς ἔχουσι. καὶ οἱ ἥρωες δὲ ἀγράμματοί τινες ἦσαν, καὶ σημείοις καὶ συμβόλοις πρὸς ἀλλήλους ἐν τῇ κατὰ τὸν βίον ἀκαστροφῇ χρώμενοι ἐδήλουν ἀλλήλοις ἃ ἤθελον· ἐν πίναξι δὲ καὶ ἐν σανίσιν ἔγραφον διὰ ζωγραφήσεν τινα καὶ διατύπωσιν τῶν πραγμάτων ὧν ἐβούλοντο. Ἀλλ' ἐρεῖ τις ὅτι ἄτοπόν ἐστι λέγειν ἀπαιδεύτους καὶ ἀγραμμάτους τοὺς ἀρίστους τοῦ ἀνθρωπείου γένους. Καί φαμεν ὡς οὐκ ἔστιν ἀπαιδευσίας τεκμήριον τὸ εἶναί τινα ἀγράμματον· καὶ γὰρ ὁ φιλόσοφος Πλάτων ἐν Φαίδρῳ διαβάλλει τὴν εὕρεσιν τῶν γραμμάτων ὡς ἐπὶ λίμῃ παιδείας γεγονυῖαν. ζώσῃ γὰρ φωνῇ τὴν φιλοσοφίαν πάλαι ἐπαιδεύοντο.

Τῶν στοιχείων ὁ Κάδμος εὑρετής ἐστιν, ὡς φησιν Ἔφορος καὶ Ἀριστοτέλης· ἄλλοι δὲ λέγουσιν ὅτι Φοινίκων εἰσὶν εὑρήματα, Κάδμος δὲ ταῦτα διεπόρθμευσεν εἰς τὴν Ἑλλάδα. Πυθόδωρος δέ φησι· καὶ πρὸ Κάδμου ὁ Δαναὸς ἐκεῖθεν (ἤτοι ἀπὸ Φοινίκης) αὐτὰ μετεκόμισεν. ἔνιοι δὲ Μουσαῖον εὑρετὴν λέγουσι τῶν στοιχείων, τὸν Μητίοχος καὶ Στερόπης, γενόμενον κατὰ τοὺς καιροὺς τοῦ Ὀρφέως. Ἀντικλείδης δὲ τοῖς Αἰγυπτίοις τὴν εὕρεσιν ἀνατίθησιν, Αἰσχύλος δὲ Προμηθέα φησὶν εὑρηκέναι αὐτά, Δωτιάδης δὲ ἐν Κρήτῃ λέγει εὑρεθῆναι αὐτά. Στησίχορος δὲ Παλαμήδην εὑρετὴν αὐτῶν ποιεῖται, ᾧ συμφωνεῖ καὶ Εὐριπίδης. Μνασέας δὲ κατὰ πάντα τόπον εὑρετὰς γεγενῆσθαι τῶν στοιχείων, οἷς δὲ ἡμεῖς χρώμεθα νῦν, εἰσὶν Ἰωνικά, διὰ τὸ ἀρχαιοτέραν εἶναι τὴν Ἰάδα τῶν ἄλλων διαλέκτων, καὶ αὐτὴν πρώτην τῶν ἄλλων τοὺς Ἑλληνικοὺς εὑρεῖν τύπους. Διέταξε δὲ τὰ στοιχεῖα γράφεσθαι, ὡς γράφομεν νῦν, Προναπίδης ὁ Ἀθηναῖος. τὸ γὰρ ἀρχαῖον οἱ μὲν σπυριδὸν ἔγραφον, ἤτοι δίκην σπυρίδος ἀπὸ πλάτους ἀρχομένης καὶ εἰς στενὸν πάνυ ληγούσης, τὸ δὲ σπυριδὸν σχῆμα ἑξάστιχόν ἐστι, γράφεται δὲ οὕτως:

κύριος εἶπε πρός με·
υἱός μου εἶ σύ·
ἐγὼ σήμερον
γ ε γ έ -
γ ν η -
κά σε.

οἱ δὲ πλινθηδόν, ἤτοι τετραγώνως· μέσον γὰρ σχήματος τετραγώνου ταῦτα διέγραφον. τὸ δὲ τετράγωνον τὸ κατὰ πλίνθον οὐκ ἰσόπλευρον. τὰς μὲν γὰρ δύο πλευρὰς τὰς ἐπαλλήλας ἴσας ἔχει, καὶ πάλιν τὰς παραλλήλας ἴσας, πλὴν οὐκ ἰσομήκεις ταῖς ἐπαλλήλοις· αἱ μὲν γὰρ

ἐπάλληλοι μικραί, αἱ δὲ παράλληλοι μακραί. γράφεται δὲ οὕτω τὸ πλινθηδόν·

κύριος εἶπε πρός
με· υἱός μου εἶ σύ· 5
ἐγὼ σήμερον
γεγέννηκά
σε· αἴτησαι
παρ᾽ ἐμοῦ καὶ
δώσω σοι ἔθνη, 10

οἱ δὲ βουστροφηδόν, ἤγουν ἐναλλήλως καὶ κατὰ τὰς αὔλακας, αἵ τινες ἐνέχονται ἀλλήλαις, καὶ οὐδέν ἐστι μέσον αὐτῶν τὸ διάσχημα, μόνου τοῦ φαινομένου γραφήματος τοῦ διαγνωρίζοντος ἑκατέραν αὔλακα. γράφεται 15 δὲ οὕτω τὸ βουστροφηδόν·

κύριος εἶπε πρός
με· υἱός μου εἶ σύ· ἐγὼ
σήμερον γεγέννηκά σε. 20
αἴτησαι παρ᾽ ἐμοῦ

οἱ δὲ κιονηδόν, δίκην κίονος ἤτοι παραλλήλως κατὰ γραμμήν· καὶ γὰρ διαμεμερισμένως ἔγραφον. γράφεται 25 δὲ οὕτω τὸ κιονηδόν·

ἐ γ η α κ
γ έ σ ι λ
ὠ ν α δ η
σ ν ι ώ ρ
ή η π σ ο
μ κ α ω ν
ε ά ρ σ ρ
ρ σ ε ρ μ
ο ε μ ι ι
ν α ο τ α
γ ῖ ῦ ὴ ν
ε τ κ ν

οἱ δὲ διασχιδὸν ἤγουν στιχηδόν, ὡς γράφομεν ἡμεῖς νῦν, λέγεται δὲ διασχιδὸν παρὰ τὸ διεσχισμένους καὶ διακεχωρισμένους τοὺς στίχους ἀπ' ἀλλήλων εἶναι.

„Ἀπὸ τοῦ ᾱ μέχρι τοῦ ῶ." Διὰ τί δὲ ᾱ καὶ ῶ γράφει μόνα, μηδὲν τῶν ἄλλων ὀνομάσας; Εἰδὼς ὅτι προεπαιδεύθη παρὰ τῷ γραμματιστῇ τὴν τούτων ἐξαρίθμησιν ἀφῆκεν.

Ἀρχὴ δέ ἐστι στοιχείων τὸ ᾱ, διότι ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς αὐτὸ λήγει, τὰ δὲ λοιπὰ στοιχεῖα ἀφ' ἑαυτῶν μὲν ἄρχονται, εἰς ἑαυτὰ δὲ οὐ καταλήγει. Καὶ τέλος δὲ στοιχείων τὸ ῶ, διότι καὶ αὐτό, μονοσύλλαβον ὄν, τρόπον τινὰ ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸ καταλήγει.

„Γράμματα δὲ λέγεται." Τὴν δὲ ἐτυμολογίαν, τίνος χάριν εἴρηται γράμματα, αὐτὸς εἴρηκε Διονύσιος, ἐπειδὴ ἐντυπούμενα ξυσμόν τινα ἀποτελεῖ, μάλιστα ἐν τοῖς πτυχίοις, ὑποκειμένου κηροῦ· δῆλον γὰρ ὅτι ἐν αὐτῷ ἐπενοήθη τὰ γράμματα ἐντυποῦσθαι, ἵνα, ὡς τὸ μέλι πρώτιστον βρῶμά ἐστι τοῖς βρέφεσιν, οὕτω καὶ τὸ

παραλειπόμενον ἐκ τοῦ μέλιτος τῆς λογικῆς ἐντεύξεώς τε καὶ μαθήσεως ὑποδεκτικὸν εἴη τοῖς παισίν. ἐπειδὴ οὖν ξυσμόν τινα ἀποτελεῖ ἐντυπούμενα, τὸ δὲ ἐπιξέσαι γράψαι ἔλεγετο, τούτου χάριν γράμματα ἐλέγετο. *)

Γράμματα λέγεται παρὰ τὸ γλάπτεσθαι, ὅ ἐστι κοιλαίνεσθαι· γέγονε γὰρ γράμματα κατὰ μετάθεσιν τοῦ $\overline{\lambda}$ εἰς $\overline{\rho}$. ἢ παρ' ὅσον ἐκ τῶν παρὰ τοῖς γεωμέτραις λεγομένων γραμμῶν ἐσχημάτισται· καὶ γὰρ ὁ Πυθαγόρας, ὥς φασι, τοῦ κάλλους αὐτῶν ἐπεμελήθη.

Ζητοῦσί τινες, διὰ τί τὸ γράμμα διὰ δύο $\overline{\mu\mu}$ γράφεται καὶ οὐ δι' ἑνός, ὥςπερ τὸ θέμα καὶ βῆμα καὶ ποίημα. Καὶ ἔστιν εἰπεῖν ὅτι ἐκ τοῦ πρώτου προςώπου τοῦ παθητικοῦ παρακειμένου σχηματίζονται, οἷον ἀπὸ τοῦ πεποίημαι ποίημα, νενόημαι νόημα, τέτέλεσμαι τέλεσμα, γέγλυμμαι γλύμμα, ἔστεμμαι στέμμα. εἰ οὐκ τὸ γέγραμμαι διὰ δύο $\overline{\mu\mu}$ γράφεται, εὐλόγως καὶ τὸ γράμμα διὰ δύο $\overline{\mu\mu}$ γράφεται.

„Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται." Ἰδοὺ νῦν ἐμφαίνει, τίνος ἕνεκεν, εἰπὼν „περὶ στοιχείου," ἐπήγαγε γράμματά ἐστιν, ὡς τοῦ αὐτοῦ ὄντος γράμματος καὶ στοιχείου. Καὶ ἐτυμολογεῖ αὐτὰ ἀπὸ τοῦ στείχω, ὅ ἐστι μετὰ τάξεως πορεύομαι· οὐ γὰρ ἀτάκτως καὶ ὡς ἔτυχεν ἐπιπέπλεκται ἀλλήλοις τὰ στοιχεῖα. τὰ γὰρ φθάσαντά τινων προταγῆναι ἐν ἐπιπλοκῇ — [ἐπιπλοκὴ] δέ ἐστιν [ἡ] ἐν μιᾷ συλλαβῇ ἐκφώνησις — οὐκέτι καὶ ὑποτάσσεται, ὡς ἐν τῷ κλέος τὸ $\overline{\kappa}$ τοῦ $\overline{\lambda}$ προετάγη ἐν μιᾷ

*) Ἔνθεν καὶ γράβδυς ἡ διεσχισμένη λαμπάς, καὶ γραῦς ἡ κατεξυσμένη τὸ σῶμα διὰ γῆρας, καὶ ζωγράφος ὁ τῇ γραφίδι καταξύων.

συλλαβῇ, καὶ οὐδέποτε εὑρήσεις τὸ λ̄ τοῦ κ̄ προτασσόμενον ἐν μιᾷ συλλαβῇ. καὶ τὸ π̄ τοῦ ρ̄, ὡς ἐν τῷ πρῶτος· τὸ δὲ ρ̄ τοῦ π̄ οὐδέποτε. τό τε σ̄ τοῦ θ̄, ὡς ἐν τῷ σθένος· τὸ δὲ θ̄ τοῦ σ̄ οὐδέποτε. καὶ τὰ ὅμοια. Ἡμεῖς δὲ καὶ ἄλλην ἐτυμολογίαν προτίθεμεν· φαμὲν γὰρ αὐτὰ εἰρῆσθαι ἀπὸ τοῦ τεῖχος, προσθέσει καὶ τροπῇ τοῦ ε̄ εἰς τὸ ο̄, στοῖχος, καὶ ἐν παραγωγῇ στοιχεῖον. Καὶ εἴποι ἄν τις ὅτι Ποίαν ἔχει ὁμοιότητα ἢ μετουσίαν τεῖχος πρὸς τὸ στοιχεῖον; Καί φαμεν ὅτι πάνυ, ὥσπερ γὰρ τεῖχος φυλακή ἐστι καὶ ἀσφάλεια τῶν ἐν τῇ πόλει, οὕτω καὶ τὰ στοιχεῖα φυλακή εἰσι τῶν παλαιῶν πραγμάτων· δι' αὐτῶν γὰρ ἡμῖν τοῖς μεταγενεστέροις ἐφυλάχθη καὶ ἐν γνώσει ἐγένετο. Εἴποι δ' ἄν τις αὖ τὰ στοιχεῖα εἰρῆσθαι καὶ κατὰ μίμησιν τῶν τεσσάρων στοιχείων, πυρός, ὕδατος, ἀέρος, γῆς· ὥσπερ γὰρ ἐκ τούτων τῶν τεσσάρων στοιχείων σύγκειται πάντα καὶ ἐν ὑποστάσει εἰσὶ τὰ ἐν τῷ κόσμῳ, οὕτω καὶ ἐκ τῶν εἴκοσι τεσσάρων στοιχείων σύγκειται καὶ ἐν ὑποστάσει ἐστὶ πᾶς λόγος καὶ πᾶν σύγγραμμα καὶ πᾶν βιβλίον.

Λέγεται δὲ τὸ στοιχεῖον ἢ παρὰ τὸ στείχω τὸ πορεύομαι, ἢ ἀπὸ τοῦ στοίχου τοῦ σημαίνοντος τὴν τάξιν, ἢ ἀπὸ Στοίχου τινός, Ἀθηναίου γηγενοῦς, εὑρόντος αὐτά, ὡς Πίνδαρός φησι. σχηματίζεται δὲ παρὰ τὸ στοῖχος στοιχεῖον.

Στεφάνου. Στοιχεῖον εἴρηται, ὡς μὲν Πίνδαρος ὁ γραμματικός, ἀπὸ Στοίχου τινός, ἑνὸς τῶν αὐτοχθόνων Ἀθηναίων· ὡς δὲ ἔνιοι, ἀπὸ τοῦ δι' αὐτῶν τοὺς ἀριθμοὺς τυποῦσθαι· στοῖχος γὰρ παρὰ τοῖς παλαιοῖς ὁ ἀριθμός. τοιγαροῦν Σικυώνιοι κατὰ φυλὰς ἑαυτοὺς τάξαντες καὶ ἀριθμήσαντες, Διὸς Στοιχέως ἱερὸν ἱδρύσαντο. ἄλλοι παρὰ τὸ στιχηδὸν γράφεσθαι στιχεῖον,

καὶ πλεονασμῷ τοῦ ō στοιχεῖον. οἱ δὲ παρὰ τὸ τοῖχος τοιχεῖον, καὶ πλεονασμῷ τοῦ σ στοιχεῖον· ἐν γὰρ τοίχοις ἐγράφοντο πρότερον, ὡς που καὶ ὁ Καλλίμαχος λέγων μαρτυρεῖ

αὐτὸς ὁ Μῶμος 5
ἔγραφεν ἐν τοίχοις· ὁ Κρόνος ἐστὶ καλός.

οἱ δὲ παρὰ τὸ στείχω στοιχεῖον τὸ ὡς ἐκ τάξεως φωνὴν ἤγουν ἐκφώνησιν ἀποτελοῦν· στοῖχος γὰρ ἡ τάξις.

Τὸ στοιχεῖον παρὰ τὸ στοῖχος· τοῦτο παρὰ τὸ στείχω τὸ 10 ἐν τάξει πορεύομαι. τὰ γὰρ ἔχοντα τὸ ō ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ē. Τὸ δὲ στοιχεῖον οὐχ ὑποκοριστικῶς διὰ τοῦ ῑ γράφεται, ἀλλ' ὡσανεὶ περιεκτικῶς διὰ διφθόγγου, ὡς τὸ θωρακεῖον, τὸ ἀγγεῖον, τὸ βαλανεῖον. *) 15

---

*) Τὰ καλούμενα περιεκτικὰ ὀνόματα ἀπὸ τῶν περιεχομένων ἐν αὐτοῖς πραγμάτων οὕτως ἐκλήθησαν. τύποι δὲ τούτων δύο εἰσίν, ὁ εἰς ὢν ἀρσενικῶς, καὶ οὐδετέρως διὰ τοῦ ειον, ἀρσενικῶς μὲν 20 οἷον δαφνών, παρθενών, λουτρών· οὐδετέρως δὲ οἷον κουρεῖον, μουσεῖον, βαλανεῖον. ἐπειδή τινα τῶν ὀνομάτων τοὺς τύπους μὲν τούτους ἔχουσιν, ὅμως δὲ περιεκτικὰ οὐκ εἰσὶ διὰ τὸ μὴ ἐκ τῶν περιεχομένων συνίστασθαι, ὡς περιεκτικὰ ταῦτα λέγονται ἤτοι ἐοικότα περιεκτικοῖς· τὸ [γὰρ] ὡς ἐνταῦθα τὸ ὁμοίως δηλοῖ, καὶ ὥσπερ 25 τὰ ὡς πρός τι διαφέρουσι [τῶν πρός τι], ἔστι δ' ὅπῃ καὶ κοινωνοῦσι[ν αὐτοῖς, οὕτω καὶ τὰ ὡς περιεκτικὰ καὶ κοινωνοῦσι] τοῖς περιεκτικοῖς καὶ διαφέρουσιν αὐτῶν. καὶ κοινωνοῦσι μὲν τοῖς τύποις, διαφέρουσι δὲ τῷ μὴ ἀπὸ τῶν περιεχομένων συντεθεῖσθαι. Καθὰ δὴ καὶ τὰ ὡς πρός τι κοινωνοῦσι μὲν τοῖς πρός τι, ὅτι τῷ 30 ἑνὶ τὸ ἕτερον δοκεῖ συνεξακούεσθαι, ὡς τῷ θανάτῳ ἡ ζωὴ καὶ τῇ ζωῇ ὁ θάνατος, καὶ τῇ νυκτὶ ἡ ἡμέρα ἢ τῇ ἡμέρᾳ ἡ νύξ· διαφέρουσι δὲ ὅτι οὐ συναναιροῦσιν ἄλληλα, καθάπερ τὰ πρός τι. ἕπεται γὰρ τοῖς πρός τι καὶ τὸ ἓν τῷ ἑτέρῳ συνακούεσθαι καὶ τὸ συναναιρεῖσθαι. ὧν τὸ ἓν ἔχοντα τὰ ὡς πρός τι, τοῦ ἑτέρου 35 λείπονται, οἷον τὰ ὡς πρός τί ὡς πατὴρ – υἱός. τοῦ πατὴρ ὀνό-

Ἰδού, παρακατιὼν ὁ τεχνικὸς εἶπεν αὐτὰ στοιχεῖα, ἐπειδὴ τὰ αὐτὰ τοῖς στοιχείοις ἐργάζονται, τουτέστι φωνήν·

ματος λεγομένου συνεξακούεται καὶ ὁ υἱός, καὶ πάλιν τοῦ υἱοῦ λεγομένου συνεξακούεται καὶ ὁ πατήρ· ἀναιρουμένου δὲ τοῦ πατὴρ ὀνόματος καὶ τὸ υἱὸς ὄνομα συναναιρεῖται, ὥςπερ καὶ τοῦ υἱοῦς ἀναιρουμένου συναναιρεῖται καὶ τὸ ὄνομα ὁ πατήρ. οὐ μέν τοί γε ἐπὶ τῶν ὡς πρός τι ἄμφω παρεπόμενά εἰσι, καὶ τὸ [συν]εξακούεσθαι καὶ τὸ συναναιρεῖσθαι, ἀλλὰ τὸ μὲν συνεξακούεσθαι ἕπεται, τὸ δὲ συναναιρεῖσθαι λείπει. οἷον τῇ ζωῇ συνεξακούεται ὁ θάνατος, οὐ μέν τοί γε συναναιρεῖ ἡ ζωὴ τὸν θάνατον, ἀλλὰ μᾶλλον ἀναιρεῖται ἡ ζωὴ ὑπὸ τοῦ θανάτου καὶ ὁ θάνατος ὑπὸ τῆς ζωῆς. καὶ πάλιν τῇ ἡμέρᾳ συνεξακούεται ἡ νὺξ καὶ τῇ νυκτὶ ἡ ἡμέρα, οὐ μέν τοί γε συναναιρεῖται τῇ νυκτὶ ἡ ἡμέρα ἢ τῇ ἡμέρᾳ ἡ νύξ, ἀλλὰ μάλιστα ἑκάτερον τὸ ἕτερον ἀναιρεῖ· νυκτὸς γὰρ συνισταμένης ἡμέρα οὐκ ἔστι. Διὰ ταῦτα τοίνυν τὸ ὡς, προςτεθειμένον τοῖς ὡς περιεκτικοῖς, καὶ τὴν κοινωνίαν δείκνυσι καὶ τὴν διαφορὰν δηλοῖ. οἷον ὡς περιεκτικὸν ὄνομά ἐστιν ἀρσενικὸν ὁ πυλών – τοῦ πυλῶνος, ἔχων τὸν τύπον τοῦ δαφνὼν δαφνῶνος περιεκτικοῦ, οὐ μέν τοί γε ἐκ τῶν περιεχομένων συνίσταται· οὐδὲ γὰρ πυλὼν πύλας περιέχει ὡς δαφνὼν δάφνας, ἀλλ' αὐτὸ τοῦτό ἐστιν ὁ πυλὼν αἱ πύλαι. καὶ πάλιν τὸ θωρακεῖον καὶ τὰ ἀγγεῖον καὶ τὸ μεγαλεῖον, τὰ οὐδέτερα ὡς περιεκτικά, τοὺς τύπους μὲν ἔχουσι τῶν περιεκτικῶν, τοῦ κουρεῖον, σεμνεῖον, ἀμνεῖον, μουσεῖον, οὐ μὴν δὲ ἀπὸ τῶν περιεχομένων συνετέθησαν, ἀλλὰ τὸ μὲν θωρακεῖον τὸ τεῖχος λέγεται κατὰ ἀναλογίαν τοῦ θώρακος· ὡς γὰρ ὁ θώραξ, τὸ ὅπλον, σκέπη τις καὶ παραφυλακὴ τοῦ σώματός ἐστιν, οὕτω δὴ καὶ τὸ θωρακεῖον, τὸ τεῖχος, καὶ σκέπη καὶ φυλακὴ τῆς πόλεως γέγονε. καὶ τὸ ἀγγεῖον οὐχ ὅτι ἄχγη περιέχει, ἀλλ' αὐτὸ τοῦτο τὸ ἄγγος καὶ ἀγγεῖον λέγεται, ἐκ τοῦ ἄγγος ἄγγεος ἐτυμολογούμενον, ἀγγεῖον καὶ συναιρέσει ἀγγεῖον. τὸ δὲ ἄγγος ἐτυμολογεῖται παρὰ τὸ ἄνω ἄγειν [τὸ] ἔγγειον καὶ ἐκ τῷ βάθει τῆς γῆς τυγχάνον ὕδωρ, ἄναγος, καὶ ἐν συγκοπῇ ἄγγος, καὶ τροπῇ τοῦ ν εἰς γ ἄγγος, διὰ τὴν ἐπέλευσιν τοῦ γ. (μάλιστα δ' ἂν εἴποις τὸ ἀγγεῖον διὰ τῆς ει διφθόγγου, ἀπὸ τῆς ἐτυμολογίας τοῦτο συνάξας, διὰ τὸ ἄνω ἄγειν τὸ ἐν τῷ βάθει τῆς γῆς κείμενον ὕδωρ ἀναγεῖον, καὶ ἐν συγκοπῇ ἀγγεῖον, ὡς ἵνα φυλάξῃ λείψανα τῶν λέξεων, ἀφ' ὧν συνετέθη, ἤτοι τὸ μὲν αγ τοῦ ἄγω, τὸ δὲ γειον τοῦ ἐκ τοῦ γέα, φυλαττομέ-

καὶ διὰ τοῦτο λέγει αὐτὰ εἶναι στοιχεῖα, διὰ τὸ ἔχειν αὐτὰ τάξιν πρὸς ἄλληλα. τότε γὰρ καὶ στοιχεῖά ἐστιν.

νου τοῦ ε̄ πρωτοτύπου ἐν τῷ γέα διὰ τῆς τοῦ γειον γραφῆς. τὸ γὰρ ἄγγος ἄγγεος ἀγγεῖον ἀγγεῖον ἴσως ἂν ἀνρηση διὰ τοῦ τεῖχος τείχεος τειχεῖον τειχίον καὶ ἕρκος ἕρκεος ἕρκιον.) ὁμοίως καὶ τὸ μεγαλεῖον, τὸ ὡς περιεκτικόν, τύπον μέν ἔχει τοῦ κουρεῖον καὶ τῶν ὁμοίων, ἅ τινα περιεκτικά εἰσιν, οὐ μὴν καὶ ἀπὸ τῶν περιεχομένων συνέστη· μεγαλεῖον γὰρ αὐτὸ τοῦτο τὸ μέγα λίαν ἐστίν, ἤτοι τὸ ὑπέρμεγα. ὥςπερ γὰρ τὸ πτοιαλέον, δειμαλέον, θαῤῥαλέον, γηραλέον, οὕτως ὤφειλε καὶ τὸ μεγαλέον· εὕρηται δὲ μεγαλεῖον τῇ προςθήκῃ τοῦ ῑ, ὡς τέλεον τέλειον. τὰ γὰρ τοιαῦτα τῶν ὀνομάτων, ἅ τινα διὰ τοῦ λεον τυποῦνται, ἐπέκτασιν δηλοῦσι τῶν πρωτοτύπων, οἷον πτοιαλέος ὁ λίαν φοβούμενος, καὶ δειμαλέος ὁμοίως, καὶ γηραλέος· οὕτω δὴ καὶ μεγαλεῖον τὸ πάμμεγα καὶ λίαν μέγα. Διὰ τοῦτο δὴ τὸ νωλεμέως ἐπίῤῥημα τὴν διὰ τοῦ ε̄ γραφὴν ἔχει· νωμελέως γὰρ ὤφειλε λέγεσθαι, τρόπῳ δὲ ποιητικῷ τῇ μεταθέσει τῶν στοιχείων νωλεμέως λέγεται. μετετέθη γὰρ τὰ στοιχεῖα, τὸ λ̄ εἰς τὴν τοῦ μ̄ τάξιν καὶ τὸ μ̄ εἰς τὴν τοῦ λ̄, ὡς τὸ χιτώνιον τιχώνιον, ὃ δὴ κιθώνιον Ἰωνικῶς λέγεται, κατὰ τροπὴν τοῦ χ̄ εἰς κ̄ καὶ τοῦ τ̄ εἰς θ̄. τοιοῦτον δὴ καὶ τὸ ἔρημος· ἤρεμος γὰρ ὤφειλε, καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, τοῦ ε̄ εἰς τὸν τόπον τοῦ η̄ καὶ τοῦ η̄ εἰς τὸν τόπον τοῦ ε̄, ἔρημος. τὸ δὲ νηλεμέως σημαίνει τὸ ἀδιαλείπτως, πάντως δὲ ἐτυμολογεῖται παρὰ τὸ νω στερητικὸν μόριον καὶ τὸ μέλλω τὸ βραδύνω ἤτοι νωλεμέως ἀδιαλείπτως, τουτέστι χωρὶς μελλήσεως καὶ βραδυτῆτος. εὔδηλον ἄρα ἐστίν, ὅτι τὸ νωλεμέως νωμελέως ὤφειλε τῷ ποιητικῷ τρόπῳ, τῇ μεταθέσει τῶν στοιχείων, τῇ συνηθείᾳ μάλιστα παραδέδοται, τοῦ νωμελέως τῇ ἀχρηστίᾳ κατακρυβέντος.

Ὅσα δὲ διὰ τοῦ ιον παροξύτονα, διὰ τοῦ ῑ γραφόμενα, οὔτε περιεκτικά εἰσιν οὔτε ὡς περιεκτικά, ἀλλ' ὑποκοριστικά. Ὧν ὑποκοριστικῶν τὰ μὲν παροξύνονται, γίνονται δὲ ἀπὸ πρωτοτύπων ἑτέρων, καὶ δοκοῦσι μὲν τὰ πρωτότυπα μείζονος εἶναί τινος οὐσίας, τὰ δὲ ὑποκοριστικὰ ἐλάσσονος, εἰ καὶ πολλάκις τὰ πρωτότυπα ἀχρηστεύουσιν. εἰσὶ δὲ τὰ μὲν παροξύτονα, οἷον τύμβος τυμβίον ὁ τάφος, τύβος τυβίον, κράμβη κραμβίον, σάγος σαγίον, στλεγγος καὶ στλεγγίς καὶ στλεγγίον — λέγεται δὲ καὶ τὸ κτένιον καὶ ἡ ξύστρα τῆς κεφαλῆς —, παῖς παιδός παιδίον, δᾴς δᾳδός δᾳδίον, ἔρ-

οὐρανοῦ. πλανῆται δέ εἰσιν ἑπτά, Κρόνος, Ζεύς, Ἑρμῆς, Ἄρης, Ἥλιος, Ἀφροδίτη καὶ Σελήνη. ταῦτα γὰρ τὰ φωνήεντα τοῖς πλανήταις ἀνάκεινται· καὶ τὸ μὲν ᾱ φασὶ τῇ Σελήνῃ ἀνακεῖσθαι, τὸ δὲ ᾱ τῷ Ἑρμῇ, τὸ δὲ η̄ τῇ Ἀφροδίτῃ, τὸ δὲ ῑ [τῷ] Ἡλίῳ, τὸ δὲ ο̄ τῷ Ἄρει, τὸ δὲ ῡ τῷ Διί, τὸ δὲ ω̄ τῷ Κρόνῳ. λέγονται δὲ πλανῆται, διάτι πάντων τῶν ἐν τῷ οὐρανῷ ὄντων ἀκινήτων οὗτοι μόνοι κινοῦνται καὶ περιπλανῶνται καὶ περιφέρονται, ἐναντίαν πρὸς τὴν τοῦ πόλου ποιούμενοι κίνησιν.

„Φωνήεντα δὲ λέγεται, ὅτι φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖ." Ἆρα τὰ σύμφωνα φωνὴν οὐκ ἔχουσι; Λεκτέον μέν, ὅτι ἔχουσι φωνὴν κἀκεῖνα, ἀλλ' ἐκτὸς τούτων ἐκφωνηθῆναι οὐ δύνανται, ὥστε ταῦτα μὲν καθ' ἑαυτῶν ἐκφωνεῖται καὶ φωνὴν ἔχει, ἐκεῖνα δὲ χωρὶς τῆς τούτων συμφωνίας ὀνομασθῆναι οὐ δύναται. δικαίως οὖν φωνήεντα εἴρηται, εἴγε αὐτά ἐστιν αἴτια πάσης φωνῆς. Καὶ ἐπεὶ φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖ, διὰ τί ἐπενοήθησαν τὰ σύμφωνα; Ὅτι τὰ φωνήεντα τῇ ψυχῇ ἐοίκασι, τὰ δὲ σύμφωνα τῷ σώματι· καὶ ὥσπερ ἡ ψυχὴ χωρὶς τοῦ σώματος οὐ δύναται εἶναι, ἀλλὰ δεῖται τοῦ σώματος εἰς τὸ ἀποτελέσαι τὴν σύστασιν τοῦ ζώου, τὸν αὐτὸν τρόπον καὶ τὰ φωνήεντα, εἰ καὶ καθ' ἑαυτὰ δύναται παραλαμβάνεσθαι καὶ ἀφ' ἑαυτῶν ἐκφωνεῖσθαι, δέονται τῆς τῶν συμφώνων συντάξεως εἰς τὸ ἀποτελέσαι τὴν ἐγγράμματον φωνήν.

„Τῶν δὲ φων. μακρὰ μέν ἐστι δύο, η̄ καὶ ω̄, βραχέα δὲ δύο, ε̄ καὶ ο̄, δίχρονα τρία, ᾱ, ῑ, ῡ." Διελὼν τὰ εἴκοσι τέσσαρα γράμματα εἰς φωνήεντα καὶ σύμφωνα, ἑκάστη διαρέσει ὑποδιαιρέσεις ἐπιφέρει. καὶ πρώτην ὑποδιαίρεσιν ταύτην φησὶ τῶν φωνηέντων, καὶ ὑποδιαιρεῖ αὐτὰ εἰς μακρὰ καὶ εἰς βραχέα.

Αὕτη ἐστὶν ἐπιδιαίρεσις· ἐπιδιαίρεσις δέ ἐστιν, ὅτε τῶν

ἤδη

ἤδη διαιρεθέντων διαίρεσιν ἑτέραν ποιησώμεθα. καὶ λέγει τῶν φωνηέντων τὴν ἐπιδιαίρεσιν τέμνεσθαι εἰς τρία, εἴς τε μακρὰ καὶ βραχέα καὶ δίχρονα. μακρὰ δὲ εἶπε τὸ η̄ καὶ τὸ ω̄, οὐχ ὅτι μεγάλαις γραμμαῖς κέχρηνται — δύναται γὰρ τὰ βραχέα μεγάλαις ταῖς γραμμαῖς γράφεσθαι —, ἀλλ' ἐπειδὴ τῶν πρός τί εἰσι, καὶ κρίνεται τὰ μακρὰ ὡς πρὸς τὰ βραχέα. καὶ ἔστι ταῦτα εἰρημένα κατὰ μουσικὸν λόγον· τὸ γὰρ μακρὸν καὶ βραχὺ κατὰ χρόνον λέγει καὶ διάστημα τῆς φωνῆς. πολλάκις γὰρ αὐτὰ εἰς ἑαυτὰ ἀναλύεται καὶ συγκρίνεται. ἀναλύεται γοῦν τὸ η̄ εἰς δύο ε̄ε̄, ὡς παρὰ τῷ ποιητῇ

δέελον δ' ἐπὶ σῆμά τ' ἔχευαν·

καὶ συναιρεῖται πάλιν τὰ δύο ε̄ε̄ εἰς τὸ η̄, ὡς τὸ ἤδεε ἤδη.

„Μακρὰ μέν εἰσι δύο, η̄ καὶ ω̄." Μακρὰ δὲ λέγεται ταῦτα ὡς παρὰ τοῖς παλαιοῖς ἐν διπλασίονι χρόνῳ τῶν βραχέων ἐκφωνούμενα.

Δεῖ δὲ τὸ η̄ μὲν ἐκφωνοῦντα μηκύνειν τὸ στόμα ὡς ἐπὶ τὰ ὦτα ἑκατέρωθεν, τὸ δὲ ω̄ ἐκφωνοῦντα μηκύνειν τὰ χείλη ὡς ἐπὶ τὴν ῥῖνα καὶ τὸν πώγωνα. διὸ καὶ ἐνομοθετήθη μακρὰ εἶναι, ὡς μηκύνοντα τὴν ἐπιφάνειαν τῶν φωνητικῶν ὀργάνων ὑπὲρ τὰ ἄλλα φωνήεντα.

Καὶ τὰ δύο μὲν παρὰ πᾶσιν ἐν ἰσότητι δοκεῖ εἶναι ἕνεκεν τῆς μακρᾶς· ζητησάντων δέ τινων, ποῖόν ἐστι τῶν δύο μακρότερον, εὑρέθη τὸ η̄. ἐπὶ μὲν γὰρ τοῦ ω̄ προπαροξύνονται λέξεις τινές, ὡς ἐπὶ [τοῦ] μάντεων καὶ φύσεων καὶ τῶν ὁμοίων, ἐπὶ δὲ τοῦ η̄ οὐδέποτε. Ἀλλ' ἐρεῖ τις ὅτι οἱ Ἀττικοὶ τοῦτο ἐτόλμησαν. Ἀλλὰ καὶ ἡμεῖς φαμὲν πρὸς αὐτόν, ὅτι οἱ Ἀττικοί, οἱ τολμήσαντες ἐπὶ τοῦ ω̄, εἰ εὗρον τὸ η̄ ἴσον τοῦ ω̄ ἢ ἔλασσον, εἶχον καὶ ἐπ' αὐτοῦ τολμῆσαι προπαροξύνειν· μὴ τολμήσαντες δὲ ἀνεδείξαντο εὑρηκέναι τὸ η̄ τοῦ ω̄ μεῖζον.

Τῶν δύο μακρῶν ποῖόν ἐστι μακρότερον; Τὸ η̄. Ποίῳ λόγῳ; Ὅτι ἐν τέλει λέξεως εὑρισκόμενον οὐ δίδωσι τρίτην ἀπὸ τέλους ἀναπεμφθῆναι τὴν ὀξεῖαν, ὅτι κατὰ φύσιν ἐστὶ μακρόν. τὸ δὲ ω̄ ἔστιν ὅτε [προ]παροξύνεται· οὐκ ἄρα ἐστὶ κατὰ φύσιν μακρόν, ὥσπερ τὸ η̄. Λέγουσι δὲ πρὸς ταῦτα, ὅτι Ἀττικῷ λόγῳ [προ]παροξύνεται τὸ ω̄. ἡμεῖς δέ φαμεν ὅτι οἱ Ἀττικοί, ἅτε δὴ ὄντες σοφοί, αἰτίαν τινὰ τὸ ω̄ ἀκριβῶς ἐπιστάμενοι, διὰ τὸ μὴ εἶναι αὐτὸ φύσει μακρόν, τούτου χάριν αὐτὸ [προ]παροξύνουσιν· ἐπεὶ καὶ τὸ η̄, εἴγε εὗρον ἀξιόλογον αἰτίαν, μὴ εἶναι κατὰ φύσιν μακρόν, ὡσαύτως τοῦτο συνέστελλον.

„Βραχέα δύο, ε̄ καὶ ο̄." Δηλονότι οἱ παλαιοὶ ταῦτα παρατρέχοντες ἐφθέγγοντο, καὶ οὐ τοσαύτην ὥραν, ὅσην ἐπὶ τοῦ η̄ καὶ τοῦ ω̄, ἐποίουν ἐν τῷ ἐκφωνεῖν, ἀλλὰ τὸ ἥμισυ μέρος.

Καὶ ἐπὶ τούτων δέ, τῶν βραχέων φημί, ὅ τε Ἡρωδιανὸς καὶ ὁ τούτου πατὴρ Ἀπολλώνιος ἐζήτησαν, τί τίνος ἐστὶ βραχύτερον. Καὶ ὁ μὲν Ἀπολλώνιός φησι τὸ ο̄ εἶναι βραχύτερον τοῦ ε̄, ἀποδείξει τοιαύτῃ χρώμενος. λέγει γὰρ ὅτι τὸ ῑ ἑκατέρῳ αὐτῶν προσθεὶς ποιήσεις δηλονότι δύο διφθόγγους, καὶ ἡ μέν ἐστι μείζων ἡ τὸ ε̄ ἔχουσα, ἡ δὲ ἐλάσσων ἡ τὸ ο̄ ἔχουσα, ὡς εἶναι αὐτὴν καὶ βραχεῖαν ἐν τοῖς τόνοις, ὡς ἐν τῷ Ὁμήροι, Πρίαμοι, καὶ τὰ ὅμοια. Ὁ δὲ Ἡρωδιανὸς τὸ ε̄ μᾶλλον λέγει βραχύτερον, ἀποδεικνὺς οὕτως. φησὶ γὰρ πρὸς τὸν πατέρα, ὅτι οὐ δεῖ τῇ παραθέσει τοῦ ῑ ἐξετάζειν ἐκείνων τὴν δύναμιν, ἀλλὰ κατ' ἰδίαν ἄνευ τινὸς παραθέσεως καὶ μάλιστα τῆς τοῦ ῑ· τοῦτο γὰρ συγγένειάν τινα ἔχει πρὸς τὸ ε̄. καὶ δείκνυσιν ἐκ τοῦ τὴν ἐκφώνησιν τοῦ ῑ εἶναι ὄνομα τοῦ ε̄ γράμματος. τῷ συγγενεῖ οὖν προστεθὲν μεγάλην τινὰ καὶ δυναμικωτάτην δίφθογγον ἀπετέλεσεν. τὸ δὲ ο̄, προσελθόντος τοῦ ῑ οὐκ ἔχει συγ-

γένειαν, οὐκ ἐνεδείξατο ὅλην τὴν ἑαυτοῦ δύναμιν. ὡς ἐπὶ παραδείγματος ἀνθρωπείου, ἵνα μᾶλλον καὶ σαφῶς αὐτὸ νοήσωμεν, εἴ τις ἀδελφὸν αὐτοῦ θεάσαιτο χρείαν ἔχοντα βοηθείας, ὅλῃ τῇ ψυχῇ ὑπερασπίζει αὐτοῦ καὶ συμπράττει καὶ ὑπερμαχεῖ· ἀλλ' οὖν οὐχ ὅλῃ ψυχῇ ὑπὲρ ξένου τοῦτο ποιήσει, ἐξ οὗ καὶ ἀδρανεστέρα ἡ τῶν ἀμφοτέρων δύναμις πρὸς τοὺς ἐξ ἐναντίας ὤφθη. οὕτως καὶ ἐπὶ τοῦ ῑ νόησον, ὅτι οὐχ ὁμοίως ἐπεδείξατο τὴν ἑαυτοῦ δύναμιν ὡς ἐπὶ τοῦ ε̄ τοῦ συγγενοῦς. διὰ τοιούτων λόγων ὁ Ἡρωδιανὸς ἀποστρέψας τὴν τοῦ πατρὸς δόξαν, ἐπιφέρει τοιαύτην δικαιολογίαν, δεικνὺς τὸ ε̄ βραχύτερον ἐλεγχόμενον ὑπὸ τῆς κλίσεως τῶν ὀνομάτων. φησὶ δὲ ἀληθέστατον κανόνα τοιοῦτον, ὅτι πᾶσα κλητικὴ τῆς ἰδίας εὐθείας ἢ ἴση ἐστὶν ἢ ἐλάσσων, μείζων δὲ οὐδέποτε. ἢ γὰρ φυλάσσει τὸ τῆς τελευταίας συλλαβῆς φωνῆεν, καὶ δῆλον ὅτι ἴση ἐστίν, ὡς ἀπὸ τοῦ [ὁ] Ξενοφῶν - ὦ Ξενοφῶν, ἡ καλή - ὦ καλή, τὸ παιδίον - ὦ παιδίον· ἢ ἐὰν μὲν τρέπῃ, οὔτε εἰς ἴσον οὔτε εἰς μεῖζον τρέπει αὐτό, ἀλλὰ πάντως εἰς ἔλαττον. ὁ Ὀρέστης - ὦ Ὀρέστα· τὸ ᾱ τοῦ η̄ βραχύτερον. ὁ Μέμνων - ὦ Μέμνον· ἐπὶ μὲν τῆς εὐθείας τὸ ω̄, ἐπὶ δὲ τῆς κλητικῆς τὸ ο̄. ὁ Ἀπόλλων - ὦ Ἄπολλον. ὁ Ἀριστοφάνης - ὦ Ἀριστόφανες. ἐπὶ τοῦ Ὅμηρος οὖν καὶ ἐπὶ πάντων τῶν εἰς ος φυλάττει τὸ ο̄ ἡ κλητική, ἢ ἐὰν τρέπῃ αὐτό, ὥσπερ καὶ τρέπει, πάντως εἰς βραχύτερον τοῦ ο̄. ἐπειδὴ οὖν εἰς ε̄ τρέπει, δῆλον ὅτι βραχύτερόν ἐστι τοῦ ο̄, οἷον ὁ Ὅμηρος - ὦ Ὅμηρε. *)

---

*) Ἀλλὰ καὶ γενικαὶ αἱ ἑνικαὶ μείζονα τίλη ἔχουσι τῶν πληθυντικῶν εὐθειῶν, οἷον Ῥοδίου Ῥόδιοι, λιθίνης λίθιναι. εἴπερ οὖν ἐξελέξατο ἡ γενικὴ τὸ ῳ̄, ἡ δὲ πληθυντικὴ εὐθεῖα τὸ ε̄, ὡς ἐπὶ τοῦ Αἴαντος Αἴαντες, δῆλον ὡς ἔλαττον καὶ συνεσταλμένον ἐστὶ τὸ ε̄ τοῦ ο̄.

Πάλιν τῶν δύο βραχέων βραχύτερον μὲν κατὰ Ἀπολλώνιον τὸ ο̄. φησὶ γὰρ ὅτι τὸ ε̄ καὶ τὸ ο̄, εἰ προσθήσεις ἓν ἑκατέρῳ αὐτῶν τὸ ῑ, ποιήσεις δηλονότι δύο διφθόγγους, καὶ ἡ μέν ἐστι μακροτέρα ἡ τὸ ε̄ ἔχουσα, ... ἐν τέλει γὰρ λέξεως εὑρισκομένη ἡ οῑ δίφθογγος διηνεκῶς συστέλλεται, ἡ δὲ εῑ οὐδέποτε. Πρὸς ὃν φησιν Ἡρωδιανός, ὅτι ὥσπερ οὐ δεῖ τῇ παραθέσει τοῦ ῑ τὴν τοῦ ε̄ καὶ ο̄ δύναμιν ἐξετάζεσθαι, ἀλλ' ἰδίᾳ ἕκαστον αὐτῶν. Ὁ δὲ Ἀπολλώνιος πρὸς αὐτόν· Ὦ τέκνον, τίνι λόγῳ; Καί φησιν ὅτι πᾶν στοιχεῖον ἀφ' ἑαυτοῦ 1
ἄρχεται, τὸ δὲ ῑ οὐκ ἀφ' ἑαυτοῦ ἀλλὰ τοῦ ε̄, ὥστε συγγενὲς αὐτῷ ἐστί. τὸ δὲ συγγενές, τὸ ἴδιον προσλαμβάνον, μεγαλικωτάτην τινὰ δίφθογγον ἀποτελεῖ· πρὸς ὃ δ' οὐκ ἔχει συγγένειαν, προσλαμβάνον, τὸ ο̄, οὐχ οὕτως ἐπιβοηθεῖ[ται], ὥστε μεγάλην ἀποτελέσαι δίφθογγον. διὰ 1
τοῦτο οὐ δεῖ τῇ παραθέσει τοῦ ῑ ταῦτα ἐξετάζεσθαι. Καὶ λοιπὸν ἀποδείκνυσιν Ἡρωδιανὸς τὸ ο̄ βραχύτερον οὕτωσί, λέγων ὅτι πᾶσα κλητικὴ ἢ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα. ἐπεὶ δὲ εὑρίσκεται τὸ τῆς εὐθείας τελικὸν φω- 2
νῆεν, ὡς ἐν τῷ κύριος, τρεπόμενον ἐπὶ τῆς κλητικῆς εἰς ε̄, βραχύτερον ἄρα ἐστὶ τὸ ε̄ τοῦ ο̄. Καὶ πότε ἰσοχρονεῖ ἡ κλητικὴ τῇ εὐθείᾳ, καὶ πότε βραχύτερον ἔχει χρόνον; Ἡνίκα μὲν ἡ εὐθεῖα οὐ μεταβάλλει τὸ φωνῆεν αὐτῆς, ἰσοχρονεῖ τῇ κλητικῇ· ἡνίκα δὲ μεταβάλλει, 2
ἐλάττονα ἔχει χρόνον.

„Δίχρονα τρία, ᾱ, ῑ, ῡ." Ἔδει ἀμφίβολα καλέσαι ταῦτα τὸν Διονύσιον· ἀμφιβάλλεται γάρ, πότερον μακρὰ ἢ βραχέα· οὐ μέντοι δίχρονα. τὸ γὰρ δίχρονον οὐδὲν 3
ἄλλο δηλοῖ ἀλλ' ἢ ὅτι δύο χρόνους ἔχει· ταῦτα δὲ οὐδέποτε δύο χρόνους ἔχει, ἀλλὰ ποτὲ μὲν ἕνα, ποτὲ δὲ δύο.

Ταῦτά τινες καὶ ἄλλοις ὀνόμασιν ἐκάλεσαν, ἀμφιβαλλόμενα· ποτὲ γὰρ μακρά ἐστι, ποτὲ δὲ βραχέα. τινὲς δὲ ὑγρά, ὡς εὐόλισθα ἐπί τε τὸν τῆς μακρᾶς χρόνον καὶ τῆς βραχείας. ἄλλοι δὲ δίσημα, ὡς ἐπιδεχόμενα δύο σημεῖα, ποτὲ τῆς μακρᾶς καὶ ποτὲ τῆς βραχείας. τινὲς δὲ τρίχρονα· οὐ γὰρ ὁμοῦ ἐπιδέχεται τοὺς τρεῖς χρόνους, ἐπεὶ ἔμελλεν ὑπὲρ τὸ η̄ καὶ ω̄ μακρότερα εἶναι. οἱ δὲ ὠνόμασαν αὐτὰ δίχρονα, ὅπερ καὶ ἐπεκράτησε· τοτὲ γὰρ τὸν χρόνον τῆς μακρᾶς, ποτὲ δὲ τῆς βραχείας ἐπιδέχονται. ὅπερ καὶ αὐτός φησι, διὰ τοῦτο εἰρῆσθαι δίχρονα, ἐπεὶ ἐκτείνεται καὶ συστέλλεται. καὶ κοινά.

„Προτακτικὰ φωνήεντα πέντε." Δευτέρα ὑποδιαίρεσις τῶν φωνηέντων ἐστὶν αὕτη, εἰς προτακτικὰ καὶ ὑποτακτικά. καὶ προτακτικὰ μέν ἐστι τῶν ἑπτὰ πέντε, ᾱ, ῑ, η̄, ο̄, ω̄· ὑποτακτικὰ δὲ δύο, ῐ καὶ ῡ. καὶ φανερόν ἐστι, τίνος ἕνεκεν λέγεται τὰ μὲν προτακτικά, τὰ δὲ ὑποτακτικά, ὡς αὐτός φησι. τούτων γὰρ τῶν πέντε προτασσομένων τῶν δύο ὑποτασσομένων, ῐ καὶ ῡ, αἱ δίφθογγοι ἀποτελοῦνται.

Εἰπὼν προτακτικά, οὗ διέστειλεν ἡμῖν, ἀλλὰ καὶ παρεπέμψατο, ἁπλούστερον διαλεγόμενος· πρὸς εἰσαγομένους γὰρ γράφει. ἐχρῆν γὰρ αὐτὸν εἰπεῖν προτακτικὰ φωνήεντα φωνηέντων· πρὸς γὰρ ἄλληλα συγκρίνονται τὰ φωνήεντα, ὅτι ἀλλήλων εἰσὶ προτακτικά καὶ ὑποτακτικά.

„Ὑποτακτικὰ δύο, ῐ, ῡ." Τί οὖν; ἐν τῷ ἵστημι, ὑφαίνω οὐκ εἰσὶ καὶ ταῦτα προτακτικά, καὶ τὸ ᾱ δὲ καὶ τὸ ω̄ οὐχ ὑποτέτακται, θαῤῥῶ, θέλω; Ῥητέον δὲ ὅτι προτακτικά εἰσιν οὐ τῶν λέξεων, ἀλλὰ τῶν διφθόγγων· τὸ γὰρ ῐ καὶ ῡ οὐδέποτε προηγεῖται ἐν διφθόγγῳ, ἀλλ' ὑποτέτακται.

Ὑποτακτικὰ δὲ γίνεται ταῦτα τὰ δύο τῶν πέντε. τῇδε γὰρ συμβήσεται καὶ τὰς διφθόγγους ἀποτελεσθῆναι, ἐπὰν τὰ ὑποτακτικὰ τὰ δύο καὶ τὰ πέντε προτακτικὰ συμπλακῶσιν ἀλλήλοις.

ἡγεμόνευον, ὡρονομῶ ὡρονόμουν, ὑμνῶ ὕμνουν, ἱππεύω ἵππευον· μεταβολικὰ δὲ τρία, ᾱ, ε̄, ο̄, οἷον ἄρχομαι ἠρχόμην, οἰκῶ ᾤκουν, ἐλέγχω ἤλεγχον. Ἰδού, τρεῖς ὑποδιαιρέσεις ἐδείξαμεν. καὶ ἐν τοῖς συμφώνοις τοσαύτας, μᾶλλον δὲ καὶ μίαν περιττήν, ἣν ἐν τοῖς φωνήεσιν εὑρεῖν ἀδύνατον. 5

Πάλιν τῶν διφθόγγων αἱ μέν εἰσι κατ' ἐπικράτειαν, ὡς ἐπὶ τῆς ῑ ει διφθόγγου καὶ τῆς ῡ καὶ τῆς ῱ καὶ τῆς ᾱ, τῆς ἐχούσης τὸ ῑ ἀνεκφώνητον, ἐπὶ τούτων ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος ἐπικρατεῖ καὶ αὐτὸς ἐξακούεται, οἷον Νεῖλος, τῇ Ἑλένῃ, τῷ καλῷ, τῇ Μηδείᾳ, καὶ τὰ Θρᾷξ. αἱ δὲ κατὰ κρᾶσιν, οὔτε κατὰ διέξοδον εἰκότως, ὡς στερηθεῖσαι τοῦ ἰδιώματος τῶν διφθόγγων, ἐστερήθησαν καὶ τοῦ χρόνου τοῦ παρεπομένου ταῖς διφθόγγοις, καὶ τούτου χάριν αὗται μόνον ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυν χρόνον ἔχουσι. 10 15

Πάλιν αἱ δίφθογγοι αἱ τρεῖς μετατρέπουσιν εἰς τὸν παρατατικόν, αἱ δὲ ἄλλαι ἄτρεπτοί εἰσι. φημὶ δὲ ἡ αι δίφθογγος· τρέπει γὰρ τὸ ᾱ εἰς η̄, οἷον αἰσχύνομαι ἠσχυνόμην, αἰδοῦμαι ἠδούμην, αἰτῶ ἤτουν, καὶ ἡ αυ δίφθογγος τρέπει καὶ αὐτὴ τὸ ᾱ εἰς η̄, οἷον αὐλῶ ηὔλουν, αὐχῶ ηὔχουν. καὶ ἡ οι δίφθογγος τρέπει τὸ ο̄ εἰς τὸ ω̄, οἷον εὔχομαι ηὐχόμην, οἴγω ᾤγον, οἰκῶ ᾤκουν, οἰκοδομῶ ᾠκοδόμουν. ταύτη δὲ ἡ οι δίφθογγος διφορεῖται, καὶ ποτὲ μὲν φυλάττει ἐν τῷ παρατατικῷ καὶ ἐν τῷ ἐνεστῶτι, ὡς τὸ οἰνοχοῶ οἰνοχόουν, οἰωνίζομαι οἰωνιζόμην, οἰκουρῶ οἰκούρουν. . . Πάλιν τὸ οὐρῶ οὔρουν, οὐριοδρομῶ οὐριοδρόμουν, εἴργω εἶργον, εἰκονίζω εἰκόνιζον, εἰκάζω εἴκαζον, αἱ δὲ Ἀττικοὶ διὰ τοῦ η̄ καὶ τοῦ ῑ, οἷον ἤκαζον. καὶ τὸ εὐφραίνομαι εὐφραινόμην αἱ Ἀττικοὶ διὰ τοῦ η̄ φασὶν ηὐφραινόμην. 2 2 3

„Σύμφωνα δὲ τὰ λοιπὰ δεκά ἑπτά." Καλῶς προς-

ἔθηκε τὰ λοιπά. τῶν γὰρ ἑπτὰ πρὸς ἀναπλήρωσιν εἴκοσι τεσσάρων τὰ ἐπίλοιπά ἐστι δέκα ἑπτά.

Διφθόγγων τῶν πέντε, ἑπτὰ δὲ φωνηέντων ἀφαιρεθέντων ἐκ τῶν εἴκοσι τεσσάρων, δῆλον ὅτι ἑπτακαίδεκα καταλίμπάνουσι. Τίνος δὲ ἕνεκεν εἴρηται σύμφωνα; Αὐτὸς ἐπιφέρει, „ὅτι αὐτὰ μὲν καθ' ἑαυτὰ φωνὴν οὐκ ἔχει." λείπεται τὸ τελείαν φωνήν, ἐπεὶ μικρὰν ἔχει, ἐπεὶ εἰ μηδ' ὅλως εἶχέ τινα φωνήν, οὐκ ἂν ἐναλλαγὴ ἐγένετο φωνῆς ἐν τῷ ἐκφωνεῖσθαι - καὶ αὐτὰ τὰ φωνήεντα καὶ πάλιν μετὰ συμφώνων, ἀλλ' ὅταν τὸ ᾱ ἐκφωνούμενον ἔχει φωνήν, τὴν αὐτὴν ἂν εἶχε καὶ μετὰ τοῦ β̄ ἢ γ̄ ἐκφωνούμενον. νῦν δὲ οὐκ ἔχει τὴν αὐτήν. δῆλον οὖν ἐκ τούτου, ὡς τοῦ β̄ ἡ πρόσθεσις, ἐναλλαγὴν ποιήσασα τῆς φωνῆς, συνήγαγέ τινα μετρίαν φωνήν. ὁμοίως δὲ καὶ τῶν ἄλλων συμφώνων, ἵνα μὴ ἀκαίρως πολυλογῶμεν.

Σύμφωνα δὲ εἴρηται παρὰ τὸ συμφωνεῖν. ἡ γὰρ σύν πρόθεσις δυάδος κατηγορεῖ· ἄλλο γάρ ἐστι πράττειν καὶ ἄλλο τὸ συμπράττειν. ὁρίζεται δὲ ὁ τεχνικὸς κεκλῆσθαι αὐτὰ οὕτως διὰ τὸ μὴ ἔχειν ἀφ' ἑαυτῶν φωνήν, συμφωνεῖν δὲ τῇ τῶν φωνηέντων εὐφωνίᾳ.

„Τούτων ἡμίφωνα μὲν ὀκτώ." Ἤρξατο λέγειν τὰς ὑποδιαιρέσεις τῶν συμφώνων, καί φησι πρώτην τὴν τοῦ εἶναι ἡμίφωνα καὶ ἄφωνα. ἐπειδὴ γὰρ ἐπάνω εἰρήκαμεν, ὅτι ὅσας ἔχει ὑποδιαιρέσεις τὰ φωνήεντα, τοσαύτας καὶ τὰ σύμφωνα, τρεῖς δὲ ἔχει ἐκεῖνα. διαιρεῖ δὲ ταύτην εἰς ἡμίφωνα καὶ ἄφωνα. οὐ γὰρ ἠδύναντο τὰ φωνήεντα οὕτω διαιρεῖσθαι εἰς ἡμίφωνα, αὐτόθεν τελείαν φωνὴν ἔχοντα.

Διαιρεῖ τὰ σύμφωνα εἰς ἡμίφωνα καὶ ἄφωνα. Ἡμίφωνα δὲ λέγονται κατὰ τί; Οὐχ ὡς ἔτυχε. τὸ γὰρ ἡμι σημαίνει καὶ τὸ ἥμισυ, σημαίνει δὲ καὶ τὸ παρ' ὀλί-

γον, ὡς ἂν εἴποι τις εἴκοσι στίχους ἔχων, ἡμιτελές ἐστι τὸ βιβλίον, καὶ ἐνταῦθα οὖν οὐ τὸν ἐξ ἰσομοιρίας ὁρίζει ὁρισμόν, ἀλλὰ τὸν παρ' ὀλίγον. καὶ εὑρίσκεται τῶν πρός τι, τουτέστιν ἡμίφωνα τὰ παρ' ὀλίγον φωνήεντα. καὶ εὑρίσκεται μέσα φωνηέντων τε καὶ ἀφώνων πρὸς σύγκρισιν λαμβανόμενα καὶ συγκρινόμενα πρὸς τὰ φωνήεντα εὑρίσκεται ἀσθενέστερα, πρὸς δὲ τὰ ἄφωνα φωνήεντα. ὡς καὶ αὐτὸς ὁ τεχνικὸς πείθει λέγων παρ' ὀλίγον εὔφωνά ἐστιν ὡς τὰ φωνήεντα, „ὅτι παρόσον ἧττον τῶν φωνηέντων εὔφωνα καθεστήκασιν." ἀντὶ τοῦ παρ' ὀλίγον. διὰ τοῦτο πᾶσα λέξις Ἑλληνὶς ἢ εἰς φωνῆεν λήγει ἢ εἰς ἡμίφωνον.

Δῆλον ὅτι ἡμίφωνα ἐλέχθη ὡς ἥμισυ φωνῆς ἔχοντα, ὅθεν ἐπιφέρει καὶ αὐτός, ὅτι ὅσον ἐλάττονά εἰσι τῶν φωνηέντων ἐν τῇ ἐκφωνήσει τῶν τελείαν φωνὴν ἐχόντων, . . . εὔφωνά ἐστι τῶν ἄλλων ἐννέα στοιχείων τῶν καλουμένων ἀφώνων, „ἐν τε τοῖς στιγμαῖς καὶ σιγμοῖς." ἐν τῷ θέλειν ἡμᾶς ἐκφωνεῖν ἄνευ τῶν φωνηέντων κατ' ἰδίαν ταῦτα τὰ προλεχθέντα ὀκτὼ ἡμίφωνα, τελείαν μὲν φωνὴν οὐ δυνάμεθα ἀφιέναι, μύγμὸν δέ τινα ἢ συριγμόν, ὅ πέρ ἐστιν ἀρχὴ φωνῆς ἤτοι ἥμισυ φωνῆς, ἐκβάλλομεν, τὸ σ̄ ἢ ζ̄ ἢ τὸ μ̄ ἤ τι τούτων θέλοντες ἐκφωνεῖν. ἐπὶ γὰρ τοῦ ρ̄ σχεδὸν καὶ τελείαν φωνὴν ἐκβάλλομεν, ὅθεν καὶ παρά τισιν ἔδοξεν εἶναι φωνῆεν. *)

---

*) Ἐπεὶ δέ τινες τὸ [ρ̄] σύμφωνον φωνῆεν θέλουσι λέγειν, εἴπωμεν πῶς λέγουσιν αὐτὸ φωνῆεν εἶναι, καὶ τότε δείξομεν αὐτὸ σύμφωνον. Φασὶν ὅτι τοῖς φωνήεσι παρέπεται τὸ δασύνεσθαι καὶ ψιλοῦσθαι, οὐ μὴν τοῖς συμφώνοις· εἰ ἄρα τὸ ρ̄ καὶ δασύνεται καὶ ψιλοῦται, δῆλον ὅτι φωνῆέν ἐστιν. Ἄλλως τε δὲ τὰ διὰ τοῦ ᾱ μακροῦ ἐκφερόμενα κατὰ τὸν μέλλοντα τῆς δευτέρας σύζυγίας

Μυγμοὶ δέ εἰσιν οἱ διὰ τῶν μυκτήρων ἦχοι, οἷον
μυγμῷ τε στοναχῇ τε,
αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη.

τῶν περισπωμένων, ὅτε μὴ Δωρικά ἐστι, κατὰ τὸν ἐνεστῶτα ἔχουσι πρὸ τοῦ ω φωνῆεν, οἷον ἀνιάσω ἀνιῶ, κοπιάσω κοπιῶ, ἐρυθριάσω ἐρυθριῶ· ἐπεὶ οὖν καὶ τὸ ψυράσω καὶ τὸ περάσω καὶ τὸ δράσω, οὐ Δωρικὰ ὄντα ἀλλὰ κοινά, μακρῷ τῷ ᾱ κέχρηνται, παραλήγεται δὲ τῷ ῥ, δῆλον ὅτι φωνῆέν ἐστι καὶ οὐ σύμφωνον. πρόκειται ὅτε μὴ ὦσι Δωρικά, διὰ τὸ πεινάσω, διψάσω· ταῦτα γὰρ μακρὸν ἔχουσι τὸ ᾱ, καὶ ὅμως [κατὰ] τὸν ἐνεστῶτα οὐκ ἔχουσι πρὸ τοῦ ω φωνῆεν. ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἀπὸ τοῦ πεινήσω καὶ διψήσω κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς ᾱ μακρὸν γέγονεν. Ἔτι τὰ βραχυκατάληκτα τῶν εἰς ᾱ ληγόντων θηλυκῶν τοτὲ μὲν φυλάσσουσι τὸ ᾱ κατὰ τὴν γενικήν, ὅτε φωνήεσι παραλήγεται, οἷον Μηδεία Μηδείας, Ἀντιόχεια Ἀντιοχείας· ποτὲ δὲ τρέπουσιν αὐτὸ εἰς τὸ η, ὅτε σύμφωνον ἔχει, οἷον θάλασσα θαλάσσης, ἅμαξα ἁμάξης. εἰ ἄρα οὖν τὰ ἔχοντα πρὸ τοῦ ᾱ τὸ ῥ φυλάττουσιν αὐτὸ ἐπὶ γενικῆς καὶ οὐ τρέπουσιν, οἷον σφαῖρα σφαίρας, μάχαιρα μαχαίρας, δῆλον ὅτι φωνῆεν καὶ οὐ σύμφωνον. Ἔτι δὲ τὰ ἀπὸ ἑνὸς ἁπλοῦ συμφώνου ἀρχόμενα ἀναδιπλασιάζουσι τὸν παρακείμενον, οἷον τύπτω τέτυφα, θύω τέθυκα, φιλῶ πεφίληκα· τὰ δὲ ἀπὸ φωνήεντος ἀρχόμενα οὐκ ἀναδιπλασιάζουσι τὸν παρακείμενον, οἷον ἐρευνῶ ἠρεύνηκα, ἐλεῶ ἠλέηκα. εἰ ἄρα οὖν τὰ ἀπὸ τοῦ ῥ ἀρχόμενα οὐκ ἀναδιπλασιάζουσι τὸν παρακείμενον, οἷον ῥάπτω ἔῤῥαφα, ῥυπῶ ἐῤῥύπωκα, δῆλον ὅτι οὐκ ἔστι τὸ ῥ σύμφωνον ἀλλὰ φωνῆεν.

Ἔστι δ' εἰπεῖν ὅτι σύμφωνόν ἐστι τὸ ῥ καὶ οὐ φωνῆεν. οὐδὲν γὰρ ὄνομα ἀρσενικὸν εἰς φωνῆεν λήγει, οἷον Πλάτων, Φοῖνιξ, Αἴας· πῶς οὖν τὸ ῥ φωνῆεν, ὅπου τὸ ῥήτωρ καὶ πατήρ καὶ τὰ τοιαῦτα εἰς ῥ λήγει; ἄλλως τε δὲ οὐδέποτε φωνῆεν τοῦ αὐτοῦ φωνήεντος προτάσσεται καὶ ὑποτάσσεται· πῶς οὖν τὸ ῥ τοῦ η καὶ προτασσόμενον καὶ ὑποτασσόμενον ἐν τῷ ἀήρ καὶ Ἄρης δύναται εἶναι φωνῆεν; ἔτι τὰ εἰς ω λήγοντα ῥήματα οὐδέποτε διὰ δύο φωνηέντων ἐκφέρονται κατὰ τὴν λήγουσαν συλλαβήν· εἰ ἄρα οὖν τὸ ῥ εἴπωμεν εἶναι φωνῆεν, εὑρεθήσονται κατὰ τὴν τελευταίαν συλλαβὴν τοῦ κείρω, φθείρω δύο φωνήεντα, ὅπερ ἄτοπον. ἔτι τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ οὐ παραλαμβάνονται· εἰ ἄρα οὖν εἴπωμεν

σιγμοὶ δέ εἰσιν οἱ ἐξ ἄκρας τῆς ὑπερῴας συριγμοί, ὡς τὸ σίζ ὀφθαλμός. ἀπὸ μέρους δὲ τὸ πᾶν ἐδήλωσεν. ἀλλὰ καὶ ῥάζουσιν ὡς τὸ ῥ̄, καὶ συρισμοὺς ἀποτελοῦσιν, ὡ τὸ σ̄, ξ, ψ̄. Καὶ ἄλλως. Μυγμὸς λέγεται ὁ τοῦ μ̄ ἦχος, οἷον συμμένειν· ὁ δὲ τοῦ ν̄ νυγμός, οἷον συννεύειν· ὁ δὲ τοῦ ζ̄, ξ, ψ̄ καὶ σ̄ σιγμός, οἷον συρίζω, ξέω, ψηλαφῶ, σείω· ὁ δὲ τοῦ ῥ̄ ῥοῖζος, οἷον συῤῥάπτω.

„Ἄφωνα δέ ἐστιν ἐννέα." Τὸ ᾱ σημαίνει τέσσαρα, στέρησιν, ἐπίτασιν, ὁμοῦ, κακόν. στέρησιν, ὡς ὅταν εἴπωμεν ὁ λίθος οὗτος ἄψυχός ἐστι· δῆλον γὰρ ὅτι ἐστέρηται τῆς ψυχῆς. ἐπίτασιν δέ, ὡς ἐν ἀξύλῳ ὕλη ἀντὶ τοῦ ἐν πολυξύλῳ. ὁμοῦ, ὡς ἐν τῷ ἄλοχος ἡ ὁμόλοχος, ἀκόλουθος ὁ ὁμοκέλευθος. κακόν, ὡς ὁ δεῖνα ἄμορφός ἐστιν ἀντὶ τοῦ κακόμορφος· οὐ γὰρ ἐστέρηται τῆς ὁποιασδήποτε μορφῆς ὁ δεῖνα. ὁ τραγῳδὸς . . . φωνὴν μὴ ἔχων. Καὶ ἐνταῦθα ἄφωνα λέγεται ὡς κακόφωνα, καὶ οὐχ ὡς τελέως φωνῆς ἐστερημένα· ὡς γὰρ προείρηται, εἰ μὴ τὸ β̄ καὶ τὸ γ̄ καὶ τὰ ἑξῆς, εἰ μηδ' ὅλως τὴν τυχοῦσαν εἶχε φωνὴν μετὰ τοῦ ᾱ ἢ μετὰ τῶν ἄλλων φωνηέντων τῶν συμπλεκομένων, οὐκ ἂν ἐνήλλασσε τὴν ἐκείνων ἐκφώνησιν. ἐπειδὴ δὲ ἐναλλάσσει, καὶ

τὸ ῥ̄ φωνῆεν, εὑρεθήσονται ἐν τῷ ῥοῦς καὶ ἐν τῷ ῥεῦμα τρία φωνήεντα. ἔτι αὐτὰ καθ' ἑαυτὰ παραλαμβανόμενα τὰ φωνήεντα φωνὴν ἀφ' ἑαυτῶν ἀποτελοῦσιν· εἰ ἄρα οὖν αὐτὸ καθ' ἑαυτὸ παραλαμβανόμενον φωνὴν οὐκ ἀποτελεῖ, δῆλον ὅτι οὐκ ἔστι φωνῆεν ἀλλὰ σύμφωνον. ἔτι πᾶς παρακείμενος ἀπαθής — λέγω δὲ ἀπαθὴς διὰ τὸ ἑώρακα — ἀπὸ τοῦ ε̄ ἀρχόμενος [τὸν ἐνεστῶτα ἔχει ἀπὸ συμφώνου ἀρχόμενον], οἷον ἔφθαρκα φθείρω, ἔσταλκα στέλλω, ἐψήφωκα ψηφῶ, ἔσπαρκα σπείρω· εἰ ἄρα οὖν τὸ ἐῤῥύπωκα καὶ ἔῤῥαφα ἀπὸ τοῦ ε̄ ἄρχονται, δῆλον ὅτι τὸ ῥυπῶ καὶ τὸ ῥάπτω ἀπὸ συμφώνου ἄρχεται. ἄρα οὖν τὸ ῥ̄ σύμφωνον.

αὐτὰ δῆλον ὅτι μετρίαν τινὰ συνήχαγον φωνὴν ἐν τῷ συλλαμβάνεσθαι καὶ συμπλέκεσθαι αὐτοῖς.

Τὸ ᾱ ἐνταῦθα πολλὰ σημαίνει, τὴν παντελῆ στέρησιν, ὡς ἂν εἴποιμεν ἄποινα ἢ ἀφανὲς ἢ ἄλλο τι τῶν τοιούτων· τὸ ὁμοῦ, ὡς τὸ ἄλοχος ἡ ὁμόλοχος· τὸ ὀπίσω, ὡς ἀκόλουθος ὀπισθοκόλουθος· ὀπίσω γὰρ τὴν ὁδὸν ποιεῖται, ἑπόμενος τῷ δεσπότῃ. σημαίνει καὶ τὸ κακὸν ὡς ἐνταῦθα, ὡς καὶ ἐπὶ τοῦ ἄμορφος γυνή, οὐχ ὅτι παντελῶς ἐστερήθη μορφῆς, ἀλλ' ἔχουσα κακὴν ἔχει. ὡς καὶ ὁ κακῶς τραγῳδῶν οὐ παντελῶς τῆς φωνῆς ἐστέρηται, ἀλλ' ἔχων κακὴν ἔχει.

„Τούτων ψιλὰ μέν ἐστι τρία." Τὰ ἄφωνα πάλιν ὑποδιαιρεῖ εἰς ψιλὰ καὶ δασέα καὶ μέσα. ψιλὰ μέν ἐστι τὸ κ̄ καὶ π̄ καὶ τ̄. ψιλὰ δὲ λέγονται τὰ ὀλίγῳ πνεύματι ἐκφωνούμενα, δασέα δὲ τὰ πολλῷ, μέσα δὲ τὰ μήτε πολλῷ μήτε ὀλίγῳ, ἀλλὰ τῶν μὲν ὀλίγον πνεῦμα ἐχόντων ὑπερβεβηκότα τῷ πνεύματι, τουτέστι πλείονι ἐκφωνούμενα, τῶν δὲ πολὺ ὑποβεβηκότα τῷ πνεύματι, τουτέστιν ἔλαττον πνεῦμα ἔχοντα.

„Μέσα δὲ τούτων τρία, β̄, γ̄, δ̄." Μέσα δὲ αὐτὰ εἴρηται πρὸς σύγκρισιν. Τίνων δὲ μέσα ἐστί; Δῆλον ὅτι τῶν προειρημένων. ὥσπερ δὲ περὶ τῶν προτακτικῶν διαλεγόμενος ἀδιάστολον καὶ ἀφόριστον ἀφῆκεν, ὡς πρὸς εἰσαγομένους διαλεγόμενος, οὕτω καὶ ἐνταῦθα. ἡμεῖς δὲ ἀναπτύξαντες διασαφῶμεν. Καὶ λέγομεν τὰ μέσα εἰρῆσθαι ὡς τὰ δασέα καὶ τὰ ψιλά. καὶ ὡς εἴ τις σύγκρισιν ποιούμενος θερμοτάτου καὶ ψυχροτάτου, μέσον τι καλέσει ὡς πρὸς σύγκρισιν ἀμφοτέρων τῶν ἀκροτήτων — συγκρινόμενον γὰρ πρὸς τὸ θερμὸν ψυχρὸν ἂν νομισθείη, πρὸς δὲ τὸ ψυχρὸν θερμόν —, τοῦτον

τὰ δὲ παραδείγματα αὐτῶν ὁ τεχνικὸς τίθησι καὶ ἐπὶ τοῦ π̄ καὶ ἐπὶ τοῦ κ̄ καὶ ἐπὶ τοῦ τ̄.

Δι' ἣν αἰτίαν ὁ τεχνικὸς εἰρηκὼς „ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς," ἐπήνεγκε τὸ ψιλὸν πρῶτον εἰπὼν „τὸ μὲν π̄ τῷ φ̄;" Λέγομεν οὖν ὅτι ἐν μὲν τῷ πρώτῳ τὴν ἰσοδυναμίαν αὐτῶν ἐζήτησεν εἰπεῖν, παρακατιὼν δὲ οὐ προέταξε τὸ δασύ, ἐπειδὴ οὔτε εὑρίσκεται δασὺ εἰς ψιλὸν τρεπόμενον. οὐκ ἀκαίρως δὲ οὔτε τῆς ἰσοδυναμίας αὐτῶν προέταξεν, ἀλλ' ἵνα μὴ ταραττώμεθα, εὑρίσκοντες τὰ δασέα ἀντὶ τῶν ψιλῶν τιθέμενα. τὰ μέσα δὲ πρὸς μὲν τὰ δασέα ψιλά ἐστι, πρὸς δὲ τὰ ψιλὰ δασέα, ὡς καὶ αὐτὸς παρακατιὼν λέγει.

Τούτων δὲ τὴν δύναμιν ἀκριβέστερον δυνηθείη τις καταλαβεῖν ἐνίοτε ἀπὸ τῆς τῶν ῥημάτων κινήσεως καὶ τῆς τῶν ὀνομάτων κλίσεως. οἱ γὰρ μέσοι τῶν χρόνων καὶ οἱ δεύτεροι ἀόριστοι τούτοις κέχρηνται τοῖς στοιχείοις, οἷον λείβω λέλοιβα, πλήσσω πέπληγα, φράζω πέφραδα. πάλιν τὰ κλινόμενα, ἐπειδὴ εἰς τὸ μέσον τῆς κλίσεως γίνονται· τὰ γὰρ εἰς διπλοῦν διὰ τὰς ἰδίας συζυγίας π̄, φ̄, β̄. οὕτως οὖν καὶ ἰσοστοιχεῖν ἀλλήλοις τὰ δασέα καὶ τὰ ψιλά φησι. ψιλὸν δὲ λέγεται τὸ ἄκρον. ἐντεῦθεν καὶ ψέλια λέγονται τὰ ἐπ' ἄκρων τῶν χειρῶν τιθέμενα κόσμια. τὰ οὖν δι' ἄκρου μόνης τῆς γλώττης προφερόμενα σύμφωνα, ταῦτα λέγεται ψιλά. ἰδού, τὸ κ̄ προφέρομαι οὕτω δι' ἄκρου μόνου τῆς γλώττης, μηδενὸς πνεύματος παραπεμπομένου.

Ἐζήτηται δέ, ὥςπερ τὰ δασέα ἀντὶ ψιλῶν λαμβάνεται, ἄρα καὶ τὰ ψιλὰ ἀντὶ δασέων. Καὶ λεκτέον ὅτι ἐκεῖνα σαθρά ἐστι καὶ οὐχ οἷά τε πέρα αὐτῶν τείνεσθαι, πόσῳ μᾶλλον τῶν μειζόνων, οἷον

ὣς ἔφαθ' · οἱ δ' ἄρα πάντες·

ὡς

ὡς ἔφατο ἦν τὸ τέλειον. ἀπόστροφος ἐγένετο διὰ τὸν συγκρουσμόν, καὶ τὸ ἐπιφερόμενον ἐδασύνετο οἱ· πᾶν γὰρ ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται. ἀνάγκη οὖν πρὸς τὰ ἐπιφερόμενα μεταβληθῆναι τὰ σύμφωνα, κανόνος κελεύοντος ὅτι δασέα δασέων ἕπεται καὶ ψιλὰ ψιλῶν. ὥστε ἐξ ἀνάγκης τὸ τ εἰς τὸ θ μεταβληθῆναι. ὁμοίως καὶ ταῦτα αὐτὰ τὰ μαρτύρια· 5

ἀλλά μοι εἴφ' ὅποι ἔσχες ἰὼν εὐεργέα νῆα.

Ὅτι δὲ τὰ ψιλὰ οὐ δύναται ἀνθυπουργῆσαι τῶν δασέων, ἰδοὺ εὑρίσκομεν 10

ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοί·

τὸ θ συναλοιφὴν ἔχει, τὸ α δὲ ψιλοῦται, καὶ ἐνταῦθα τεχνικοῦ λόγου ἀπαιτοῦντος· πᾶν φωνῆεν πρὸ δύο συμφώνων τῶν αὐτῶν ψιλοῦσθαι θέλει, εἰ μὴ ἄρα ἦν ἐκ πλεονασμοῦ τὸ ἕν· καὶ οὐκέτι μεταβολὴν ἐποιησάμεθα τοῦ θ εἰς τ, ἀλλ' ἐπὶ τῆς ταυτότητος ἔμεινε. τούτου δὲ αἴτιον, ὃ πρὸ μικροῦ εἴπομεν, ὅτι τὰ ψιλὰ ἀσθενῆ ἐστὶν οὐδὲ ὑπὲρ ἑαυτῶν τείνεσθαι δυνάμενα. 15

„Ἔτι δὲ τῶν συμφώνων." [Τῆς δευτέρας ὑποδιαιρέσεως τῶν συμφώνων μέμνηται] τῆς οὔσης πρώτης ἐν τοῖς φωνήεσιν. ὥσπερ γὰρ τῶν φωνηέντων τὰ μέν ἐστι μακρά, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα, οὕτω καὶ τῶν συμφώνων τὰ μέν ἐστι μακρὰ [ἤγουν], ὡς φησιν αὐτός, διπλᾶ, ζ, ξ, ψ, τὰ δὲ δίχρονα, λ, μ, ν, ρ, τὰ δὲ ἐπίλοιπα βραχέα. καὶ ὥσπερ ἐπὶ τῶν φωνηέντων τὸ η . . . . . δύναμιν δύο συμφώνων βραχέων ἐχόντων ἀπὸ ἡμιχρονίου, ὅθεν καὶ ἐν τῷ μέτρῳ ἀντὶ ἐπιφορᾶς δύο συμφώνων παραλαμβάνεται ἕνα ἐχόντων χρόνον. ἐντεῦθεν καὶ διπλᾶ αὐτά φησιν, ὡς διπλασίαν δύναμιν ἔχοντα τῶν ἄλλων· τῶν γὰρ ἑπτακαίδεκα συμφώνων τὰ μὲν δέκα ἀπὸ ἡμιχρονίου ἔχει, ὡς εἰσόμεθα ἐν τῷ περὶ ποινῆς συλλαβῆς, ταῦτα δὲ [τά] τρία, ζ, ξ, ψ, ἀεὶ ἀπὸ ἑνὸς χρόνου ἔχει. Οὐχ ὡς οὖν ἐκ δύο συμφώνων συγκείμενα διπλᾶ εἴρηται,

εἰσι, τὰ δὲ στοιχεῖα ἁπλᾶ θέλουσιν εἶναι καὶ ἀποίκιλα· στοιχεῖον γάρ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή. ἄλλως τε καὶ διπλᾶ λέγεται καὶ οὐ σύνθετα· διαφέρει [δὲ] διπλοῦν συνθέτου, καθὸ σύνθετον μέν ἐστι τὸ ἐκ διαφόρων συνεστηκός, οἷον Ἀγαμέμνων, διπλοῦν δὲ λέγεται τὸ δυνάμενον εἰς ἑαυτὸ διπλωθῆναι, ὥςπερ τὸ ἱμάτιον εἰς ἑαυτὸ διπλούμενον. Κρεῖττον λέγειν ὅτι οὐκ ἐκ δύο συμφώνων σύγκειται, ἀλλὰ δύο συμφώνων ἔχουσι δύναμιν καὶ ἐκφώνησιν.

„Ἀμετάβολα τέσσαρα." Τῆς τρίτης ὑποδιαιρέσεως τῶν συμφώνων μέμνηται, τῆς καὶ ἐν τοῖς φωνήεσιν οὔσης· ὥςπερ γὰρ ἐπὶ τῶν φωνηέντων τὰ μέν ἐστιν ἀμετάβολα, ὡς ἀπεδείξαμεν, τὰ δὲ μεταβολικά, οὕτω καὶ ἐπὶ τῶν συμφώνων τὰ μὲν τέσσαρα ταῦτά ἐστιν ἀμετάβολα, τὰ δὲ ἄλλα μεταβολικά. Ἀμετάβολα δὲ εἴρηται, ὡς καὶ αὐτός φησιν, ὅτι οὐ μεταβάλλει ἐν τοῖς μέλλουσι τῶν ῥημάτων οὐδὲ ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων. καὶ γὰρ ἐν τοῖς ἐνεστῶσι τῶν ῥημάτων ἐὰν εὑρεθῇ ἕν τι τούτων τῶν τεσσάρων, γινώσκεται καὶ ἐν τοῖς μέλλουσιν, ὡς ἐπὶ τοῦ πάλλω παλῶ καὶ νέμω νεμῶ· καὶ ἐν ταῖς εὐθείαις τῶν ὀνομάτων ἐὰν ἕν τούτων εὑρεθῇ ληκτικόν, εὑρίσκεται καὶ ἐπὶ τῶν γενικῶν, ὡς ἐπὶ τοῦ Νέστωρ Νέστορος καὶ Μέμνων Μέμνονος. τὸ γὰρ λ̄ καὶ μ̄ οὐχ εὑρίσκεται ληκτικὸν ὀνομάτων.

Εἶπεν ἡμῖν περὶ τῶν τριῶν διπλῶν καὶ περὶ τῶν τεσσάρων ἀμεταβόλων. τὰ δὲ πάντα ἡμίφωνα εἴρηκεν εἶναι ὀκτώ, ὥςτε ζητεῖσθαι τὸ σ̄, διὰ τί μηδὲν περὶ τούτου εἴρηκε. φαμὲν ὅτι ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων ὥρισται καὶ κοινόν ἐστι τῶν τριῶν γενῶν.

„Τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται." Ὑγρὰ αὐτὰ ἐκάλεσεν ὁ τεχνικὸς διὰ τὴν ὑπερβάλλουσαν ποιότητα. τοῖς γὰρ τρω-

χέσι συνευρισκόμενα, τουτέστιν ἀφώνοις καὶ πολλάκις συμμετρίαν δυναμένοις ποιεῖν, ὑγρὰ ὄντα τὴν ἡμῶν ἀκοὴν παρασκευάζει διὰ τούτων, καὶ κοινὴν ἀπεργάζονται, ἐπὰν εὑρεθῶσιν ἄφωνον καὶ ἀμετάβολον, οὐκ ἀναστρέφοντος τοῦ λόγου. οὐ γὰρ ἰσχύει ἀναστρέφειν προηγουμένου τοῦ ἀφώνου, ἀμεταβόλου δὲ δευτέρου ὄντος, οἷον [τοῦ] ἰατρός ἡ ᾱ κοινή ἐστιν, ἡ δὲ τοῦ ἄρτος οὐκέτι.

Στεφάνου. Ὑγρὰ τουτέστιν ὀλισθηρά. συμπλεκόμενα γὰρ τοῖς ἀφώνοις κοινὴν ἀποτελεῖ συλλαβήν. ἢ ὅτι ἀμετάβολά ἐστιν, ἀπὸ μεταφορᾶς τῶν ὑγρῶν χρωμάτων, ἃ δυσεξάλειπτα τυγχάνει, τῶν ξηρῶν εὐαπονίπτων ὄντων. *) καὶ τὸ ῑ δὲ καὶ τὸ ῡ ἀμετάβολά τέ εἰσι καὶ δίχρονα. ἔστι δὲ διττὴ ἡ δύναμις, ὡς ἥλιος τὰ σώματα ξηραίνειν τε καὶ διαλύειν πέφυκε.

Τοῦτο αἴνιγμά ἐστι τῆς ὑποδιαιρέσεως ἧς εἴπομεν, εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα. ὥσπερ γὰρ ἐν τοῖς φωνήεσι τὰ δίχρονα ἕτεροι καὶ ὑγρὰ ἐκάλεσαν, ὡς εὐόλισθα ἐπί τε [τὸν] τῆς μακρᾶς χρόνον καὶ τῆς βραχείας, οὕτω καὶ ταῦτα ὑγρὰ καλεῖται, ὡς ποτὲ μὲν παρὰ τῷ ποιητῇ ἀντὶ δύο συμφώνων κείμενα, ποτὲ δὲ ἀνθ᾽ ἑνός. Εἰπε δ᾽ ἄν τις καὶ δι᾽ ἄλλην αἰτίαν ὑγρὰ αὐτὰ καλεῖσθαι, διὰ τὸ τὴν ἐκφώνησιν αὐτῶν λείαν καὶ ὁμαλὴν εἶναι καὶ τῷ ὄντι εὐόλισθον οὕτως, ὡς καὶ μετ᾽ ἄλλου συμ-

---

*) Καλοῦνται — ὑγρά, ὅτι καὶ τῶν χρωμάτων, ὅσα μέν ἐστιν ὑγρά, οὐκ εὐμετάπτωτα τυγχάνουσιν· ὅσα δὲ μή εἰσιν ὑγρά, εὐεξάλειπτα. καὶ διὰ τὴν ἀφέλειαν τῆς φωνῆς οὕτω καλοῦνται· οὐ γὰρ ὃν τρόπον τὰ ἄλλα σύμφωνα ἐπάλληλα κείμενα κατὰ τὸν λόγον τῶν μέτρων τραχύνουσι τὴν ἀκοήν, δεικνύοντα τὴν αἰτίαν τῶν μέτρων, κατὰ τοῦτον τὸν τρόπον εἰσὶ καὶ τὰ ἀμετάβολα, ἀλλὰ τῇ λειότητι τῆς φωνῆς διαλανθάνουσι τὴν ἀκοήν.

φώνου προηγουμένου ἐν ἐπιπλοκῇ ὄντα μὴ πάντως τὴν προηγησαμένην βραχεῖαν μακρὰν ποιεῖ, ὡς ἐπὶ τοῦ Πάτροκλε καὶ τῶν ὁμοίων.

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τῆς τετάρτης ὑποδιαιρέσεως οὐκ ἐμνήσθη, ὡς δυςχερεστέρας οὔσης τῆς τετάρτης ἐν τοῖς συμφώνοις, τρίτης δὲ ἐν τοῖς φωνήεσι, τῆς διαιρούσης τὰ σύμφωνα εἰς ὑποτακτικὰ καὶ παρατακτικά, τινὰ γὰρ τῶν συμφώνων τινῶν μὲν παρατακτικά ἐστι, τινῶν δὲ ὑποτακτικά, ὡς εὐθέως τοῦ μὲν ρ̄ τὸ β̄ ἐστὶ παρατακτικόν, ὡς ἐν τῷ βρέφος, οὐδέποτε δὲ τὸ ρ̄ τοῦ β̄ εὑρίσκεται παρασασόμενον. ὡς ἔφαμεν γάρ, τὰ φθάσαντά τινων παρατάγῃναι οὐδέποτε καὶ ὑποτάσσονται ἐν ἐπιπλοκῇ, οὕτως οὖν ἕκαστον τῶν συμφώνων, ἐὰν πειραθῇ τις, εὑρίσκει ὅτι τινῶν μὲν παρατακτικόν ἐστιν ἔσθ' ὅτε, ἄλλων δὲ ὑποτακτικόν, διὰ οὖν τὴν τοιαύτην δυςχέρειαν παρεσιώπησε ταύτην τὴν διαίρεσιν.

„Τελικὰ ἀρσενικῶν ὀνομάτων." Χρεία δέ ἐστι προςθεῖναί τινα καὶ εἰπεῖν οὕτως· τελικὰ ἀρσενικῶν ὀνομάτων ἀνεπεκτάτων κοινῶν κατ' εὐθεῖαν καὶ γενικὴν πτῶσιν στοιχεῖά ἐστι πέντε, πρόςκειται ἀρσενικῶν διὰ τὰ θηλυκὰ καὶ οὐδέτερα· ὀνομάτων δὲ διὰ τὰ ἄλλα μέρη τοῦ λόγου, οἷον διὰ τὰς μετοχὰς καὶ τὰς ἀντωνυμίας· ἀνεπεκτάτων δὲ διὰ τὸ τοιόςδε καὶ τοιουτοσί καὶ τηλικουτοσί — ταῦτα γὰρ ἐπέκτασιν ἀνεδέξαντο διὰ τοῦ δε̄ καὶ τοῦ ῑ —. κοινῶν δὲ πρόςκειται διὰ τὰ βάρβαρα, οἷον διὰ τὸ Ἀδάμ, Ἰωσήφ, Δανιήλ· ταῦτα γάρ ἐστι βάρβαρα. ἔτι κοινῶν πρόςκειται διὰ τὸ ἱππότα ἀντὶ τοῦ ἱππότης καὶ μητίετα ἀντὶ τοῦ μητιέτης καὶ νεφεληγερέτα ἀντὶ τοῦ νεφεληγερέτης. ἔτι κοινῶν πρόςκειται διὰ τὰ κατὰ διάλεκτον· οἱ γὰρ Αἰολεῖς πολλάκις εἰς ᾱ ποιοῦσι τὰς εὐθείας· ὁ Ἀρχύτα γάρ φασιν ἀντὶ τοῦ Ἀρχύτης καὶ Ὑβραγόρα ἀντὶ τοῦ Ὑβραγόρης. κατ' εὐθεῖαν πρόςκειται διὰ τὰς ἄλλας πτώσεις, ἐνι-

κῶν πρόσκειται διὰ τὰ δυϊκὰ καὶ πληθυντικά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν θηλυκῶν τελικά ἐστιν ἑπτά· α̅, η̅, ν̅, ξ̅, ρ̅, σ̅, ψ̅.

„Τινὲς δὲ προστιθέασι καὶ τὸ σ̅, οἷον ἄλλο, ἐκεῖνο" καί φασι τὸ σ̅ τελικὸν εἶναι οὐδετέρου ὀνόματος. Οὐκ ἔστι τοῦτο ἀληθές, ἀλλ' ἀντωνυμία ἐστίν, ὥσπερ καὶ [τὸ] τοῦτο.

Ταῦτο οὐκ ἀρέσκει τῷ τεχνικῷ· ἔστι γὰρ τὸ ἄλλον, ὅθεν καὶ ἐν τῇ συνθέσει λέγεται τὸ ἐξαλλον καὶ πάραλλον.

§ 8.

ΠΕΡΙ ΣΥΛΛΑΒΗΣ.

Πρεπόντως ἡμᾶς διδάξας τὰ στοιχεῖα, βούλεται καὶ περὶ συλλαβῆς διδάξαι τῆς ἐξ αὐτῶν, τῶν στοιχείων, ὡς ἂν εἴποι τις, τικτομένης ἤτοι ὑφισταμένης. καὶ λέγει τῆς συλλαβῆς τὸν ὅρον τοῦτον, δηλοῦντα κυρίως εἶναι συλλαβὴν τὴν συλλαμβάνουσαν σύμφωνα καὶ φωνήεντα. καὶ δοκεῖ ὡς πρὸς εἰσαγομένους [ἢ] ὡς ἐν ὑπομνήματι καλῶς εἰρηκέναι. εἰ δ' ἀκριβῶς τις ἐπισκέψοιτο τὸν ὅρον, πᾶς λόγος καὶ πᾶν βιβλίον καὶ πᾶν ποίημα συλλαβὴ ὂν εὑρίσκεται· σύλληψις γὰρ ἐστι φωνηέντων καὶ συμφώνων. δεῖ οὖν τῷ ὅρῳ προσθεῖναι, ὃ καὶ αὐτὸς παρέλιπεν οὐχ ὡς ἀγνοῶν ἀλλ' ὡς προείρηκα, πρὸς εἰσαγομένους ἢ ὡς ἐν ὑπομνήματι γράφων. ἔστιν οὖν ἐλλεῖπον τοῦτο, ὑφ' ἓν πνεῦμα καὶ ἕνα τόνον ἀδιαστάτως ἀγομένη, ὥστε τὸν ὅλον ὅρον τῆς συλλαβῆς εἶναι τοιοῦτον· συλλαβή ἐστι κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων, ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη. τῆς προσθήκης ἰδοὺ ταύτης λεχθείσης ἐξεφύγομεν τὸ πάντα λόγον καὶ πᾶν ποίημα καὶ πᾶν βιβλίον δοκεῖν εἶναι συλλαβήν· οὐ γὰρ ὑφ' ἓν πνεῦμα καὶ ἕνα τόνον ἀδιαστάτως λέγεται, εἰ μὴ ἑκάστη συλλαβή. τὰς μὲν λέξεις τὰς δισυλ-

λάβους καὶ τρισυλλάβους ἢ καὶ περαινέρω ἔστι διελεῖν εἰς συλλαβάς, ἑκάστην δὲ συλλαβὴν οὐκ ἔστι διελεῖν, εἰ μὴ εἰς στοιχεῖα, οἵτινες οὐκ εἰσὶ συλλαβαί. ὡς προείρηται οὖν, τῆς προςθήκης ταύτης προςελθούσης τέλειός ἐστιν ὁ ὅρος τῆς συλλαβῆς. 5

Καὶ κινδυνεύουσιν αἱ μονογράμματοι συλλαβαί, δηλονότι αἱ δι' ἑνὸς φωνήεντος, καταχρηστικῶς εἰρημέναι συλλαβαί, μὴ εἶναι συλλαβαί, ὡς αὐτός φησιν. Εἴποι δ' ἄν τις ὑπὲρ αὐτῶν ἀπολογούμενος τοιαύτην πιθανολογίαν, ὅτι οὐ δίκαιόν ἐστι τὰ φωνήεντα, τὰ καὶ τοῖς συμφώνοις παρέχοντα ἐκφωνεῖσθαι τελείως, ἐξωσθῆναι τοῦ ὅρου τῶν συλλαβῶν. ὥςπερ γὰρ ἐπὶ τοῦ ὅρου τῶν ἀριθμῶν οὐκ ἐκβάλλομεν τὴν μονάδα — ἔστι γὰρ ὁ ὅρος τοῦ ἀριθμοῦ τοιοῦτος, ἀριθμός ἐστι σύνθεσις μονάδων, εἰ οὖν ταῦτο ἀληθές, ὥςπερ ἔστιν, ἡ μονὰς οὐχ εὑρίσκεται οὖσα ἀριθμός, ὡς ἀσύνθετος οὖσα, ἀλλ' ἐρεῖ αὐτὴ ἡ μονὰς ὅτι Ἐγὼ ἡ τοῖς ἄλλοις ἀριθμοῖς τὸ εἶναι ἀριθμὸς παρέχουσα, ἐκβληθῆναι ἔχω τοῦ καλεῖσθαι ἀριθμός; ἀδύνατον! — οὕτως οὖν καὶ τὰς μονογραμμάτους συλλαβὰς οὐ δίκαιον ἐστιν ἀπωθεῖσθαι τῆς συγγενείας τῶν συλλαβῶν, εἰ καὶ μὴ δοκοῦσιν ἐμπεριέχεσθαι τῷ ὅρῳ τῆς συλλαβῆς.

Ἐμπίπτει δὲ στοιχεῖον συλλαβῇ, οἷον ᾱ· αὐτὴ δὲ λέξει, οἷον οὔ· λέξις λόγῳ, ἄπελθε.

„Συμφώνου μετὰ φωνήεντος ἢ φωνηέντων." Ὅρα τὴν ἀσθένειαν τῶν συμφώνων, ὅτι, κἂν πολλὰ ὦσι, συλλαβὴν πληρῶσαι οὐ δύνανται δίχα τῆς τῶν φωνηέντων βοηθείας, τὰ μέντοι φωνήεντα καθ' ἓν μόνον ἐξαρκεῖ. Ἰστέον δὲ ὅτι τὸ τέλειον μέγεθος τῆς συλλαβῆς μέχρι ἓξ καὶ ἑπτὰ γραμμάτων, ὡς τὸ στράγξ, τοὐλάχιστον δὲ καὶ ἕως ἑνός, οἷον . . .

„Οἷον καρ βαῦς." Ἔστι καρ λέξις ἐθνική, ἀφ' οὗ

γενικὴ Καρός Κᾶρες. δεῖ οὖν λαμβάνειν τὴν καρ ἀπὸ τοῦ καρπός, καὶ τὸ βους οὐκ ἐπὶ τοῦ ζώου, ἀλλὰ συλλαβὴν ἀποκεκομμένην ἀπὸ τοῦ Βούσιρις· αἱ γὰρ συλλαβαὶ καθ' ἑαυτὰς οὐδὲν σημαίνουσιν.

Στεφάνου. Φασί τινες οὐ καλῶς [ἐν] εἰσαγωγικῇ τέχνῃ περὶ μέτρων γράψαι τὸν Διονύσιον· τὸ γὰρ περὶ συλλαβῶν περὶ μέτρων ἐστίν. εὖ δὲ πεποίηκεν ὁ τεχνικός, ὡς ἂν ἀπὸ τῆς πρώτης ἡλικίας συνήθειαν ἔχοιεν οἱ παῖδες ποδίζειν τοὺς στίχους.

§ 9.

ΠΕΡΙ ΜΑΚΡΑΣ ΣΥΛΛΑΒΗΣ.

„Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους· φύσει μὲν τρεῖς, θέσει δὲ πέντε." Οὐχ ὡς ἔτυχε περὶ μακρᾶς συλλαβῆς λέγει ὁ τεχνικὸς τὰς ἐπεκτάσεις ἢ τὰς συστολὰς τῶν συλλαβῶν γίνεσθαι, ἀλλὰ κατὰ παράδοσιν λέγει αὐτὰς γίνεσθαι. τρόπους δὲ τὰς γινομένας διαφορὰς φύσει καὶ θέσει.

„Καὶ φύσει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται, οἷον ἥρως." Εἰπὼν φύσει καὶ θέσει, προτάττει τὴν φύσιν· ἐκεῖνα γὰρ γνήσιά ἐστι, καὶ δεῖ τὰ γνήσια προτάττειν τῶν μὴ γνησίων. καὶ ἔστιν ἡ πρώτη διαφορὰ τῶν ἐκτεταμένων φωνηέντων, ὅταν τὰ μακρὰ στοιχεῖα, τό τε η καὶ ω, εὑρίσκηται. Ἰστέον δὲ ὅτι παρὰ τοῖς μετρικοῖς πᾶσα μακρὰ δίχρονος, παρὰ δὲ τοῖς τεχνικοῖς τρίχρονός τε καὶ τετράχρονος, τρίχρονος μὲν ὡς ηὗλουν, ᾤθουν, τετράχρονος δὲ ὡς Θρᾴξ. ἀλλὰ καὶ ἑνὸς ἡμίσεος χρόνου, ὡς οἱ καὶ αἱ, αἷ τινες ἐὰν λάβωσι τὸ ο, τέλειαι γίνονται μακραί.

„Ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ ἔκτασιν παραλαμβανόμενον, οἷον Ἄρης." Δεύτερος τρόπος, ὅταν τὰ δίχρονα ἐκτεταμένα τὴν αὐτὴν ἔχωσι δύναμιν τῷ η καὶ τῷ ω.

„Ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον Αἴας." Τρίτος τρόπος, ὅταν ἔχῃ τὰς διφθόγγους. Ἆρ' οὖν ἔξεστί μοι τὰς διφθόγγους καὶ τὰ δίχρονα διὰ παντὸς ἐκτείνειν; Λεκτέον ὅτι ἐν τοῖς μετρικοῖς τὰς διφθόγγους ἐκ παντὸς τρόπου, τὰ δὲ δίχρονα οὐκ εἰκῇ, ἀλλὰ κατὰ τὴν παράδοσιν καὶ χρῆσιν τῶν παλαιῶν. ἰδοὺ γὰρ τὸ Ἄρες Ἄρες· καὶ μακρὸν καὶ βραχὺ τὸ ᾱ· ἔξεστιν οὖν ὁμοίως καὶ ἡμῖν χρήσασθαι. καὶ τὸ ῑ ὡς μακρὸν καὶ βραχύ, μακρὸν μὲν ὡς τὸ

φίλε κασίγνητε,

βραχὺ δὲ ὡς τὸ

ἀλλὰ φίλον περ ἐόντα.

„Θέσει δὲ ἤτοι ὅταν εἰς δύο σύμφωνα λήγῃ οἷον ἅλς." Ὁ πρῶτος τρόπος τῶν θέσει ἐστὶν ὁ εἰς δύο σύμφωνα λήγων, τουτέστι παυόμενος, ἵνα πρὸ τῶν δύο συμφώνων ἔχῃ φωνῆεν βραχὺ τὸ ὀφεῖλον διὰ τῆς συνθέσεως τῶν συμφώνων τῶν προσφερόντων αὐτῷ ἀπὸ ἡμιχρονίου θέσει μακρὸν γίνεσθαι δύο τε χρόνους ἀναδέξασθαι, αὐτοῦ ἤδη ἔχοντος ἀφ' ἑαυτοῦ τὸν ἕνα χρόνον, καὶ ὡς ἄν τις χαριέντως, κατανοήσας ἐν τῇ συλλαβῇ χάριν ἀντὶ χάριτος τῷ φωνήεντι ὑπὸ τῶν συμφώνων καὶ τοῖς συμφώνοις ὑπὸ τοῦ φωνήεντος, ἀντιδεδωκότων τοῖς μὲν τὴν ἐκφώνησιν διὰ τοῦ φωνήεντος, τῷ δὲ τὴν μήκυνσιν διὰ τῶν συμφώνων. Καὶ περὶ τοῦ εἰς δύο σύμφωνα λήγειν ὀφείλοντος καὶ δι' αὐτοῦ μηκύνεσθαι τὸ βραχὺ φωνῆεν ἀρκούντως λέλεκται.

Ζητήσειε δ' ἄν τις ἐπιμελῆς εἰς τὰ τοιαῦτα περιέργως, τίνος ἕνεκα εἰς τρία σύμφωνα οὐδέποτε λήγει συλλαβή, ἀλλὰ πρὸ μὲν ἑνὸς ἢ δύο φωνηέντων εὑρήσεις τρία σύμφωνα ἐν μιᾷ συλλαβῇ, πρὸ ἑνὸς μὲν ὡς ἐπὶ τοῦ στραβός, πρὸ δύο δὲ ὡς ἐπὶ τοῦ στρουθός, μετὰ δὲ φωνῆεν ἓν ἢ δύο σύμφωνα οὐχ εὑρίσκεται τρία λήγοντα ἐν μιᾷ συλλαβῇ. Τὴν αἰτίαν οὖν ἐμάθομεν εἶναι

ταύτην, ὡς ἐμοὶ δοκεῖ, ἀναγκαίαν τε καὶ ἀναγκαίαν. τὰ φωνήεντα ἔοικεν ἐργάταις, τὰ δὲ σύμφωνα φορτίοις, ὡς τὰ μὲν αὐτοκίνητα, ὡς ἂν εἴποι τις αὐτόφωτα, τὰ δὲ ὡς ἑτεροκίνητα καὶ σὺν ἑτέροις ἐκφωνούμενα, αὐτὰ καθ' ἑαυτὰ τοῦ προφορικοῦ οὐ τυγχάνοντα. ὡς οὖν οἱ ἐργάται ἐπὶ μὲν τῶν ἁμῶν καὶ ἐπὶ τοῦ νώτου τοῦ ὄπισθεν πλείω φόρτον δύνανται ἐπιφέρεσθαι ἤπερ ἔμπροσθεν ἐπὶ τῶν χειρῶν, οὕτω καὶ τὰ φωνήεντα ὄπισθεν μὲν τρία σύμφωνα φέρειν δύνανται, ἔμπροσθεν δέ, ὡς ἂν εἴποι τις ἐπὶ τῶν χειρῶν, τριῶν συμφώνων φόρτον καὶ βάρος οὐ δύνανται ἀνθέλκειν. Κἂν μὴ εἴπῃ τις τὸ στράγξ, ὡς ὅτι τὸ ξ ἔχον τὸ διπλοῦν δοκεῖ μετὰ ἓν φωνῆεν τρία ἔχειν σύμφωνα· ἀπεδείχθη γὰρ ταῦτα μὴ συγκεῖσθαι ἐκ δύο συμφώνων, ἀλλ' εἶναι μακρὰ σύμφωνα.

Πολλὰ εἰς δύο σύμφωνα λήγοντα οὐκ εἰσίν, ὡς φησιν ὁ ὑπομνηματίζων, εἰ μὴ τὸ ἅλς, Τίρυνς, μάκαρς, δάμαρς, [καὶ] ἅ φησι τῷ περὶ ὀρθογραφίας σημειούμενα. εἰσὶ δὲ ταῦτα, ζόρξ, στράγξ, λύγξ, σάλπιγξ, πώϋγξ.

„Ἥοταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, οἷον ἀγρός." Δεύτερός φησι τρόπος, ὅταν ἐνὶ τῶν διχρόνων ἢ τῶν φύσει βραχέων ἐπενεχθῇ δύο σύμφωνα· τότε γὰρ γίνεται ἀνάγκῃ μακρά, ὅτι ἡ βραχεῖα ἕνα χρόνον ἔχει καὶ ἕκαστον τῶν συμφώνων ἡμιχρόνιον, ὥστε ταῦτα συνερχόμενα ἀποτελεῖν δύο χρόνους. ἡ δὲ μακρὰ ἐκ δύο χρόνων συνίσταται, ὥστε γίνεσθαι θέσει μακράν. βραχεῖ δὲ εἶπεν ἢ τῷ ε ἢ τῷ ο, βραχυνομένῳ ἑνὶ τῶν διχρόνων.

„Ἢ ὅταν εἰς ἁπλοῦν σύμφωνον λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, οἷον ἔργον." Τρίτος οὗτος τρόπος ὁ κατὰ λῆξιν καὶ ἐπιφοράν. λήγει δὲ εἰς ἁπλοῦν σύμφωνον, τῆς ἑξῆς ἀρχομένης ἀπὸ συμφώνου. ἁπλούστερον δὲ καὶ ἐνταῦθα εἶπε· συμβαίνει γὰρ ἐν ταῖς λέξεσι λήγειν μὲν τὴν προτέραν εἰς ἓν

σύμφωνον, τὴν δὲ ἐπιφερομένην μὴ ἀπὸ ἑνὸς μόνου ἀλλὰ καὶ ἀπὸ δύο, ὡς ἐν εἰσαγωγῇ δὲ παρῆκε τοῦτο. Τί δὲ διαφέρει οὗτος ὁ τρόπος τοῦ πρὸ αὐτοῦ; Ὅτι ὁ μὲν τὴν ἑξῆς ἔχει ἀπὸ συμπεπλεγμένων συμφώνων ἀρχομένην, ὁ δὲ προκείμενος ἐν διαστάσει τὰ σύμφωνα, 5 οἷον ἕρμα ἕρμος.

„Ἢ ὅταν διπλοῦν σύμφωνον ἐπιφέρηται, οἷον ἕξω." Τέταρτος οὗτος ὁ τρόπος. δείκνυσι δὲ πότε ἐπιφέρεται καὶ πότε καταλήγει νόμῳ τῆς ὀρθογραφίας. λέγει δὲ ἐν τῷ ἕξω ἐπιφέρεται μᾶλλον ἢ καταλήγει τὸ ξ. Πόθεν δῆ- 10 λον; Λόγος τεχνικὸς καταναγκάζει· τὰ γὰρ σύμφωνα μεταξὺ δύο φωνηέντων ἐν μιᾷ λέξει τῷ δευτέρῳ ἀκολουθεῖ.

„Ἢ ὅταν εἰς διπλοῦν σύμφωνον λήγῃ, οἷον Ἄραψ." Πέμπτον λέγει εἶναι τρόπον, ὅταν καταλήγῃ εἰς διπλοῦν 15 σύμφωνον.

Ἰστέον δὲ ὅταν οἱ χρόνοι, ὡς ὄντες κυρίως προσῳδίαι, ἐπάνω φωνηέντων τίθενται, δυνάμει δὲ καὶ εἰς 20 τὰ ἑπτακαίδεκα σύμφωνα. καὶ εἰς μὲν τὰ δύο μακρά, λέγω δὴ η καὶ ω, μακρὰ τίθεται, καὶ εἰς τὰ δύο βραχέα βραχεῖα· εἰς δὲ τὰ τρία δίχρονα ποτὲ μὲν μακρά, ποτὲ δὲ βραχεῖα, κατ' ἀναλογίαν· εἰς δὲ τὰ τεσσαρακαίδεκα ἁπλᾶ ἡμιβραχεῖα δυνάμει, καὶ εἰς τὰ τρία διπλᾶ 25 τέλειαι βραχεῖαι, διὰ τὸ ἐκ δύο συμφώνων συνεστηκέναι αὐτά. συμπλεκόμενα δὲ τὰ σύμφωνα τοῖς φωνήεσιν ἀποτελοῦσι τὴν ἐγγράμματον φωνήν. λοιπὸν εἰ τύχοι φωνῆεν βραχὺ πρὸ δύο συμφώνων, [τῶν δύο συμφώνων αἱ ἡμιβραχεῖαι] καὶ τοῦ ἑνὸς φωνήεντος ἡ τελεία βρα- 30 χεῖα συνελθόντα ἀποτελοῦσι τὴν τελείαν μακράν.

---

§ 10.

ΠΕΡΙ ΒΡΑΧΕΙΑΣ ΣΥΛΛΑΒΗΣ.

„Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο, ἤτοι ὅταν ἔχῃ ἕν τι τῶν φύσει βραχέων, οἷον βρέφος·" Τὸ γὰρ ε̄ καὶ ο̄ φύσει βραχέα εἰσί, καὶ σημαίνει ἓν ἕκαστον αὐτῶν ἀπὸ ἑνὸς χρόνου. „ἢ ὅτε ἔχει ἕν τι τῶν διχρόνων κατὰ συστολὴν παραλαμβανόμενον, οἷον Ἄρης." Τὸ γὰρ ᾱ τοῦ Ἄρης συστέλλεται καὶ ἐκτείνεται παρὰ τῷ ποιητῇ, καὶ ποτὲ μὲν ἕνα χρόνον σημαίνει, ποτὲ δὲ δύο, ὡς τὸ

Ἄρες Ἄρες βροτολοιγέ.

Ἡ βραχεῖα συλλαβὴ οὐκ ἔχει πολυτρόπους τὰς μεταβολάς, καθάπερ ἡ μακρὰ συλλαβή, ἀλλὰ δύο μόνας· ἢ γὰρ φύσει βραχέα ὄντα τὰ φωνήεντα τὰς συλλαβὰς βραχύνει, ἢ βραχυτόμενα τὰ δίχρονα, οὐ χώδην, ἀλλὰ καθάπερ ἐν τῷ περὶ μακρᾶς συλλαβῆς εἰρήκαμεν, τῇ χρήσει προσέχοντες τῶν ποιητῶν.

§ 11.

ΠΕΡΙ ΚΟΙΝΗΣ ΣΥΛΛΑΒΗΣ.

Ἡ κοινὴ συλλαβὴ τῶν πρός τι· ὃν τρόπον γὰρ ἐν τῷ περὶ στοιχείου εἴρηται τὰ μέσα εἰρῆσθαι δασέων τε καὶ ψιλῶν, οὕτω καὶ ἐνταῦθα τὴν κοινὴν εἶναι λέγει μακρῶν τε καὶ βραχειῶν. ὥσπερ ἐν τῇ συνηθείᾳ λεγόμεν πολλάκις, ὁρῶντες κτῆμα διαφόρων δεσποτῶν, τοῦδε καὶ τοῦδε κοινόν, οὕτω καὶ ἐνταῦθα κοινὴ συλλαβή ἐστιν ἡ δυναμένη ὑπακούειν τῇ μακρᾷ καὶ τῇ βραχείᾳ.

Δεῖ δὲ εἰδέναι ὅτι ἡ κοινὴ οὐκ ἀκαίρως ἐπινενόηται τοῖς μετρικοῖς· ἀλλ' ἐπειδὴ οἱ ἄνθρωποι περὶ τὴν τοιαύτην μετριώτεροί εἰσι, καὶ οὐ πάντως εὐποροῦσι λέξεως ὡς γνήσιος λόγος ἀπαιτεῖ τὴν μακρὰν φύσει καὶ τὴν βραχεῖαν φύσει, τρόπον τινὰ παραμυθούμενοι τὴν κοινὴν εἰργάσαντο, ἵνα μὴ ὡς ἔτυχε τὰς μακρὰς ἐν κοινῷ λαμβάνοιμεν τὰς βραχείας. μέθοδον οὖν τεχνικὴν προέθεντο.

„Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς, ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον

οὔ τί μοι αἰτίη ἐσσί."

Τῇ κοινῇ συλλαβῇ κέχρηνται οἱ ποιηταὶ ἐν τοῖς αὐτῶν ἔπεσι. γίνεται δὲ ὁ πρῶτος τρόπος, ὅταν λέξις ἢ μέρος λόγου λήξῃ εἰς φωνῆεν μακρόν, ἐπιφέρῃ δὲ ἡ ἑξῆς συλλαβὴ ἕτερον φωνῆεν. τότε ἐκείνη ἡ συλλαβὴ βραχεῖα γίνεται, καὶ ἔστι μὲν καθ' ἑαυτὴν ἀμφίμακρος, ἐν δὲ τῷ στίχῳ δάκτυλος.

„Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρωνται δύο σύμφωνα, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον" καὶ ἑξῆς. Καλῶς εἶπε βραχεῖ ἢ βραχυνομένῳ. τὸ γὰρ ε̄ καὶ τὸ ο̄ βραχέα εἰσί, τὸ δὲ ᾱ, ῑ, ῡ ἐνίοτε μὲν βραχέα, ἐνίοτε δὲ μακρά. βραχυνόμενα οὖν λέγει τὰ δίχρονα. τὸ δὲ „καθ' ἓν ἄφωνόν ἐστιν" ἀντὶ τοῦ ἐν συλλήψει, τουτέστιν ἐν συμπλοκῇ συμφώνου, ὡς ἔστι τὸ κλε. τοῦτο οὐ δύναται γενέσθαι δύο μέρη λόγου, ὡς τὸ ἐκ Λακεδαίμονος· διὰ τοῦτο καθ' ἕν ἐστι, καὶ δύναται καὶ μακρὰ γίνεσθαι ἡ συλλαβὴ καὶ βραχεῖα καὶ κοινή. εἰσὶ δὲ ἐννέα ἄφωνα, β̄, γ̄, δ̄, κ̄, π̄, τ̄, θ̄, φ̄, χ̄, καὶ τέσσαρα ἀμετάβολα. λ̄, μ̄, ν̄, ρ̄· ταῦτα οὖν πρὸς ἄλληλα μιγνύμενα τριάκοντα δύο σχήματα ποιεῖ. Αὕτη δὲ ἡ δευτέρα διαφορὰ ἐπαγγέλλεται τὴν τοῦ παλιμβακχείου θεραπείαν, ὅταν ἡ μακρὰ συλλαβὴ ὁμοίως

λήξῃ μὲν εἰς φωνῆεν, ἔστι γε μὴν καὶ εἰς μέρος λόγου. ἀλλ' ἁπλούστερον εἶπεν· ἀντὶ γὰρ τοῦ

πλάχθη ἐπεὶ Τροίης

εἴρηκε

Πάτροκλέ μοι δειλῇ. 5

καὶ ἡ δευτέρα γὰρ κοινή ἐστιν, οὐχ ὥσπερ ἀπαιτεῖ ὁ λόγος, ἀλλ' ἑτέρῳ λόγῳ ὅτ' οὔτε κρεύει οὔτε μὴν εἰς μακρὰν λήγει.

„Ἡ ὅτε βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον 10

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης."

Ὁ τρίτος τρόπος τῆς κοινῆς συλλαβῆς οὕτω γίνεται, οἷον ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξεως ἡ μὴ ἐπιφερομένων ἐκείνων τῶν συμφώνων τῶν τὴν μακρὰν ποιούν- 15 των, ἀλλ' ἤτοι ἑνὸς ἢ μηδενός. πᾶσα γὰρ τελικὴ συλλαβὴ ἐκ τῆς ἀναπαύσεως χρόνον παραλαμβάνει, ὡς ἐν τῷ

οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον

καὶ

ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε 20

καὶ

ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα

καὶ ἐν τῷ

καὶ μέν οἱ Λύκιοι τέμενος τάμον.

Σημειωτέον δὲ ὡς οὐ καλῶς εἶπεν ὁ τεχνικὸς ἐν τούτῳ τῷ τρόπῳ „καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην." κἂν γὰρ ἡ ἑξῆς ἄρχηται ἀπὸ συμφώνου, λήγῃ δὲ ἡ πρώτη εἰς φωνῆεν, πάλιν κοινὴν ποιεῖ, οἷον τὸ

περὶ καλὰ ῥέξα, 30

ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα.

Ἡ τρίτη διαφορὰ τὸν λογεῖον θεραπεύει. καὶ ὧδε πά-

λιν, ὅταν βραχεῖά ἐστι κατὰ τὴν ἀρχήν, λήξῃ μέντοι εἰς μέρος λόγου, τῆς δευτέρας ἀρχομένης ἀπὸ φωνήεντος, οὕτως ἡ κοινὴ γίνεται.

Δεῖ δὲ γινώσκειν ὅτι γνήσιοι μὲν πόδες τοῦ ἡρωϊκοῦ μέτρου δάκτυλός ἐστι καὶ ἐν τοῖς δισυλλάβοις σπονδεῖος. οἱ δὲ κοινῶς λαμβανόμενοι ἀμφίμακρος, παλιμβακχεῖος, χορεῖος. τούτων ὁ μὲν ἀμφίμακρος κατὰ τὴν τρίτην συλλαβὴν καὶ κατὰ τὸν τρίτον τρόπον τῆς κοινῆς συλλαβῆς.

Διὰ τί δὲ τρεῖς τρόποι εἰσὶ τῆς κοινῆς συλλαβῆς, καὶ οὐ πλείους; Καὶ λεκτέον ὅτι πᾶσα συλλαβὴ ἤτοι μακρά ἐστιν ἢ βραχεῖα. καὶ ἴσμεν ὅτι ἡ μακρὰ διχῶς γίνεται, ἢ φύσει ἢ θέσει, ἡ δὲ βραχεῖα μονότροπός ἐστιν. ἕκαστος οὖν ὁ τρόπος τῇ κοινῇ παρεχώρησεν, ὃ μὲν φύσει ἐν τῷ

οὔ τί μοι αἰτίη ἐσσίν,

ὃ δὲ θέσει ἐν τῷ

Πάτροκλέ μοι δειλῇ,

καὶ ὁ βραχὺς ἐν τῷ

μέγα ἰάχοντες ἐπέδραμον.

„Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς." [Τρεῖς] αὐτός φησι τρόπους εἶναι τῆς κοινῆς συλλαβῆς, ὡς πρὸς εἰσαγομένους ἢ ὡς ἐν ὑπομνήματι γράφων· εἰσὶ δὲ πλείους, οὓς δεῖ ἡμᾶς διεξελθεῖν. Εἰσὶ τοίνυν δυοκαίδεκα τρόποι, δύο μὲν οἱ τὴν μακρὰν εἰς βραχεῖαν καταφέροντες, οἱ δὲ δέκα οἱ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέροντες. ὧν φημὶ δέκα, αὐτὸς τὸν ἕνα παρέθετο ἐν τῷ τέλει τῆς κοινῆς συλλαβῆς.

Ἔστι τοίνυν τῶν δύο τρόπων τῶν τὴν μακρὰν εἰς βραχεῖαν καταφερόντων πρῶτος ὁ διὰ τῶν φωνηέντων, ὃν καὶ αὐτός φησιν, „ἤτοι ὅταν εἰς φωνῆεν καταλήγῃ μα-

μακρόν." Τρεῖς θέλει παραφυλακὰς ἔχειν ὁ πρῶτος τρόπος ὁ τὴν μακρὰν εἰς βραχεῖαν καταφέρων, τὸ εἰς μέρος λόγου καταλήγειν, ὅπερ παρέλιπεν ὁ τεχνικός, καὶ τὸ εἰς φωνῆεν ὁμοίως λήγειν, καὶ τὸ τὴν ἐπιφερομένην λέξιν ἀπὸ φωνήεντος ἄρχεσθαι, ὡς 5

οὔ τί μοι αἰτίη ἐσσίν,

ὅπερ αὐτὸς παρέθετο. ἔληξε γὰρ εἰς μέρος λόγου· ἡ γὰρ μοι συλλαβὴ τέλειον μέρος λόγου ἀντωνυμία ἐστίν. ὁμοίως δὲ καὶ εἰς φωνῆεν λήγει, τὸ ῑ, καὶ τὴν ἐπιφερομένην ἀπὸ [φωνήεντος] τοῦ ᾱ [ἔχει ἀρχομένην]· ταῦτα οὖν 10 τὰ τρία ἑκάστη μακρὰ ἔχουσα εἰς βραχεῖαν καταφέρεται, ὅταν χρείαν σχῇ ὁ σκεπτόμενος ἀντὶ βραχείας αὐτῇ χρῆσθαι. ὅθεν καὶ κοινὴ λέγεται, δυναμένη καὶ τὸν χρόνον τῆς μακρᾶς ὑποδέξασθαι πρὸς τὴν χρείαν τοῦ σκεπτομένου, ὡς προείρηται ἡμῖν. 15

Δεύτερος τρόπος τοίνυν τῆς κοινῆς συλλαβῆς οὗτός ἐστιν ὁ τῶν συμφώνων, ὁ τὴν μακρὰν εἰς βραχεῖαν καταφέρων. ὅταν οὖν ἑνὶ τῶν βραχέων ἢ ἑνὶ τῶν διχρόνων συστελλομένῳ, ὅπερ ἔφη βραχυνομένῳ, ἐπιφέρηται δύο σύμφωνα ἐκ τῆς ἐπερχομένης συλλαβῆς, οὐχ ὁιαδήποτε 20 σύμφωνα, ἀλλ' ἵνα τὸ μὲν πρότερον αὐτῶν, ὅπερ ἔφη ὁ τεχνικὸς ἡγούμενον, ἄφωνόν ἐστι, τὸ δὲ δεύτερον ἀμετάβολον ὑπάρχει, ἐν ἐπιπλοκῇ, ὅπερ ἔφη ὁ Διονύσιος καθ' ἕν, τότε τὴν τοιαύτην συλλαβὴν ἔξεστι τῷ σκεπτομένῳ ἀντὶ βραχείας παραδέξασθαι. διὸ καὶ κοινὴ λέγε- 25 ται συλλαβή, χρόνον ἔχουσα καὶ μακρᾶς καὶ βραχείας πρὸς τὴν χρείαν τοῦ σκεπτομένου, ὡς τὸ Πάτροκλε, ὃ παρέθετο αὐτός. ἡ γὰρ κλε συλλαβή, ἔχουσα προηγούμενον ἄφωνον καὶ δεύτερον ἀμετάβολον ἐν ἐπιπλοκῇ, δύναται τὸ πρὸ αὐτῆς ο, τὸ τῆς τρο συλλαβῆς, μακρὸν 30 ποιεῖν καὶ οὐ ποιεῖν, ὡς βούλεται ὁ σκεπτόμενος. ὁμοίως καὶ ἡ τρο τὸ πρὸ αὐτῆς ᾱ καὶ μακρον ποιεῖ καὶ οὐ ποιεῖ, διὰ τὸ ἔχειν ἄφωνον καὶ ἀμετάβολον ἐν ἐπιπλοκῇ.

Ἰδού, οἱ δύο τρόποι ἐπληρώθησαν οἱ τὴν μακρὰν εἰς βραχεῖαν καταφέροντες.

Τῶν δὲ τὴν βραχεῖαν εἰς μακρὰν καταφερόντων δέκα τρόπων ὄντων παρὰ τῷ ποιητῇ, ἕνα φησὶν ὁ τεχνικός, καὶ αὐτὸν ὀλίγον τι ἐλλείποντα τοῦ τελείου.

„Ἡ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην." Λείπει τὸ ποίου φωνήεντος· οὐ γὰρ οἱουδήποτε φωνήεντος ἐπιφερομένης ἀρχομένου λέξεως, τὴν πρὸ αὐτοῦ βραχεῖαν, εἰς μέρος λόγου καταλήγουσαν, μακρὰν ἀποτελεῖ. Ποῖον οὖν φωνῆεν τοῦτο ἀποτελεῖ; Τὸ ῑ. ἰδοὺ καὶ [ὁ] αὐτὸς παρέθετο παράδειγμα, διὰ τῆς ἐπιφορᾶς τοῦ ῑ ἔδειξε τὴν βραχεῖαν μηκυνομένην, ὡς τὸ

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή·

τῆς θεν συλλαβῆς εἰς μέρος λόγου καταληγούσης καὶ βραχείας οὔσης, ἐπερχόμενον τὸ ῑ, καὶ οὐχ ἕτερον φωνῆεν, αρχόμενον λέξεως τῆς ἐπιφερομένης, ἐμήκυνε τὴν πρὸ αὐτοῦ βραχεῖαν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ·

οἱ δὲ μέγα ἰάχοντες

τὴν γα συλλαβὴν ἡ ἐπιφορὰ τοῦ ῑ, ἄρχουσα λέξεως, ἐμήκυνε.

Δεύτερος τρόπος ὁ διὰ τῆς ὀξείας τὴν βραχεῖαν εἰς μάκρὰν ἀναφέρων. Αὕτη οὖν ἡ ὀξεῖα, ἐπικειμένη τινὶ τῶν βραχέων ἤ τινι διχρόνῳ συστελλομένῳ, μηκύνει αὐτήν, ὡς ἐπὶ τοῦ

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

ἰδού, ὁ τελευταῖος πους πυρρίχιος μὲν ὑπάρχει, διὸ καὶ δοκεῖ προσάπτειν τῷ στίχῳ πάθος τὸ λεγόμενον μείουρον· ἐπειδὴ δὲ τὴν ὀξεῖαν ἔχει ἐπικειμένην ἐπὶ τοῦ ο, ἀντὶ τροχαίου παρείληπται, τῆς ὀξείας μηκυνούσης τὸ ο. καὶ οὐκ ἀκαίρως· δοκεῖ γὰρ ἡ ὀξεῖα, ἀνατεινομένη τῇ τε φωνῇ καὶ αὐτῇ τῇ θέσει καὶ διατυπώσει τοῦ χα-

φακτῆρος τοῦ ἑαυτῆς, τὴν βραχεῖαν ἀνακαλεῖσθαι καὶ ἀνάγειν εἰς ὑπερτέραν τάξιν. ὅθεν καὶ οἱ μουσικοὶ ἐπὶ τῶν συλλαβῶν τῶν ἐχουσῶν τὰς ὀξείας ὡς ἐπὶ τὸ πλεῖστον ἐμβραδύνουσι τοῖς κρούσμασι· προείρηται δὲ ἡμῖν ὡς οἱ παλαιοὶ τὴν μακρὰν ἐν διπλασίονι χρόνῳ τῆς βρα- 5 χείας ἐξεφώνουν. Ἡ ὀξεῖα οὖν τοιαύτην ἔχει φύσιν καὶ δύναμιν, ὡς μὴ μόνον ἐπικειμένη ἐπάνω βραχείας μηκύνειν αὐτήν, ἀλλὰ καὶ προκειμένη καὶ μετακειμένη δύνασθαι τῇ βραχείᾳ χρόνον χαρίεισθαι, ὡς ἐπὶ τοῦ

ἢ ναύτησι τέρας ἠὲ στρατῷ εὐρέϊ λαῶν. 10

τοῦ γὰρ τέρας ἡ ρας συλλαβή, βραχεῖα οὖσα, διὰ τῆς προκειμένης ὀξείας ἐμηκύνθη τῆς ἐπικειμένης τῇ τε συλλαβῇ· καὶ δοκεῖ ὁ στίχος πάθος ἔχειν τὸ λεγόμενον λαγαρόν, ἀλλ' ἀπαθὴς ὡς οἷόν τε γέγονε διὰ τῆς ἐπικειμένης ὀξείας. Μετακειμένη δὲ ὡς 15

αἴσια παρειπών· ὁ δ' ἀπὸ ἔθεν ὤσατο χειρί,

τῆς ἀπὸ βραχείας οὔσης, ἡ ὀξεῖα τῆς ἔθεν ἐμήκυνεν, ὅθεν καὶ αὐτὸς ὁ στίχος, δοκῶν κατὰ τὸν πόδα τοῦτον πάθος ἔχειν τὸ λεγόμενον λαγαρόν, ἀπαθὴς ὡς οἷόν τε γέγονε διὰ τῆς ἐπιφορᾶς τῆς ὀξείας. ἐπὶ δὲ τοῦ δευτέ- 20 ρου ποδὸς μὴ ἐσχηκὼς μηδεμίαν βοήθειαν, ἔμεινε τὸ προλεχθὲν πάθος τὸ λαγαρόν· τοῦ γὰρ παρειπών τὸ ᾱ οὐδεμιᾶς ἐκ τῶν δέκα τρόπων ἔτυχε βοηθείας τῶν ἀναφερόντων τὴν βραχεῖαν εἰς μακράν, ὥσπερ ἐπὶ τοῦ ἔθεν ἐπιφερομένης ὀξείας ἐμηκύνθη, δῆλον ὅτι παρὰ τῷ ποιη- 25 τῇ, φημὶ δὲ τῷ Ὁμήρῳ, [ᾧ] καὶ ἔξεστι τοῖς δέκα τρόποις κεχρῆσθαι τοῖς ἀναφέρουσι τὴν βραχεῖαν εἰς μακράν. ἡμῖν δὲ ἐκ τῶν δέκα τρόπων ἑνὶ μόνῳ ἔξεστι κεχρῆσθαι, ὃν μετ' ὀλίγον ἐροῦμεν.

Τρίτος τρόπος ὁ διὰ τῆς περισπωμένης. Αὕτη τοί- 30 νυν ἡ περισπωμένη προκειμένη τῆς βραχείας καὶ μετακειμένη — οὐ γὰρ δυνάμεθα εἰπεῖν ἐπικειμένη τῇ βραχείᾳ· ἀδύνατον γὰρ ἐπάνω βραχείας εὑρεῖν περισπωμέ-

νην, ἐκ δύο τόνων συγκειμένης καὶ ζητούσης λαβεῖν δύο χρόνους ἔχουσαν φύσει, οὐ θέσει (οἱ γὰρ τόνοι, ὡς φύσει ὄντες, καὶ τὰς φύσει μακρὰς ἴσασι καὶ οὐχὶ τὰς διὰ συμφώνων θέσεως μακρὰς γενομένας), τῆς δὲ βραχείας ἕνα χρόνον ἐχούσης καὶ μὴ δυναμένης ὑποδέξασθαι τῶν δύο χρόνων τὴν τονικὴν δύναμιν — αὕτη τοίνυν ἡ περισπωμένη τῇ πρὸ αὐτῆς βραχείᾳ ἢ τῇ μετ' αὐτὴν δύναμιν χαρίζεταί τινα καὶ ἀπὸ βραχείας εἰς μακρὰν ἀναφέρει παρὰ τῷ ποιητῇ, ὡς προείρηται. καὶ τῇ μὲν πρὸ αὐτῆς, ὡς ἐπὶ τοῦ 5 10

πάντῃ ἐποιχομένη, πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν·

τοῦ γὰρ πρίν τὸ ῑ συστελλόμενον ἐμηκύνθη διὰ τῆς συναιρέσεως τῆς ἀπὸ δύο φύσει χρόνων. ἀλλὰ καὶ δοκοῦν προσάπτειν τῷ στίχῳ πάθος τὸ λεγόμενον λαγαρόν, διὰ τῆς ἐπιφερομένης ὡς οἷόν τε ἐμηκύνθη περισπωμένης. τῇ δὲ μετ' αὐτήν, ὡς ἐπὶ τοῦ 15

οἰκῆας, ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν·

πάλιν γὰρ ἐν τῷ οἰκῆας τὸ ᾱ συστελλόμενον διὰ τῆς προκειμένης περισπωμένης μηκύνεται.

Τέταρτος τρόπος ὁ διὰ τῆς δασείας. Αὕτη τοίνυν ἡ δασεῖα ἐπικειμένη καὶ μετακειμένη καὶ προκειμένη τὴν βραχεῖαν εἰς μακρὰν ἀνάγει, ἐπικειμένη μὲν ὡς ἐπὶ τοῦ 20

ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα·

προκεφάλου γὰρ ὄντος τοῦ στίχου τούτου τὸ μὲν ἕ τὸ ἐν ἀρχῇ οὐ μετρεῖται, τὸ δὲ ὡς ὁ αντὶ σπονδείου παραλαμβάνεται, τῆς δευτέρας συλλαβῆς τὸ ὁ μόνον ἔχούσης καὶ μὴ ἐπιφερομένων δύο συμφώνων. ἀλλὰ δασεῖα ἐπικειμένη ἐμήκυνεν αὐτὸ τῷ πνεύματι καὶ τῇ διαστάσει τῶν φωνητικῶν ὀργάνων τῶν μᾶλλον διατεινομένων ἐν τῇ προφορᾷ τοῦ πλείονος πνεύματος. Προκειμένη δὲ ὡς ἐπὶ τοῦ 25 30

ἕλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε·

τοῦ γὰρ ἵνα τὴν $\overline{\text{να}}$ συλλαβήν, βραχεῖαν οὖσαν, ἡ δασεῖα τῷ μὲν ῑ ἐπικειμένη, τοῦ δὲ ᾱ προκειμένη, ἐμήκυνεν. ἀλλ᾽ εἴποι τις ὅτι τὸ μ̄ ἐπιφερόμενον ἐμήκυνε τὴν $\overline{\text{να}}$ συλλαβήν, βραχεῖαν οὖσαν. ἀλλ᾽ ἐπὶ πασῶν τῶν βραχειῶν τῶν ἀναφερομένων εἰς μακρὰς διὰ τούτων τῶν βοη- 5 θημάτων τοῦτο δεῖ σκοπεῖν, ὅταν λέγῃ τις [λέξιν] βραχεῖαν ἔχουσαν συλλαβήν, ἣν χρείαν ἔχει ὁ ποιητὴς εἰς μακρὰν ἀνάγειν διὰ τῆς δασείας ἢ τῆς ὀξείας ἢ τῆς περισπωμένης· [εἰ] ἐν ἑαυτῇ ἔχει ἡ λέξις τὸ ὀφεῖλον βοηθῆσαι τῇ βραχείᾳ, τῷ ἰδίῳ κέχρηται μᾶλλον βοηθήμα- 10 τι ἤπερ τῷ ξένῳ. εἰ μὴ εἴποι τις ὅτι, ὥσπερ σύμφωνα τὰ ἐπιφερόμενα τῇ προκειμένῃ βραχείᾳ διὰ τῆς αὐτῶν ἐπιφορᾶς χρόνον χαρίζονται, οὕτω καὶ ἡ ἐπιφερομένη ἐπὶ τούτων βοήθεια μᾶλλόν ἐστι δραστικωτέρα. Ἐπιφερομένη ἡ δασεῖα μηκύνει τὴν πρὸ αὐτῆς βραχεῖαν, ὡς 15 ἐπὶ τοῦ

αἴ κε κακὸς ὥς νόσφιν ἀλυσκάζω πολέμοιο·

τὸ γὰρ κακός τὴν $\overline{\text{κος}}$ συλλαβὴν βραχεῖαν ἔχον, ἡ δασεῖα ἐπιφερομένη τοῦ ὥς ἐμήκυνε.

Πέμπτος τρόπος ὁ διὰ τῆς στιγμῆς. Αὕτη τοίνυν 20 ἡ στιγμὴ . . . . . καὶ ἡ τυχοῦσα μὲν ὡς ἐπὶ τοῦ

μή μ᾽ ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι·

ἐνταῦθα γὰρ τὸ $\overline{\text{ος}}$ ἐμήκυνεν ἡ πασῶν τῶν στιγμῶν πλάττων, ἡ ὑποδιαστολή. μάλιστα δὲ ἡ τελεία τῇ πρὸ αὐτῆς βραχείᾳ δύναμιν χαρίζεται, καὶ ἀντὶ μακρᾶς αὐ- 25 τὴν παραλαμβάνομεν παρὰ τῷ ποιητῇ. καὶ οὐκ ἀκαίρως· τῇ γὰρ σιωπῇ τῆς στιγμῆς χρόνον ἡμῖν ἐκδιδούσης δοκεῖ μηκύνεσθαι ἡ βραχεῖα, ὡς ἐπὶ τοῦ

καὶ πόσιας· ὁ δ᾽ ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει.

τοῦ γὰρ πόσιας ἡ $\overline{\text{ας}}$, βραχεῖα οὖσα, διὰ τῆς ὑποτε- 30 λείας στιγμῆς μηκύνεται· ὡς [γὰρ] ἐμάθομεν ἐπὶ τῆς στιγμῆς, τοῦ δέ ἐπιφερομένου καὶ μὴ προκειμένου τοῦ μέν ἡ ὑποτελεία τίθεται.

Ἕκτος ὁ διὰ τῶν ἀμεταβόλων. Ταῦτα τοίνυν τὰ ἀμετάβολα ἀρχόμενα λέξεως τὴν πρὸ αὐτῆς βραχεῖαν μακρὰν ποιεῖ, καὶ μάλιστα τὸ ρ̄, ὡς ἐπὶ τοῦ

ἀλλὰ μέγα ῥέξας·

τὸ γὰρ ρ̄ τοῦ ῥέξας τὴν πρὸ αὐτοῦ γα̅ συλλαβήν, βραχεῖαν οὖσαν, ἐμήκυνεν. εἰ δέ τις εἴποι, μεμνημένος τοῦ προλεχθέντος ἡμῖν λόγου, ὅτι οὐχ ἡ ἐπιφορὰ τοῦ ρ̄ ἐμήκυνε τὸ ᾱ, ἀλλ' ἡ προκειμένη τοῦ γα̅ ὀξεῖα, ἥ τε λέξις ἔχουσα ἰδίαν ἐπικουρίαν ξέψης οὐ δέεται, ὡς προείρηται, οὐ καλῶς ἐρεῖ, διὸ ἐφ' ἕτερον στίχον ζητήσας εὕροι διὰ τῆς τοῦ ρ̄ καὶ μόνου βοηθείας μηκυνομένην βραχεῖαν, ὡς ἐπὶ τοῦ

ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτοῖσι βόεσσιν·

ἐνταῦθα γὰρ ἡ δέ διὰ τοῦ ρ̄ μηκύνεται μόνου. Διὰ τί δὲ ἔφην μάλιστα τὸ ρ̄ ἐκ τῶν τεσσάρων ἀμεταβόλων μηκύνειν τὴν πρὸ αὐτοῦ βραχεῖαν; Ἐπειδὴ οὐ μόνον τῷ ποιητῇ ἔξεστι τοῦτο ποιεῖν, ἀλλὰ καὶ ἡμῖν τοῖς μεταγενεστέροις, καὶ τούτῳ μόνῳ τῷ τρόπῳ ἐκ τῶν δέκα τρόπων ἔξεστι καὶ ἡμῖν κεχρῆσθαι, καὶ οὐχ ὅλων ἀλλὰ τῇ τοῦ ρ̄ ἐπιφορᾷ μόνον μηκύνειν τὴν βραχεῖαν, τῷ δὲ ποιητῇ καὶ τῇ τῶν ἄλλων, τοῦ μὲν λ̄, ὡς ἐπὶ τοῦ

ποσσὶ δ' ὑπὸ λιπαροῖσι·

τοῦ δὲ μ̄,

θυμὸν ἀπὸ μελέων δῦναι δόμον·

τοῦ δὲ ν̄, ὡς ἐπὶ τοῦ

ἀλλ' ὕδατι νίζοντες ἄπρ βρότον αἱματόεντα.

Οἱ ἄλλοι τέσσαρες τρόποι διὰ τοῦ δ̄, π̄, σ̄, τ̄ ἀποτελοῦνται· ἕκαστον γὰρ τούτων ἄρχον λέξεως παρὰ τῷ ποιητῇ τὴν πρὸ αὐτοῦ βραχεῖαν μηκύνει, ὅταν χρεία γένηται. καὶ οὐκ ἀκαίρως· ἐπειδὴ γὰρ ἐν τισι λέξεσιν ἐχούσαις ἕκαστον τούτων, φημὶ δὲ τὸ δ̄, π̄, σ̄, τ̄, ἀποτελοῦνται [διπλασιασμοὶ] καὶ ἔξεστι τῷ ποιητῇ καὶ ἡμῖν διὰ τὸ μέτρον διπλασιάζειν αὐτά, ὡς ἐπὶ τοῦ ἔδεισεν,

ἔδδεισε δ' ὁ γέρων,
καὶ ὡς ἐπὶ τοῦ
ὁππότε δὴ καὶ ἐμοί,
καὶ ὡς ἐπὶ τοῦ ποσί,
ποσσὶ [δ' ὑπὸ λιπαροῖσι], 5
καὶ ἐπὶ τοῦ ὅτι
ὅττι κεν εἴπω,
τούτου χάριν καὶ ἑνὸς ὑπάρχοντος αὐτῶν, ἀρχομένου λέξεως, φυσικὴν συνήθειαν ἐχόντων αὐτῶν ἔν τιαι διπλασιάζεσθαι, ὡς προείρηται, ἐκείνῳ τῷ διπλασιασμῷ νῦν 10
κεχρήμεθα ὡς δυναμένῳ τὴν βραχεῖαν εἰς μακρὰν ἀναγαγεῖν. καὶ ἐπὶ μὲν τοῦ δ, ὡς ἐπὶ τοῦ
κεῖσθ' · ὃ δ' ἡνίοχον μέθεπε·
ἐπὶ τοῦ π δέ, ὡς ἐπὶ τοῦ
ὦ υἱὲ Πετεῶο, διοτρεφέος βασιλῆος· 15
ἐπὶ δὲ τοῦ σ, ὡς ἐπὶ τοῦ
Ἀρτέμιδί σε ἔγωγε ἐΐσκω
καὶ
οἶδα ὅτι σὺ μὲν ἐσθλός
καὶ 20
ῥάβδῳ πεπληγυῖα κατὰ συφεοῖσιν ἐέργνυ·
ἐπὶ δὲ τοῦ τ, ὡς ἐπὶ τοῦ
μήτε σύγ' Ἄρηα τό γε δείδιθι, μή τέ τιν' ἄλλον
[καὶ]
στῆ δ' ἄρ' ὑπ' Αἴαντος σάκεϊ Τελαμωνιάδαο. 25

Ἰδοὺ τοὺς δέκα τρόπους ἐπληρώσαμεν τοὺς τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέροντας.

Ἔστι δὲ ἐν τοῖς κοινοῖς μέτροις καὶ ἡ καλουμένη συναικφώνησις, ἣ καὶ συνίζησις λέγεται. ὅταν γὰρ φωνηέν- 30
των ἐπάλληλος γένηται ἡ προφορά, τότε γίνεται ἡ συνίζησις εἰς μίαν συλλαβήν. Διαφέρει δὲ συναλοιφῆς. ἡ μὲν γὰρ γραμμάτων ἐστὶ κλοπή, ἡ δὲ χρόνων· καὶ ἡ μὲν

συναλοιφή, ὡς λέγεται, φαίνεται, ἡ δὲ οὔ. Τρόποι δὲ συνεκφωνήσεως τέσσαρες, ἢ δύο μακρῶν εἰς μίαν,

ἢ οὐχ ἅλις ὅττι γυναῖκας·

δευτέρα ἡ βραχείας καὶ μακρᾶς, ὡς τὸ

ὁρόων ἐπὶ οἶνοπα πόντον. 6

ὑμῖν μὲν θεοὶ δοῖεν,

χρυσέῳ ἀνὰ σκήπτρῳ·

τρίτη ἡ μακρᾶς καὶ βραχείας,

θώρακα ῥῆξε δηΐων ἀμφὶ στήθεσφιν·

ἡ τετάρτη δύο βραχειῶν εἰς μίαν βραχεῖαν, σπανίως 10 δέ, οἷον

σείων μελίην Πηλιάδα·

ἔστι γὰρ Ἰωνικὸν ἀπὸ μείζονος. Πολλάκις δὲ συνεκφώνησις μὴ νοηθεῖσα μέτρον ἀμείβει· τὸ γὰρ

ἢ οὐχ ἅλις ὅττι γυναῖκας 15

ἀναπαιστικόν ἐστιν.

§ 12.

ΠΕΡΙ ΛΕΞΕΩΣ.

„Λέξις ἐστὶ μέρος ἐλάχιστον." Διεξελθὼν ὁ τεχνικὸς περὶ τοῦ στοιχείου καὶ περὶ τῶν συλλαβῶν, λοιπὸν παραβάλλει εἰς τὸν περὶ τῆς λέξεως λόγον. εἰκότως· καὶ γὰρ ἀπὸ τῶν στοιχείων συλλαβαί, ἀπὸ δὲ συλλαβῶν αἱ λέξεις, ἀπὸ δὲ λέξεων διάνοιαι, ἀπὸ δὲ διανοιῶν ὁ τέλειος λόγος, ὥστε οὖν κατὰ τάξιν τοὺς εἰσαγομένους παιδεύει. καί φησι λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. Κακῶς δὲ ὡρίσατο· ταὐτὸν γὰρ καὶ τὸ στοιχεῖον. ἀλλ' ἔδει εἰπεῖν μέρος ἐλάχιστον διανοίας. Καὶ λέγομεν ὅτι ὡς ἐν εἰσαγωγῇ τὰ ποικίλα ἐκφεύγει· τῷ γὰρ εἰσαγομένῳ ζητήματα μυρία ὑπήντα περὶ διακρίσεως καὶ συντάξεως λόγου καὶ διανοίας.

Τῷ ὅρῳ τούτῳ λείπει τι, εἰ γὰρ ὡς τέλειον αὐτὸν

λάβοιμεν; εὑρίσκεται καὶ ἓν γράμμα καὶ μία συλλαβὴ λέξις οὖσα· μέρος γάρ ἐστιν ἐλάχιστον τοῦ λόγου καὶ ἑκάστη συλλαβὴ καὶ ἕκαστον γράμμα. καὶ οὐκ ἔχομεν εἰπεῖν ὅτι ἀγνοῶν ὁ τεχνικὸς ἐλλιπῶς ἔφη τὸν ὅρον, ἀλλ' ὡς πολλάκις εἴρηται, ὡς πρὸς εἰσαγομένους ἤτοι ἐν ὑπομνήματι γράφων τινὰ παρεσιώπησε. Τί δὲ ἐλλιπές; Τοῦτο, νοητόν τι σημαῖνον, εἴπωμεν οὖν ἄνωθεν τὸν ὅρον μετὰ τῆς προσθήκης αὐτοῦ, καὶ εὑρίσκομεν αὐτὸν ἀνελλιπῆ καὶ τέλειον, τί ἐστι λέξις; μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου, νοητόν τι σημαῖνον, ἰδοὺ ἡ προσθήκη αὕτη οὐκέτι ἐνδίδωσιν οὐδὲ συγχωρεῖ ὑπονοεῖν τὴν συλλαβήν· οὐ γὰρ νοητόν τι σημαίνει, ὑπεξαιρουμένων τῶν μονογραμμάτων καὶ μονοσυλλάβων λέξεων. ἐκεῖναι γὰρ οὐ διὰ τὸ μονογράμματα εἶναι ἢ μονοσύλλαβα νοητόν τι σημαίνουσιν, ἀλλὰ διὰ τὸ ἐν ταῖς λέξεσι κατατετάχθαι.

„Τοῦ κατὰ σύνταξιν λόγου." Τοῦ ἐντελοῦς κατὰ σύνταξιν ἢ καὶ πρεπούσῃ τάξει προφερομένου λόγου.

Ὡς δὲ ἀπὸ τοῦ ἕξω ἕξις, οὕτως ἀπὸ τοῦ λέξω λέξις, λέγω δὲ οὐ [τὸ] εἰκῆ, ἀλλ' ἀπὸ τοῦ σημαίνοντος τὸ σημαινόμενον· ἴδιον γὰρ λέξεως σημαντικὸν ἔχειν, συλλαβῆς δὲ ἴδιον τὸ μηδὲν σημαίνειν. τὸ δὲ λέγω σημαίνει τρία, τὸ ἀπαγγέλλω, τὸ ἀριθμῶ, τὸ ἐπιλέγομαι· λέξις οὖν ἡ σημασίας ἀπαγγελτική, ἢ ἡ πρὸς σύνταξιν λόγου καταριθμουμένη, ἢ ἣν πᾶς συνεκλέγεται μᾶλλον τῆς ἀσήμου φωνῆς.

Διαφέρει δὲ σύνταξις συνθέσεως. σύνταξις μέν ἐστι λέξεων παράθεσις ὁμοῦ μὲν γεγραμμένων, μὴ ὁμοῦ δὲ νοουμένων· σύνθεσις δὲ μιᾶς ἢ δύο ἢ τριῶν λέξεων ἕνωσις ὑφ' ἕνα τόνον καὶ ὑφ' ἓν πνεῦμα. *) Τὴν δὲ σύν-

*) Ἕνωσίς ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή. ἕνωσις δὲ εἴρηται διὰ τὸ εἰς ἕν συνωθεῖσθαι τὰ πράγματα. κατὰ δὲ τρόπους δέκα λέγεται ἡ ἕνωσις, α' κατ' οὐσίαν. β' κα-

ταξιν ἐνταῦθα τὴν πεζὴν εἶπε φράσιν, ἥ τις πεζὴ λέγεται, ὅτι δι' αὐτῆς, ὡς δημοσίας ὁδοῦ, πάντες ὁδεύουσι καὶ ποιηταὶ καὶ πεζολόγοι· πεζὴν γὰρ λέγει τὴν κοινήν. τῇ μέντοι ποι ..... μόνοι χρῶνται ὅσοι τῇ κοινωνίᾳ τῶν νοημάτων τῶν ἐντελῶν ἄκραν ἔνωσιν. ἢ ὁρίστέον οὕτως· λέξις ἐστὶ φωνὴ ἐγγράμματος, νοητόν τι ἀποτελοῦσα. ἐγγράμματος δὲ φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἀποτεθησαυρισμένου πνεύματος. Εἰ δὲ λέγοις ὡς οἱ παραπληρωματικοὶ σύνδεσμοι λέξεις εἰσὶ καὶ οὐκ ἔχουσι νοητόν, φαμὲν ὡς πρῶτον ἔχουσιν, ὡς ὁ γέ μείωσιν,

τοῦτό γέ μοι χάρισαι,

καὶ ἔμφασιν, καλῶς γε· ὁ πέρ ἐναντίωσιν,

μηδ' οὕτως ἀγαθός περ ἐών

καὶ

ἀνάσχεο κηδομένη περ·

παραπληρωματικοὶ δὲ καλοῦνται, ὅτι διάφορα δηλοῦντες τὴν διάνοιαν. εἰ δὲ τινες οὐ σημαίνουσιν, οὐ τῶν ὅλων κρατήσουσιν. ἄλλως τε λέξεως ἴδιον τὸ ἐγκλίνεσθαι· ἐγκλίνεται δὲ ὁ θήν, οἷον

οὔ θην Ἕκτορι πάντα νοήματα,

καὶ ὁ κέν, ὄφρα κεν, καὶ ὁ τά, οὗτοι. Καλῶς δὲ εἶπε „τοῦ κατὰ σύνταξιν λόγου." πολλαχῶς γὰρ λέ-

---

θ' ὑπόστασιν. γ' κατὰ σχέσιν. δ' κατὰ παράθεσιν. ε' καθ' ἁρμονίαν. ς' κατὰ κρᾶσιν. ζ' κατὰ φύσιν. η' κατὰ σύγχυσιν. θ' κατὰ σωρείαν. ι' κατὰ συναλοιφήν. καὶ κατὰ οὐσίαν μὲν ἕνωσίς ἐστιν ἐπὶ τῶν ὑποστάσεων, τουτέστι τῶν ἀτόμων· καθ' ὑπόστασιν δὲ ἐπὶ τῶν οὐσιῶν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος· κατὰ σχέσιν δὲ ἐπὶ τῶν γνωμῶν, ὡς εἰς ἓν θέλημα· κατὰ παράθεσιν δὲ ὡς ἐπὶ τῶν σανίδων· καθ' ἁρμονίαν δὲ ἐπὶ τῶν λίθων· κατὰ κρᾶσιν δὲ ἐπὶ τῶν ὑγρῶν, οἴνου καὶ ὕδατος· κατὰ φύσιν δὲ ἐπὶ τῶν ξηρῶν καὶ ὑγρῶν, ἀλεύρου καὶ ὕδατος· κατὰ σύγχυσιν δὲ ἐπὶ τῶν τηκτῶν, κηροῦ καὶ πίσσης· κατὰ σωρείαν δὲ ἐπὶ τῶν ξηρῶν, σίτου καὶ κριθῆς· κατὰ συναλοιφὴν δὲ ἐπὶ τῶν ἀποσβεσθέντων καὶ αὖθις ἀποκαθισταμένων, οἷον λάμπαδος πυρὸς προσερχομένης καὶ πάλιν ἀποκαθισταμένης.

γεται λόγος, σημαίνει γὰρ [τὸν] τῶν ἐξαναλωμάτων, ὃς λέγεται καὶ τραπεζικός, οὗ μέμνηται καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς· τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. τὸν γεωμετρικόν, 5
οἷον ὃν ἔχει λόγον τὸ ἡμίπηχυ πρὸς τὸν πῆχυν, τοῦτον καὶ τὸ δίπηχυ πρὸς τὸ τετράπηχυ. ἡ φροντίς, ὡς παρὰ Μενάνδρῳ·

οὔτε λόγον ἡμῶν οὔτ' ἐπιστροφὴν ἔχων.

ὁ ἐκ λημμάτων καὶ ἐπιφορᾶς, οἷον εἰ ἡμέρα ἐστί, 10
[φῶς ἐστί]· τοῦτο λῆμμα, ἐπεὶ ὡς ὁμόλογον εἴληπται τὸ ἡμέρας οὔσης φῶς εἶναι. ἀλλὰ μὴν ἡμέρα ἐστί· φῶς ἄρα ἐστί· τοῦτο ἐπιφορά· τῷ γὰρ προειλημμένῳ ἐπηνέχθη. ἡ λογικὴ κατασκευή, καθό φαμεν τοὺς ἀνθρώπους ἔχειν λόγον, τὰ δὲ ἄλογα μή, ἢ δύναμις, ὡς 15
λέγομεν κατὰ φυσικὸν λόγον ὀδοντοφυεῖν τὰ ζῶα καὶ γένεια φέρειν, οἷον κατὰ φυσικὰς καὶ σπερματικὰς δυνάμεις. ἡ συμπαρεκτεινομένη φωνὴ τῷ διανοήματι, οἷον τὸ ἄπελθε· τοῦτο γὰρ καὶ λέξις, ὅτι τετύχηκε νοῦ, καὶ λόγος διὰ τὸ ἐντελὲς τοῦ δηλουμένου. ὁ δηλῶν τὸ αὐτοῦ 20
τέλος, καθό τινος εἰπόντος ἐλλιπῶς φαμὲν τελείωσον τὸν λόγον. ὁ ἔκτασιν ἔχων ποίου ἀπαρτισμοῦ, οἷον καλός ἐστιν ὁ κατὰ Μειδίου λόγος Δημοσθένει. αὐτὸ τὸ βιβλίον, οἷον χρῆσόν μοι τὸν κατ' Ἀνδροτίωνος λόγον. ἡ ὑπόθεσις, 25
ἤδη. λέξω τὸν λόγον τοῦ δράματος.

Ἵνα δὲ μή τις ἐπιλάβηται τοῦ τεχνικοῦ, ὅτι μὴ προδιδάξας ἡμᾶς τί ἐστι λόγος, ... ὥσπερ ἐὰν ἐρωτήσας τις ποῦ μένει Πλάτων ἀκούῃ ὅπου μένει Σω- 30
κράτης, μὴ εἰδὼς μηδὲ τὴν Σωκράτους οἰκίαν, διὰ τοῦτο εὐθέως ἐπιφέρει τὸν ὅρον τοῦ λόγου.

ματα ἢ δύο σύνδεσμοι ἤ τι τοιοῦτον, πλὴν τῶν ῥημάτων· δύο γὰρ ῥήματα αὐτοτελῆ ἐν ἑνὶ λόγῳ οὐχ εὑρίσκεται. Μεταξὺ δὲ λόγου ἐπῆλθέ μοι θαῦμα τοῦ κρατίστου τῶν ποιητῶν, ὃς ἐν πᾶσιν ἀπαραλείπτως θείᾳ τινὶ ἐπίπνοίᾳ ἐκεκόσμητο· καὶ γὰρ ἔστιν Ὁμηρικὸς στίχος τὰ ὀκτὼ μέρη τοῦ λόγου ἔχων οὗτος·

πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον.

τὸ μὲν γὰρ πρός ἐστι προθέσεως, τὸ δέ συνδέσμου, τὸ μέ ἀντωνυμίας, τὸ τόν ἄρθρου, τὸ δύστηνον ὀνόματος, τὸ ἔτι ἐπιῤῥήματος, τὸ φρονέοντα μετοχῆς, τὸ ἐλέησον ῥήματος. 1

Ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται. Τινὲς τὴν προσηγορίαν ὄνομα ἠθέλησαν κατ' ἰδίαν τάξαι, ἵνα ᾖ ἓν μέρος λόγου. ἀλλ' οὐ καλῶς· οὐ γὰρ ἔξω τοῦ ὅρου ἐστὶ τοῦ ὀνόματος. διὸ καὶ αὐτὸς ἐνταῦθά φησιν ὅτι ἡ προσηγορία, τουτέστι τὸ προσηγορικὸν ὄνομα, ὑποβέβληται τῷ ὀνόματι, τουτέστιν ὑπὸ τὸν ὅρον τοῦ ὀνόματος ὑπάρχει, ὡς καὶ ἄλλα εἴδη πολλά ἐστιν ὀνομάτων, ὡς εἰσόμεθα σὺν θεῷ. 1

Οἱ Στωϊκοὶ ὀνόματα μὲν τὰ κύρια ἔλεγον, τὰ δὲ προσηγορικὰ οὐκ ὀνόματα. Καί φασιν ὡς διάφορος ἡ κλίσις κυρίων καὶ προσηγορικῶν· Πάρις γὰρ Πάριδος ὅτι κύριον, μάντις δὲ μάντιος ὅτι προσηγορικόν. εἰ δὲ κλίσιν προσδεξαίμεθα τοῦ μερισμοῦ κριτήριον, τὸ λέοντος καὶ λέγοντος ὑφ' ἓν τάξεται μέρος, τὸ δὲ ἡῖδος καὶ μάντεως οὐχ ὑφ' ἕν. Ἔτι φασίν, ἀπὸ κυρίων προσηγορικά. ἀλλ' εἴπερ ἐκ τῶν πρωτοτύπων μεριοῦμεν τὰ παράγωγα, τὸ Ἑκτόρεον καὶ αἴγεον διαστελοῦμεν, τό τε εὐγενέστερος καὶ ἐῤῥωμέστερος. Ἔτι τὰ κύρια λέγουσι μὴ ἔχειν θηλυκά, τὰ προσηγορικὰ δέ. ἀλλ' εἰ παρασχηματισμὸς μερίζει τὰς λέξεις, χωριζέσθω ὁ ἄνθρωπος παρὰ τὸ ὁ χρυσός καὶ ὁ ἄργυρος, καὶ μὴ εἴη τοῦ αὐτοῦ μέρους, ἐπειδὴ ὁ μὲν ἄνθρωπος παρασχηματίζει θηλυκόν, ὁ δὲ χρυσὸς καὶ ὁ ἄργυρος μονογενὲς ἔχουσιν ὄνο- 2 2 3 0

μα. Λεκτέον οὖν, ὡς παντὸς μέρους τὰ ἴδια δεῖ σκοπεῖν καὶ τὰ παρεπόμενα, καὶ οὕτω ποιεῖσθαι τὸν μερισμόν. ἴδιον δέ ἐστι τὸ τῷ ἑνὶ μόνῳ ἀνῆκον; ἑτέρῳ δὲ μὴ ἐπικοινωνοῦν, ὡς ἀνθρώπου τὸ γελαστικόν· παρεπόμενα δὲ λευκὸν ἢ μέλαν, ταχὺ ἢ βραδύ. οὕτω δὲ καὶ ὀνόματος ἴδιον μὲν τὸ δηλοῦν τὴν τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων ποιότητα, παρεπόμενον δὲ τὸ κύριον ἢ προσηγορικὸν εἶναι. ὥστε καθὸ ποιότητα δηλοῖ τὸ κύριον, ὄνομά ἐστι, κἂν μὴ εἴη κύριον. 5 10

§ 14.

ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

„Ὄνομά ἐστι μέρος λόγου πτωτικόν, σῶμα ἢ πρᾶγμα σημαῖνον." Ἀκριβεστάτην περὶ τῶν προκατειλημμένων διδασκαλίαν ὁ τεχνικὸς παραδούς, ἐπὶ τὸ κυριώτατον τῆς αὐτοῦ διδασκαλίας ἐπιτρέχων, καὶ τὴν ἀρχὴν τῶν τοῦ λόγου μερῶν ποιούμενος, περὶ τοῦ ὀνόματος διαλαμβάνει. ἔνθα καὶ ἀναγκαῖόν ἐστι πρότερον περὶ τοῦ ἰδίου καὶ φυσικοῦ μέρους ἑκάστου διαλαβεῖν, ἅμα δὲ καὶ τῆς τάξεως. 15 20

Τοῦ μὲν ὀνόματος ἴδιον τυγχάνει τὸ οὐσίαν σημαίνειν. ἔστι δὲ οὐσία αὐθύπαρκτόν τι καθ' ἑαυτό, μὴ δεόμενον ἑτέρου εἰς τὸ εἶναι. τῶν δὲ οὐσιῶν αἱ μέν εἰσιν αἰσθηταί, αἱ δὲ νοηταί. Τοῦ ῥήματος ἴδιον τὸ σημαίνειν πρᾶγμα, ὃ διὰ τῶν ἀνθρώπων κατορθοῦται ἢ ὡς ἐνεργούντων ἢ ὡς πασχόντων. Τῆς δὲ μετοχῆς μετουσία· μετουσία δέ ἐστιν κοινωνία δύο πραγμάτων. μεταξὺ δέ ἐστιν ἡ μετοχὴ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, τουτέστι δύο τινῶν. Τοῦ δὲ ἄρθρου ἴδιον τὸ ἀναφορὰν σημαίνειν· ἀναφορὰ δέ ἐστιν ἀναπόλησις καὶ ὑπόμνησις προεγνωσμένου ἀπόντος προσώπου. Τῆς δὲ ἀντωνυμίας ὁρίζειν 25 30

καθέζεσθαι. τοῦτο δὲ οὐχ ἑνός ἐστι μόνου παρεπόμενον, οἷον τὸ μέλαν Αἰθίοπι, κόρακι, πίσσῃ. οὕτως καὶ γένος καὶ εἶδος καὶ τὰ λοιπὰ οὐ μόνου τοῦ ὀνόματος.

Πορφυρίου. Παρεπόμενόν ἐστιν ὃ οὐκ ἀπὸ σκοποῦ γίνεται οὐδὲ κατὰ πρόνοιαν τοῦ ποιοῦντος, ἀλλ' ἔκ τινος παρεπομένου, ὡς τοῖς ξέουσι τὰ ξύλα συμβαίνει ἑλικοειδεῖς ἐπαναστάσεις γίνεσθαι, οὐχὶ ταῦτα τοῦ τέκτονος ἐπιτηδεύοντος. οὕτως οὖν καὶ ἐπὶ τοῦ ὀνόματος. οὐ διὰ τοῦτ' ὄνομα γεγένηται, ἵνα ταῦτα αὐτῷ παρέπηται — ἓν γὰρ καὶ μόνον τοῦ ὀνόματος, σῶμα ἢ πρᾶγμα σημαίνειν —, ἅμα [δὲ] τῷ γενέσθαι προσηρμόσθη αὐτῷ.

„Γένη μὲν οὖν ἐστὶ τρία." Τινὲς δύο μόνα γένη λέγουσι. παρὰ γὰρ τὸ θῆλυ καὶ τὸ ἄῤῥεν οὐκ ἔστιν ἕτερον γένος· τῶν γὰρ ὄντων τὰ μὲν ἄῤῥενά ἐστι, τὰ δὲ θήλεα. τὰ δὲ μήτε ἄῤῥενα μήτε θήλεα οὐδέτερα καλεῖ[ται], ἐκ τῆς τῶν προειρημένων ἀναιρέσεως ἰδίου ὀνόματος τιθεμένου τούτοις. δεῖ γὰρ εἰδέναι ὅτι τὴν διάκρισιν τῶν γενῶν ἡ γραμματικὴ οὐ κατὰ τὴν ἀλήθειαν ποιεῖ, ἀλλὰ κατὰ τὴν σύνταξιν τῶν ἄρθρων καὶ τὴν εὐφωνίαν. ἐπεὶ πόλις καθ' ἑαυτὴν οὔτε ἄῤῥεν ἐστὶν οὔτε θῆλυ· δίχα γὰρ τῶν οἰκούντων, τουτέστι θήλεος καὶ ἄῤῥενος, οὐκ ἂν ἦν οὔτε θῆλυ οὔτε ἄῤῥεν.

„Ἔνιοι δὲ προστιθέασι τούτοις ἄλλα δύο, κοινόν τε καὶ ἐπίκοινον." Κοινὸν δέ ἐστιν ὃ τὰς μὲν πτώσεις ἔχει τὰς αὐτάς, ὑποτάσσεται δὲ ἄρθροις διαφόροις, ἵππος, βοῦς, λίθος καὶ τὰ ὅμοια. λέγομεν οὖν ὁ ἵππος καὶ ἡ ἵππος, ὁ βοῦς καὶ ἡ βοῦς, ὁ λίθος καὶ ἡ λίθος, καὶ ἐν ἁπάσαις ταῖς πτώσεσιν ὁμοφωνεῖ, μόνων τῶν ἄρθρων ἀλλασσομένων. Ἐπίκοινον δέ ἐστιν, ὃ διὰ μιᾶς λήξεως τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν σημαίνει, τῷ ἑτέρῳ τῶν ἄρθρων προκατειλημμένον, ἤτοι ἀρσενικῷ ἢ θηλυκῷ. Ὁ τεχνικὸς δέ, ὅταν μὴ ἀρέσκηταί τινι ὑφ' ἑτέ-

ρων εἰρημένῳ, ἵνα μὴ δοκοίη κατ' ἄγνοιαν παραλιμπάνειν, παρεμφαίνει διὰ τῆς τινὲς λέξεως ὅτι οὐκ ἀρέσκεται τῇ δόξῃ.

Κοινόν ἐστι τὸ ὑποκείμενον ἀρσενικῷ καὶ θηλυκῷ ἄρθρῳ καὶ ἀμφοτέροις ἀνῆκον τοῖς χαρακτῆρσιν, ὡς, πατρῴαν οὐσίαν κοινὴν ἀδελφῶν φαμέν. Ἐπίκοινον δέ ἐστι τὸ μὴ τοῖς [δύο] ἄρθροις ἀλλ' ἑνὶ ὑποκείμενον, κατὰ δὲ τὸ σημαινόμενον ἀνῆκον ἄμφω τοῖς γένεσι. τὸ δὲ ἐπίκοινον δὲ σημαινομένῳ μέν, οὐκ ἄρθρῳ δέ, ὡς ἐπὶ χωρίου τὸν μὲν ἀπολαύοντα ἐξ ἴσου κοινωνεῖν φαμέν, ἐπικοινωνεῖν δὲ τὸν μέρους τινὸς ἀπολαύοντα, οὐχὶ παντός. τότε δὲ τὸ ἐπίκοινον ἐν ἑνὶ ἄρθρῳ τὰ δύο ἔχει γένη, ὅταν ὁ χαρακτὴρ ἑνὸς γένους ἐστὶ δεκτικός, οἷον ἡ περιστερά, ὁ ἀετός, ὁ κόραξ, ἡ κορώνη.

Πορφυρίου. Διαφέρει τὸ κοινὸν τοῦ ἐπικοίνου, ὅτι τὸ μὲν κοινὸν καὶ ἑκατέροις τοῖς ἄρθροις χρῆται καὶ... τοῖς σημαινομένοις, τὸ δὲ ἐπίκοινον ἑκατέροις τοῖς σημαινομένοις χρῆται, ἑνὶ δὲ ἄρθρῳ. Ὠνομάσθη δὲ τὸ μὲν κοινόν, ὅτι κοινόν ἐστιν ἀρσενικοῦ καὶ θηλυκοῦ, τὸ δὲ ἐπίκοινον διὰ τοῦτο, ὅτι ἐπικοινωνίαν ἔχει δι' ἑνὸς ἄρθρου πρὸς ἕτερον σημαινόμενον. ὃν τρόπον ἐπικοινωνεῖν ἐν τῷ βίῳ φαμὲν τὸν καθ' ἥμισυ μὲν μέρος κοινωνοῦντα πράγματι, [οὐ] κοινωνοῦντα δὲ κατὰ τὸ ἕτερον.

„Εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον." Τὸ πρωτότυπον δεχῶς νοεῖται, οὗ τῆς γενέσεως οὐδὲν κατῆρξεν ὡς τὸ πᾶν, καὶ ὃ παρῆκται μὲν ἀπό τινος, ἑτέρων δὲ γίνεται ἀρχή, ὡς Θησεύς· ἔστι γὰρ ἀπὸ τοῦ θάσω, ποιεῖ δὲ τὸ Θησείδης. καὶ ὃ παρέθετο ὁ τεχνικὸς γῆ, ποιοῦν τὸ γήϊος, γίνεται δὲ ἀπὸ τοῦ γῶ ῥήματος, ὅ ἐστι χώρῶ.

Πελοπίδης, Αἰακτίδης — τὸ γὰρ Αἰαντιάδης πλεονάζει —, Δημοσθένης Δημοσθενίδης, Ἡρακλέης Ἡρακλεΐδης καὶ Ἡρακλείδης. τὰ εἰς ος εἰς ου καθαρὰ καὶ τὰ εἰς ας εἰς ου κλινόμενα, διὰ τοῦ αδης ποιοῦσι τὰ πατρωνυμικά, Ἥλιος Ἡλιάδης, Δεξιός Δεξιάδης, Βορέας Βορεάδης. καὶ τὰ εἰς ου [μὴ] καθαρά, Ἱππότης Ἱπποτάδης, Δότης Δοτάδης. καὶ τὰ εἰς ος μὴ καθαρά, Ὅμηρος Ὁμηρίδης, Πριαμίδης, Ταντα λίδης. πᾶν πατρωνυμικὸν εἰς δης τοῦ πρωτοτύπου τῆς γενικῆς μιᾷ περιττεύει συλλαβῇ, Τανταλίδης, Πελοπίδης· ἐὰν δὲ ἰσοσυλλαβῇ, δίφθογγον ἔχῃ καὶ κατὰ συναίρεσιν γέγονεν, οἷον Πηλείδης, Μινῴδης, Ἡρῴδης. Τὰ δὲ εἰς δης ἀμοιβῇ τοῦ τέλους ποιεῖ τὰ πατρωνυμικὰ εἰς ων, Κρονίδης Κρονίων, Πηλείδης Πηλείων. τὸ δὴ Ὑπεριονίδης Ὑπεριονίων· τὸ ἄρα Ὑπερίων οὐ πατρωνυμικόν. οὗτος δὲ ὁ εἰς ων τύπος Ἰωνικός. Τὰ δὲ διὰ τοῦ αδιος Αἰολικά. χρειώδης δὲ Αἰολεῦσιν ὁ τύπος καὶ πρὸς χρόνον καὶ πρὸς τόνον· τὰ γὰρ διὰ τοῦ αδιος πρὸς τῷ συστέλλεσθαι καὶ [προ]παροξύνεται.

„Θηλ. — Ἄδρηστ." Τὰ εἰς δης ἀποβάλλοντα τὴν δης ποιεῖ θηλυκόν, Τανταλίδης Τανταλίς, Πηληϊάδης Πηληϊάς, Αἰνειάδης Αἰνειάς· καὶ ἔδει ὑπογράφειν Αἰνειάδος, οὐκ Αἰνείδος. καὶ τὸ μὲν Χρυσηΐς καὶ Νηρηΐς ἀπὸ τοῦ Χρυσεύς, Νηρεύς. βασιλεύς βασιληΐς, καὶ ἐνδείᾳ τοῦ η βασιλίς. τὸ δὲ Εὐξαντιάς ἀπὸ τοῦ Εὐξάντιος· τὸ δὲ Εὐξαντίδος παρὰ Καλλιμάχῳ ὕφεσιν ἔχει τοῦ α. τὸ Ἑλικωνιάς πλεονάζει. Οὕτως ἀπὸ τῶν εἰς δης ἀρσενικῶν σχηματίζουσι τὰ θηλυκὰ πατρωνυμικὰ οἱ περὶ Ἀπολλώνιον. Ἡρωδιανῷ δὲ τοῦτο οὐ δοκεῖ, φάσκοντι μὴ δύνασθαι τοιοῦτον παρασχηματισμὸν εἶναι διὰ τὴν κατάληξιν, διὰ τὸν χρόνον, διὰ τὴν γένεσιν. τὰ γὰρ παρεσχηματισμένα ἀρσενικοῖς ἀπὸ τῆς γενικῆς κανονίζεται. ἐκ μὲν μακροκαταλήκτου γίνεται μακροκατάληκτα, οἷον φίλου φίλη· καὶ

βραχυκαταλήκτου ὁμοίως, μέλανος μέλαινα· εἰ οὖν Πριαμίδου, πῶς μὴ εἰς ῑ τὸ θηλυκόν; οὐ γὰρ καθαρὸν ἦ τὸ ῥ ἔχον, ὡς τὸ ῥοδιά, φοβερά. πῶς καὶ εἰς ῑς καὶ βραχύ; πῶς δὲ καὶ τὸ νοητὸν ἕξει; Πριαμὶς γὰρ οὐχ ἡ τοῦ Πριαμίδου. οὐκοῦν ἀπὸ γενικῆς τοῦ πρωτοτύπου καὶ τὸ Πριαμίδης καὶ τὸ Πριαμίς, καὶ τὸ Θησηΐς ἡ Θησέως θυγάτηρ. 5

Ἰστέον δὲ ὅτι ἀπὸ οὐδετέρων οὐ γίνονται τὰ πατρωνυμικά, οἷον Ἀτρεύς Ἀτρείδης, Λητώ Λητοΐδης. κύρια δὲ οὐδέτερα ἐπὶ ἐμψύχων οὐκ εἰσίν. πρόσκειται δὲ ἐπὶ ἐμψύχων διὰ τὰ ἐπὶ πόλεων, οἷον διὰ τὸ Ἴλιον, διὰ τὸ Δάρδανον. 10

Διὰ τί δὲ τὰ πατρωνυμικὰ ἀπὸ κυρίων παράγονται καὶ οὐχὶ ἀπὸ προσηγορικῶν; Καί φαμεν, ἐπειδὴ τὰ προσηγορικὰ κοινὴν οὐσίαν σημαίνουσι καὶ κατὰ πολλῶν τίθεται, οἷον τὸ ἄνθρωπος ἁρμόζει καὶ Πλάτωνι καὶ Ἀλκιβιάδῃ καὶ Σωκράτει. εἰ ἐγένοντο οὖν ἀπὸ προσηγορικῶν πατρωνυμικά, ἤμελλον κατὰ πολλῶν λαμβάνεσθαι, ὅπερ ἀδύνατον. οἷον εἰ ἐγένετο ἀπὸ τοῦ ἄνθρωπος ἀνθρωπίδης, ἤμελλε σημαίνειν τὸν υἱὸν τῶν ἀνθρώπων. ἄτοπον δὲ τὸ ἕνα πολλῶν ἀνθρώπων εἶναι υἱόν· τοῦτο γὰρ ἡ φύσις ἀλλότριον ἐκληρώσατο. 15 20

Τὰ πατρωνυμικὰ ἀπὸ μόνων κυρίων παράγονται, οἷον Ἀτρεύς Ἀτρείδης. τὸ γὰρ Ἡρώδης ἀπὸ τοῦ ἥρως προσηγορικοῦ, ὃ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι τῇ σημασίᾳ πατρωνυμικόν, ἀλλὰ τύπου πατρωνυμικοῦ ἐστί. 25

„Ἀπὸ δὲ — νεώτεροι." Μόνος ὁ ποιητὴς οὐκ ἐχρήσατο ἀπὸ μητέρων τοῖς πατρωνυμικοῖς. ἄτοπον γὰρ ἡγήσατο, τὰς τῶν ἡρώων πράξεις ἐξηγούμενος, ἀπὸ μητέρων παράγειν. οἱ δὲ νεώτεροι ποιηταὶ καὶ τούτοις ἐχρήσαντο. 30

Εἰ δὲ παρὰ τὸ πατρός πατρωνυμικὰ λέγεται, δῆλον

ἑτοιμότερον πρὸς τὸ δοῦναι ποιήσω τὸν ἔχοντα· ἢ τοῦ γελοίου χάριν, ὡς τὸ Πριαμύλλιον ὁ Πριάμος. παρὰ δὲ τῷ ποιητῇ οὐκ ἂν εὑρεθείη ὑποκοριστικόν· ἡρωϊκὰ γὰρ τὰ παρ' αὐτῷ καὶ ἐπηρμένα. Τὸ τειχίον δὲ καὶ τὸ ἕρκιον οὐχ ὑποκοριστικά· διάφορον γὰρ τὸ δηλούμενον, τεῖχος καὶ ἕρκος ἐπὶ πόλεως, τειχίον καὶ ἑρκίον ἐπὶ ἐπαύλεων. πῶς δὲ μείωσις, ὅπου τὸ μέγα;

παρὲκ μέγα τειχίον αὐλῆς.

Οὕτω καὶ τὸ θηρίον·

μάλα γὰρ μέγα θηρίον ἦεν.

Καὶ τὸ μηρίον διάφορον· μηρία γὰρ τὰ ἐναγιζόμενα τοῖς θεοῖς, μηροὶ δὲ τὰ μὴ οὕτως ἔχοντα. Οὐδὲ τὸ ὀγκίον· οὐ γὰρ τοῦ ὄγκος μείωσις. Οὐδὲ τὸ ἴχνιον,

ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων.

καὶ περὶ αὐτοῦ φησί

τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ

Αἰγάς.

μάχεται καὶ ὁ τόνος· τὰ γὰρ εἰς ιον ὑποκοριστικά, τρισύλλαβα, ἀρχόμενα ἀπὸ βραχείας [προπαρ]οξύνεται, στόλιον, πόδιον, χέριον, σάκιον, ὅτε δι' ἑνὸς κάππα· ὅτε δὲ διὰ δύο, παροξύτονον, σακκίον. κορρίον διὰ δύο ρρ παρὰ Ἀττικοῖς, κόριον δὲ δι' ἑνὸς ρ παρὰ τῷ Θεοκρίτῳ. ἐχρῆν ἄρα ἰχνίον. ἔστι δὲ ῥηματικόν. ὥσπερ οὖν τὸ δέμω δέμνιον καὶ ἀράσω ἀράχνιον, οὕτως ἵκω ἴχνιον, ὑπερθέσει τοῦ πνεύματος. Καὶ τὸ ἠϊήϊον πῶς ὑποκοριστικὸν ἐπὶ τῆς τοῦ Ὀδυσσέως νεώς, ἐφ' ἧς ὁ ποιητὴς τὸ μεγακήτεϊ φησι;

Τῶν ὑποκοριστικῶν τύποι εἰσὶν ἕξ, ὧν ὁ μὲν πρῶτος εἰς ων, οἷον Βακχυλίδης Βάκχων, Λακεδαιμόνιος Λάκων· ὁ δὲ δεύτερος πάλιν εἰς ων, παραλήγοντος τοῦ ι, οἷον μωρίων ὁ μωρός· ὁ δὲ τρίτος εἰς αξ, ὡς Ῥόδαξ ὁ

Ἑόδιος καὶ πλοῦταξ ὁ πλούσιος· ὁ τέταρτος εἰς ᾱς, ὡς Ζηνᾶς ὁ Ζηνόδωρος καὶ Μητρᾶς ὁ Μητρόδωρος· ὁ δὲ πέμπτος εἰς κος, ὡς γραμματίσκος ὁ γραμματεὺς καὶ πυργίσκος ὁ πύργος· ὁ ἕκτος εἰς λος, ὡς ναύτιλος ὁ ναύτης καὶ δριμύλος ὁ δριμύς. ὁ δὲ Ὥρός φησιν ὅτι καὶ ὁ εἰς ν καὶ ὁ εἰς υς καὶ ὁ εἰς ις ὑποκοριστικά, εἰς ν μὲν οἷον..., εἰς υς δὲ καμμῦς, κλαυσῦς, λαρδῦς, ἀπφῦς, διονῦς· εἰς ις δὲ ὁ κομβίς τοῦ κομβίς. Τῶν δὲ θηλυκῶν τύποι τρεῖς, ὁ εἰς ω, οἷον Ὑψώ Ὑψιπύλη, Εἰδώ Εἰδοθέα καὶ Ἀφρώ ἡ Ἀφροδίτη· καὶ ὁ εἰς ις, οἷον λυρίς ἡ λύρα καὶ θεραπαινίς ἡ θεράπαινα· καὶ ὁ εἰς κη, οἷον λεκανίσκη ἡ λεκάνη καὶ παιδίσκη ἡ παῖς. Τῶν δὲ οὐδετέρων μία μέν ἐστιν ἡ εἰς ον καταλήξις, ἔχει δὲ παραλήξεις ἕξ. ἢ [γὰρ] τῇ νι συλλαβῇ παραλήγεται, ὡς κανθνιον, ὀψώνιον, χελιδόνιον, τρυγόνιον· ἢ τῇ δι, ὡς παιδίον, οὐλανίον· ἢ τῇ ρι, ὡς ξυλάριον, δελτάριον, νηττάριον· ἢ τῇ δρι, ὡς μελύδριον, λεξύδριον, πολύδριον· ἢ τῇ λι, ὡς μειρακύλλιον· ἢ τῇ φι, ὡς χρυσάφιον, ζωΰφιον, δενδρύφιον.

Τὸ ὑποκοριστικὸν ἐλάττωσίν τινα σημαίνει. εἴρηται δὲ παρὰ τοὺς κόρους, τουτέστι τοὺς μικροὺς νέους, ἢ τὰς κόρας· τούτους γὰρ πολλάκις ἢ ταύτας ἱποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασιν, ὡς παρὰ Μενάνδρῳ νηττάριον, ἢ [ὅταν] τὸν Πρίαμον Πριαμύλλιον εἴπωμεν καὶ τὸ μικρὸν παιδίον παιδάριον. Τύπους δὲ ἔχει ἡ φωνὴ τῶν ὑποκοριστικῶν διαφόρους· γίνονται δὲ [καὶ] ἀπὸ τῶν εἰς κος κτητικῶν κατὰ πλεονασμὸν τοῦ σ, πυργίσκος ὁ μικρὸς πύργος, καὶ ἰατρικός, προσθέσει τοῦ σ ἰατρίσκος.

„Παρών. — Τρύφων." Ἕκαστον τῶν εἰδῶν μίαν ἔχει σημασίαν, ἐξ ἧς καὶ ὀνομάζεται, τὸ πατρωνυμικὸν ὡς δηλοῦν πατέρα, τὸ κτητικὸν κτῆσιν, τὸ συγκριτικὸν σύγκρισιν, τὸ ὑπερθετικὸν ὑπέρθεσιν, τὸ ὑποκοριστικὸν

καὶ οἱ παλαιοί, πολλὰ βουλόμενοι σημαίνειν, τρεῖς λέγουσιν, ὡς καὶ ὁ ποιητής

τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις

ἀντὶ τοῦ πολλάκις.

„Εἰσὶ δὲ — λεγόμενοι." Σημαίνει πολλάκις ἐνικὸν μὴ εἶναι τὸν χαρακτῆρα τοῦ ὀνόματος, σημαίνειν δὲ πολλά, ὥσπερ ἔστιν εὑρεῖν ἐν τοῖς περιληπτικοῖς ὀνόμασι. τὸ γὰρ χορός ὄνομά ἐστιν ἔχον χαρακτῆρα ἑνός (ὥσπερ γὰρ καλός, οὕτω καὶ χορός), ἀλλὰ τὸ ἐξ αὐτοῦ σημαινόμενον πληθυντικόν ἐστιν· οὐ γὰρ ἐν συσταίη χορὸς ἐξ ἑνὸς μόνου ἀνθρώπου, ἀλλ' ἐκ πλειόνων. καὶ τὸ δῆμος δὲ τὸ ὅμοιον σημαίνει.

„Καὶ πληθυντικοὶ κατὰ ἑνικῶν τε καὶ δυϊκῶν." Σημαίνειν δὲ πάλιν φησὶν ἐκ τοῦ ἐναντίου, πληθυντικὸν ἔχειν χαρακτῆρα τὸ ὄνομα, σημαίνεσθαι δὲ ἐξ αὐτοῦ ἐναντίως· Θῆβαι γὰρ τύπος πληθυντικός, ἡ δὲ πόλις μία ἐστί. τὰ δὲ τοιαῦτα καὶ οἱ ποιηταὶ οὕτω προφέρονται, τὰς μὲν Ἀθήνας εὐρυάγυιαν, ὅτι τῇ φωνῇ μὲν πληθυντική ἐστι, τῷ δὲ σημαινομένῳ ἑνικόν. τοιοῦτο δὲ καὶ τὸ Θῆβαι, ὡς καὶ ὁ ποιητὴς εἶπε πρὸς τὸ σημαινόμενον

Θήβην ὑψίπυλον.

καὶ τὸ ἀμφότεροι δέ, δυϊκὸν ὄν, ὡς αὐτὸς λέγει, πληθυντικὸν χαρακτῆρα ἔχει, σημαίνει δὲ δύο μόνους· καὶ γὰρ οὐδὲ τολμήσει τις ἐπὶ πλήθους τῇ λέξει χρήσασθαι.

„Πτώσεις — κλητ." Πτώσεις λέγονται, ἐπειδὴ ἡ φωνὴ ἀπ' ἄλλου εἰς ἄλλον μεταπίπτει. πτῶσις δέ ἐστι πτωτικῆς λέξεως μετασχηματισμὸς τῆς τελευταίας συλλαβῆς ἄλλοτε εἰς ἄλλο τρεπομένης.

Ἰστέον δὲ ὡς τῶν σημαινομένων, οὐ τῶν φωνῶν εἰσὶν αἱ πέντε πτώσεις, ἐπειδὴ τοῦ Ἀτρείδης πλείους τῶν πέντε ἔσονται πτώσεις· Ἀτρείδου γὰρ καὶ Ἀτρείδεω καὶ Ἀτρείδαο καὶ Ἀτρείδα.

Τῶν

Τῶν δὲ ὀνομάτων τὰ μὲν μονόπτωτα, τὰ δὲ δίπτωτα, τὰ δὲ τρίπτωτα, τὰ δὲ τετράπτωτα, τὰ δὲ πεντάπτωτα, τὰ δὲ ἑτερόπτωτα. Τί ἐστι πεντάπτωτον; Τὸ ἔχον πέντε πτώσεις ἤγουν φωνάς, οἷον ὁ Αἴας, τοῦ Αἴαντος, τῷ Αἴαντι, τὸν Αἴαντα, ὦ Αἶαν. τοῦτο γὰρ πέντε φωνὰς ἔχει, μὴ ἔχον διπλῆν τινὰ φωνήν. Τετράπτωτον δὲ τὸ ἔχον φωνὰς τέσσαρας, οἷον φοῖνιξ, φοίνικος, φοίνικι, φοίνικα, φοῖνιξ. τοῦτο δὲ τέσσαρας φωνὰς ἔχει, τὴν αὐτὴν φωνὴν [ἔχον] καὶ ἐπι τῆς εὐθείας καὶ ἐπὶ τῆς κλητικῆς. Τί ἐστι τρίπτωνον; Τὸ ἔχον τρεῖς φωνάς, οἷον τὸ βῆμα, τοῦ βήματος, τῷ βήματι, τὸ βῆμα, ὦ βῆμα. Δίπτωτον δέ ἐστι τὸ ἔχον δύο πτώσεις, οἷον τὸ χρέος, τοῦ χρέους, τὸ χρέος, ὦ χρέος. Μονόπτωτα δέ εἰσιν ὡς τὰ ὀνόματα τῶν στοιχείων. μονόπτωτα δέ ἐστιν ὡς τὸ δός θηλυκὸν ὄνομα, καὶ σημαίνει τὴν δόσιν, καὶ οἷον ὁ Ἀβραάμ, τοῦ Ἀβραάμ, τῷ Ἀβραάμ, τὸν Ἀβραάμ, ὦ Ἀβραάμ. Τί διαφέρει τὸ μονόπτωτον τοῦ ἀκλίτου; Τὸ μονόπτωτον ἄρθρα μόνα ἐπιδέχεται ὡς τὸ Ἀβραάμ, ἄκλιτον δέ ἐστι τὸ μήτε ἐνδεχόμενον μήτε ὅλως κλινόμενον, οἷον τὸ οὖς, τὸ δέπας, τὸ δέμας.

„Λέγεται δὲ ἡ μὲν ὀρθή." Ἀπαριθμησάμενος τὰς πτώσεις διδάσκει ἡμᾶς πῶς ἑκάστη λέγεται. Λέγει δὲ τὴν εὐθεῖαν καὶ ὀνομαστικήν, καθὸ ὀνομάζειν τινὰ βουλόμενοι ταύτῃ κεχρήμεθα. εἰ γάρ τις ἔροιτο περί τινος, ὅτι οὗτος πῶς λέγεται; ἐρεῖ τῇ εὐθείᾳ χρησάμενος Πλάτων ἢ Σωκράτης. Πῶς δὲ οἷόν τέ ἐστιν εὐθεῖαν καὶ πτῶσιν λέγεσθαι; Καί φαμεν ὅτι δυνατὸν τὴν πτῶσιν λέγεσθαι καὶ εὐθεῖαν κατά τινα λόγον. καθὸ γὰρ πέπτωκεν ἀπὸ τοῦ κοινοῦ εἰς ἰδιότητα, ὀνομάζεται πτῶσις· καθὸ δὲ πεσοῦσα ἔμεινε καὶ ἔστη, ὥςπερ ἦν ἐν τῷ γενικῷ, καλοῖτο ἂν ὀρθή, ὡς ἂν εἴπωμεν καὶ περὶ γραφείου, ὥςπερ ἐάν τις λάβῃ γραφεῖον καὶ ἀφῇ εἰς γῆν

καὶ ὀρθὸν στῇ, καθὸ μὲν πέπτωκε τῆς χειρός, δοκεῖ πεπτωκέναι, κάθὸ δὲ πεσὸν ἔστη, λέγεται ὀρθόν.

Εἰ ὀρθή, πῶς πτῶσις; Ὅτι πέπτωκεν ἐκ τοῦ ἀσωμάτου καὶ γενικοῦ εἰς τὸ εἰδικόν. ὀρθὴ δέ, ὅτι οὔπω ἐκλίθη εἰς πλάγιον, ἢ ὅτι ἐξ αὐτῆς τὰ καλούμενα παρὰ τοῖς Στωϊκοῖς ὀρθὰ ῥήματα, ἅ εἰσιν ἐνεργητικά, οἷον Σωκράτης τύπτει. πᾶς γὰρ λόγος, ἔχων αὐτήν, ἐρήρεισται καὶ ὀρθός ἐστι· πλάγιος [δ᾽] οὐκέτι ποιεῖ τὸν λόγον ὀρθόν, εἰ μὴ εὐθεῖα φαίνοιτο. Σωκράτους ἀναγινώσκοντος ἤκουσα, δηλονότι ἐγώ. Ἀλλὰ καὶ ἡ κλητικὴ συνίστησι λόγον, οἷον ἀναγίνωσκε ἄνθρωπε· δυνάμει οὖν [καὶ] αὕτη εὐθεῖα. ἀλλ᾽ ὀνομαστικῆς μὲν ἴδιον τὸ τρίτον πρόσωπον, ἡ δὲ κλητικὴ πρὸς δεύτερον· οὐκ ἄρα εὐθεῖα.

„Ἡ δὲ γενικὴ κτητική τε καὶ πατρική." Τὴν πτῶσιν ταύτην εἶπε κτητικὴν καὶ πατρικήν, καθὸ ἔναγχος εἴρηται, ὅτι πᾶν κτητικὸν ἢ πατρωνυμικὸν ἀπὸ γενικῆς ἐστὶ καὶ εἰς αὐτὴν ἀναλύεται.

„Ἡ δὲ δοτικὴ ἐπισταλτική." Καλῶς οὕτως εἴρηται, ἐπεί περ καὶ τοῖς φίλοις ἐπιστέλλοντες ταύτῃ χρώμεθα, ὡς ποτε Κλέων ὁ στρατηγὸς τοῖς Ἀθηναίοις ἐπιστέλλων γέγραφε Κλέων Ἀθηναίοις χαίρειν.

„Ἡ δὲ αἰτιατικὴ κατὰ αἰτιατικήν." Κατὰ αἰτιασίν φησιν ἤτοι αἰτίαν, ἐπείπερ αἰτούμενοι λαβεῖν τι ἢ αἰτιώμενοι ταύτην προφερόμεθα, ὡς ἂν εἴποις αἰτοῦμαί σε δοῦναί μοι βιβλίον· τὸ γὰρ σέ καὶ τὸ βιβλίον αἰτιατικῆς εἰσὶ πτώσεως. καὶ πάλιν αἰτιῶμαι Ἀρίσταρχον.

„Ἡ δὲ κλητικὴ προσαγορευτική." Τὴν κλητικὴν προσαγορευτικὴν εἶπεν, ἐπειδὴ προσκαλούμενοί τινα καὶ ἀσπαζόμενοι ταύτῃ πάλιν χρώμεθα, ὡς καὶ ὁ ποιητὴς λέγει

χαῖρε, θεά, τοῖσδεσι.

„Ὑποπέπτωκε — προσαγορεύεται." Διεξελθὼν ὁ τεχνικὸς τὰ πρῶτα δύο εἴδη, ἐπεὶ ἅπαν ὄνομα ὑπὸ ταῦτα τὰ δύο εἴδη εὐθύνεται — πᾶν γὰρ ὄνομα ἢ πρωτότυπόν ἐστιν ἢ παράγωγον —, καὶ τὰ τοῦ παραγώγου εἴδη ἑπτὰ βούλεται διδάξαι καὶ τὰ συμβεβηκότα τῷ ὀνόματι.

„Κύριον μὲν — Σωκρ." Ἀπαριθμησάμενος τὰ εἴδη ἐπὶ τὴν ἑκάστου διδασκαλίαν ἔρχεται, καὶ λέγει κύριον εἶναι τὸ τὴν ἰδίαν [οὐσίαν] ἐπαγγελλόμενον, τουτέστι τὴν ἰδίαν ἑκάστου. τῶν γὰρ οὐσιῶν αἱ μέν εἰσιν εἰδικαί, αἱ δὲ κοιναί, ὡς Σωκράτης, ἄνθρωπος. ὃν δὲ τρόπον εἰρήκαμεν, ὅτι πᾶν ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, φημὶ κύριον καὶ προσηγορικόν, καὶ ἑτέρῳ συμβαίνει σημαινομένῳ κατέχεσθαι, οἷον ἐπιθέτῳ καὶ ἑξῆς.

„Προσηγορ — ἵππος." Τὸ προσηγορικὸν τὸ κοινὸν ἐπαγγέλλεται τῆς οὐσίας δηλωτικὸν καὶ ἐπὶ κοινοῦ πράγματος τιθέμενον, καὶ οὐκ ἐφ' ἡμῖν ἔχον τὴν ὀνομασίαν, οἷον ἄνθρωπος, ἵππος, ἀρετή, παιδία, βοῦς, καὶ τὰ ὅμοια.

Ζητῆσαι ἄξιον, τί διαφέρει κοινὴ οὐσία ἰδίας οὐσίας. Καὶ ἔστιν εἰπεῖν ὅτι ἐν μὲν τῇ κοινῇ οὐσίᾳ ἅπαν τὸ εἶδος τῷ αὐτῷ ὀνόματι λέγεται. οἷον τὸ ἄνθρωπος κοινὴν οὐσίαν δηλοῖ, καὶ οὐ μόνος Σωκράτης λέγεται [ἄνθρωπος], ἀλλὰ καὶ Πλάτων καὶ Ἀλκιβιάδης καὶ ἕκαστος. καὶ πάλιν τὸ ἵππος κοινὴν οὐσίαν σημαίνει, καὶ οὐχ οὗτος ὁ ἵππος λέγεται ἵππος ἢ ἐκεῖνος, ἀλλὰ πᾶν τὸ τοιοῦτο εἶδος. τὸ δὲ Σωκράτης ἰδίαν οὐσίαν δηλοῖ, καὶ οὐ πᾶς ἄνθρωπος λέγεται Σωκράτης· καὶ πάλιν τὸ Αἴας ἰδίαν οὐσίαν δηλοῖ, καὶ οὐ πᾶς ἄνθρωπος λέγεται Αἴας. εἰ δέ τις εὕροι τὸ Αἴας μὴ μόνον ἐπὶ ἑνὸς λεγόμενον,

ἀλλὰ καὶ ἐπὶ ἑτέρου, μὴ οἰέσθω κοινὴν αὐτὸ οὐσίαν σημαίνειν· οὐ λέγεται γὰρ ἅπαν τὸ εἶδος οὕτως· οὐδὲ γὰρ πᾶς λέγεται· ἀλλ' ὁμώνυμός ἐστιν ἡ φωνή.

„Ἐπίθετον — ψόγον." Ἐπίθετόν ἐστι τὸ δυνάμενον ἐπιτεθῆναί κυρίῳ καὶ προσηγορικῷ. ἐντεῦθεν γὰρ καὶ τρίτῃ τάξει τέτακται. ὥσπερ γὰρ ἐν τοῖς παραγώγοις πρῶτον μὲν τέτακται τὸ πατρωνυμικόν, καθὸ ἀπὸ κυρίων ἔχει τὴν γένεσιν, καὶ δεύτερον τὸ κτητικόν, καθότι τοῖς κυρίοις καὶ προσηγορικοῖς συλλαβῇ κέχρηται, καὶ τρίτον τὸ συγκριτικόν, οὕτω καὶ ἐνταῦθα τὸ ἐπίθετον τρίτον τέταχεν ὡς ἐπισυμβαῖνον κυρίῳ καὶ προσηγορικῷ. Δεῖ δὲ ἡμᾶς εἰδέναι ὅτι ἐκεῖνό ἐστιν ἐπίθετον τὸ παραλαμβανόμενον ψόγου ἢ ἐγκωμίου χάριν, ὡς τὸ ταχὺς ἵππος ἢ Λοκρὸς Αἴας. ἔτι γε μὴν ἔστι τινὰ τῶν ἐπιθέτων, ἃ τίνα οἰκείως εἴληπται καὶ πολλάκις ἀντὶ τοῦ κυρίου παραλαμβάνεται· ὥσπερ γλαυκῶπιν ἐὰν εἴπω, τὸ ἐπίθετον τῆς Ἀθηνᾶς, μὴ ἐπαγαγὼν τὸ κύριον ὄνομα αὐτῆς, ἐπίσταμαι τίνα ὀνομάζω, καὶ ἀρκοῦμαι. ὁμοίως καὶ Ἐνοσίχθων εἰπών, οὐ πάντως δεήσει μοι καὶ τὸ κύριον ἐπαγαγεῖν, εἰ μὴ κατὰ ζῆλον τῶν ποιητῶν· ἐκεῖνοι γὰρ ἀνοικείως τάσσουσιν. ἰδοὺ γὰρ Εὐφορίων ὁ ποιητὴς περὶ τοῦ ἀρότρου εἶπεν ἐνοσίχθονι, καὶ τὴν ἐλαίαν γλαυκῶπιν.

Στεφάνου. Τὸ ἐπίθετον τοῦτο κατηγορικὸν ὑπ' ἐνίων καλεῖται διὰ τὸ πάντῃ κατηγορεῖν κυρίων ἢ προσηγορικῶν. ὡς γὰρ τὰ ἐπιρρήματα τοῖς ῥήμασι πάντα συναρτᾶται, οὕτω καὶ τὰ ἐπίθετα τοῖς ὀνόμασι. διαφέρει οὖν προσηγορικοῦ ἐπίθετον, ὅτι τὸ μὲν αὐτοτελές, οἷον ἄνθρωπος, τὸ δὲ ἑτέρου δεόμενον ἐπαγωγῆς, οἷον ἀγαθὸς ὁ δεῖνα. Ὅσα δὲ τῶν ἐπιθέτων τὴν αἰτίαν τοῦ λέγεσθαι ἐξ ἡμῶν ἔχει, ταῦτα ἐπαίνου ἢ ψόγου ὑπάρχει σημαντικά, οἷον ταχύς, βραδύς· τὰ δὲ μὴ οὕτως ἔχοντα μέ-

σα, οἷον ὑγιής, ἀσθενής, πλούσιος, πένης. ταῦτα ἀπὸ τῶν ἐκτός ἐστι τῆς ψυχῆς συμβαινόντων, ἃ μήτε ἔπαινον μήτε ψόγον δηλοῦσιν, ἀλλὰ μακαρίζουσι καὶ ψέγουσι. Λαμβάνεται δὲ τὸ ἐπίθετον παρὰ ποιηταῖς ἀπὸ τῶν μάλιστα συνεχόντων τρόπων εἴκοσι δύο τούτων· ἀπὸ 5
φύσεως, ἀθανάτων θεῶν, χαμαὶ ἐρχομένων ἀνθρώπων· ἀπὸ γένους, Πηλείδης Ἀχιλλεύς, Ἀτρείδης Ἀγαμέμνων· ἀπὸ εἴδους, γλαυκῶπις Ἀθήνη, βοῶπις πότνια Ἥρη· ἀπὸ τόπου,

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο· 10

ἀπὸ φορήματος, χρυσόῤῥαπις Ἑρμῆς, κορυθαίολος Ἕκτωρ· ἀπὸ ψυχῆς,

ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον·

ἀπὸ ἕξεως, πολύμητις Ὀδυσσεύς, Κρόνος ἀγκυλομήτης· ἀπὸ δυνάμεως, 15

μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·

ἀπὸ αἱρέσεως, φιλομμειδὴς Ἀφροδίτη· ἀπὸ πράξεως,

Ἑρμεία Διὸς υἱέ, διάκτορε, δῶτορ ἐάων·

ἀπὸ ἐνεργείας,

Ἄρες Ἄρες, βροτολοιγέ, μιαιφόνε, τειχεσιβλῆτα· 20

ἀπὸ πάθους,

ἄνδρες ἀρηΐφατοι, βεβροτωμένα τεύχε' ἔχοντες·

ἀπὸ συμβεβηκότος,

Αὐλίδα πετρήεσσαν,

πολύκρημνόν τ' Ἐτεωνόν· 25

ἀπὸ ἐπιπολάζοντος

ποιήεντ' Ἀλίαρτον,

πολυσταφυλόν θ' Ἱστίαιαν·

ἀπὸ κτήματος,

Φρύγας ἀνέρας αἰολοπώλους· 30

ἀπὸ σχήματος, ἀσπίδας εὐκύκλους· κατὰ τὸ ἑστώς,

κυρτὰ φαλακρυόωντα·

κατὰ τὸ κινούμενον ... ἀπὸ ἀναλογισμοῦ, λευκωλένος Ἥρη

συνδούλου· ὁμόδουλοι γάρ εἰσιν οἱ μετέχοντες ὁμοίας τύχης δουλικῆς, σύνδουλοι δὲ οἱ σὺν ἀλλήλοις δουλεύοντες.

„Συνώνυμον δέ ἐστι τὸ ἓν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, οἷον ἄορ, ξίφος, μάχαιρα, φάσγανον, σπάθη." Συνώνυμον δέ ἐστιν ὃ διὰ πλειόνων ἓν ὑποκείμενον σημαίνει, οἷον μέροψ, βροτός, ἄνθρωπος· πολλὰ ὀνόματα καθ' ἑνὸς πράγματος τιθέμενα. τὸ μὲν γὰρ ξίφος ἓν ἐστι, κατ' αὐτοῦ δὲ πολλὰ ὀνόματα, ὡς ἔγχος, φάσγανον, κνώδων καὶ ἐγχειρίδιον, καὶ εἴ τι ἕτερον περὶ τούτου τοῖς ἀρχαίοις εἴρηται· τὰ γὰρ πάντα ἓν μόνον σημαίνει, τὸ ξίφος.

Στεφάνου. Συνώνυμόν ἐστι τὸ ἓν πλείοσιν ὀνόμασι μιᾷ οὐσίᾳ ὑποκείμενον, οἷον μέροψ, βροτός, ἄνθρωπος, ἅπερ οἱ Περιπατητικοὶ πολυώνυμα λέγουσιν, ὁμώνυμα δὲ τὰ τὸ αὐτὸ γένος ἔχοντα καὶ τὴν αὐτὴν οὐσίαν, τὸ ἄνθρωπος, ἵππος, ἔλαφος ὁμώνυμά φασιν, ἐπεὶ τὰ τρία κατ' ἀῤῥένων καὶ ζώων ἐλέχθη.

„Φερών. — Μεγαπ." Τὸ φερώνυμον δύναμιν ἔχει τοιαύτην. φορὰν καλοῦσιν οἱ φιλόσοφοι τὴν τύχην. τὸ οὖν ἀπὸ τύχης τινὸς συμβαινούσης ὀνομαζόμενον ὄνομα λέγεται φερώνυμον. τὸν γὰρ Μενελάου παῖδα Μεγαπένθην εἰρῆσθαι διὰ τὰ τῷ Μενελάῳ συμβεβηκότα· τῆς γὰρ Ἑλένης ἁρπαγείσης συνέβη τὸν Μενέλαον τὸ τηνικαῦτα οὐ τὰς τυχούσας λύπας ἔχειν. καὶ πάλιν Ὀρέστης, ἐπειδὴ τὴν Κλυταιμνήστραν ἐτίσατο, Τισαμενὸν τὸν παῖδα αὐτοῦ ἐκάλεσε. λέγει δὲ καὶ ὁ ποιητὴς περὶ Ὀδυσσέως

πολλοῖσι γὰρ ἔγωγ' ὀδυσάμενος τόδ' ἱκάνω·
τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον

ἀντὶ τοῦ φερώνυμον. καὶ τὸ τεθὲν ἐκ γενετῆς, ὕστερον δὲ τῷ ὀνομασθέντι οἰκεῖον γενόμενον, οἷον ὡς ἔτυχεν

οἱ γονεῖς τὸν Δημοσθένην ὠνόμασαν, ὕστερον δὲ σθένος εὑρέθη τοῦ δήμου. καὶ Θυέστης δὲ καὶ Πενθεὺς καὶ Μελέαγρος· οὕτω μὲν γὰρ ἐκ γενετῆς ὠνόμαστο, ἀνδρωθέντι δὲ αὐτῷ ἐμέλησε περὶ ἄγρας.

„Διών. — ὁ καὶ Πάρις." Διώνυμον δέ ἐστιν οὗ τὰ δύο ὀνόματα καθ' ἑνὸς τέτακται ἔκ τε τῆς κυρίων ὕλης καὶ τῆς ἐξ ἐπιθέτων μόνῳ συμβάν, ὡς τὸ Φοῖβος Ἀπόλλων καὶ Ἐνοσίχθων ὁ Ποσειδῶν. καὶ τοῦτο ἓν ἀντὶ ἑνὸς παραλαμβανόμενον ἀποπληροῖ τὸν ζητούμενον.

Διώνυμόν ἐστιν ὅταν δύο ὀνόματα τεθῇ τινί, καὶ μετὰ τοῦ κυρίου συμπαραλαμβάνηται ἕτερόν τι ἐπίθετον, ἐκείνῳ [μόνῳ] συμβάν, ὥςπερ Ἀλέξανδρος καὶ Πάρις ὁ αὐτός. διὰ τοῦτο δὲ εἶπον μόνῳ συμβάν· μόνῳ γὰρ τῷ Ἀλεξάνδρῳ συμβέβηκε Πάριν καλεῖσθαι. διὰ τοῦτο καὶ ὁ τεχνικὸς εἶπεν „οὐκ ἀναστρέφοντος τοῦ λόγου·" οὐ γὰρ εἴ τις Ἀλέξανδρος κέκληται, πάντως ἤδη καὶ Πάρις ὀνομάζεται. εἴρηται δὲ ἐκεῖνος Πάρις ἢ διὰ τὸ παρεῖναι ἐν τῇ κρίσει τῶν θεῶν, ὅτε περὶ τοῦ μήλου ἤρισαν αἱ τρεῖς θεαί, Ἥρα, Ἀθηνᾶ, Ἀφροδίτη· ἢ διὰ τὸ ἀπὸ πήρας τὴν τροφὴν ἐσχηκέναι· ἐκτεθεὶς γὰρ ὑπὸ Πριάμου ἀνηρέθη ὑπό τινος βουκόλου, παρ' οὗ καὶ ἀνετράφη ἀπὸ τῆς πήρας. ὥςτε οὖν τοῦτο οὐκ ἂν συμβαίη ἑτέρῳ Ἀλεξάνδρῳ λεγομένῳ.

Στεφάνου. Διώνυμόν ἐστι τὸ μίαν ὀνομασίαν δηλοῦν, Ξάνθος Σκάμανδρος, Πάρις Ἀλέξανδρος. διωνυμίας δὲ τρόποι παρὰ τῷ ποιητῇ τέσσαρες. ἢ γὰρ ὑπ' ἀνδρῶν καὶ γυναικῶν ποιεῖ καλούμενόν τινα τῷ αὐτῷ ὀνόματι,

δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν Κορυνήτην
ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες·

ἢ ἑτέρως τοὺς οἰκείους καλοῦντας, ἑτέρως δὲ τοὺς ἐκτός,

τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτα·

ἢ δύο ὀνομάτων ὄντων τὸ μὲν σεμνότερον ἤγουν ἐντιμότερον τοῖς θεοῖς, τὸ δὲ δυσφορώτερον τοῖς ἀνθρώποις περιάπτει, οἷον 5

Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον·

ἢ μόνον τὸ τῶν θεῶν λέγει, τὸ τῶν ἀνθρώπων ἀποσιωπῶν,

πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι 10

καὶ

μῶλυ δέ μιν καλέουσι θεοί,

„Ἐπών. — Ἀπόλλων." Ἐπώνυμόν ἐστι τὸ ἐπιθετικοῦ καὶ κυρίου τάξιν ἔχον, καὶ δυνάμενον ἀπὸ τῆς τοῦ συμβεβηκότος δυνάμεως καθ' αὑτὸ δηλῶσαι τὸ κύριον, 15 οἷον ὑψιβρεμέτης φανερὸν ὅτι ὁ Ζεύς· γλαυκῶπις ἡ Ἀθηνᾶ, καὶ Φοῖβος ὁ Ἀπόλλων, καὶ τὰ ὅμοια.

Στεφάνου. Ἐπώνυμον δέ ἐστι δύο ὀνόματα καθ' ἑνὸς κυρίου, ὧν τὸ μὲν κύριον, τὸ δ' ἐπίθετον δύναμιν ἔχον 20 κυρίου διὰ τὸ ἴδιον εἶναι τοῦδέ τινος, ὡς ἃ παρέθετο, καὶ τὸ γλαυκῶπις καὶ ἐριούνης, εὐρύοπα, νεφεληγερέτα. Διαφέρει οὖν τὸ διώνυμον τοῦ ἐπωνύμου, καθὸ τοῦτο μὲν οὐκ ἀντιστρέφει, ὡς καὶ αὐτός φησιν· οὐ γὰρ εἴ τις Ἀλέξανδρος, οὗτος καὶ Πάρις· τὸ δὲ ἐπώνυμον ἀντι- 25 στρέφει· ὁ γὰρ Ποσειδῶν αὐτὸ Ἐνοσίχθων αὐτὸς καὶ Ποσειδῶν, ὁ Ἀπόλλων Φοῖβος καὶ Φοῖβος Ἀπόλλων, ἡ ἡμέρα ἠριγένεια καὶ ἠριγένεια ἡμέρα.

„Ἐθν. — Γαλ." Τὸ ἐθνικὸν δεῖ ἀκριβῶς εἰδέναι πόθεν. γίνεται δὲ τετραχῶς, ἀπὸ γένους, ἀπὸ χώρας, ἀπὸ 30 πόλεως, ἀπὸ βασιλέως, ἀπὸ γένους μὲν ὡς Ἕλλην καὶ βάρβαρος, ἀπὸ δὲ χώρας ὡς Θεσσαλός, ἀπὸ δὲ πόλεως ὡς Φθιώτης, ἀπὸ δὲ βασιλέως ὡς Ἀχαιός καὶ Δαναός.

τοῦτο οὖν ἐστὶ τὸ ἔθνους δηλωτικόν, ὡς καὶ αὐτὸς παρέθετο, ὁ Φρίξ, Γαλάτης, ὡς ἐν εἰσαγωγῇ.

„Ἐρωτημ. — πηλίκος." Διαφέρει τὸ ἐρωτηματικὸν τοῦ πευστικοῦ τῇδε, καθὸ τὸ μὲν ἐρωτηματικὸν σύντομον ἔχει καὶ συμβολικὴν τὴν ἀπόκρισιν — ἐὰν γὰρ ἐρωτήσῃς τινά, ἢ τὸ ναί λέγει ἢ τὸ οὔ, ἅ πέρ ἐστι συμβολικά — · τὸ δὲ πευστικὸν μακρηγορίας δεῖται καὶ διὰ πολλῶν ἀπολογίας, ὡς καὶ παρὰ τῷ Μενάνδρῳ εὑρίσκομεν

πυθοῦ παρ' αὐτῆς διὰ τίν' αἰτίαν

ἀντὶ τοῦ ἐρωτήσας ἄκουσον, ἡ δὲ διὰ πολλῶν ἀπόδρσις ἦν καὶ οὐ συμβολική, ὥσπερ ἡ τοῦ ἐρωτηματικοῦ. οὕτως καὶ ὁ τεχνικὸς παρατίθεται τὸ τίς, ποῖος, πόσος. ταῦτα γὰρ ὀνόματά ἐστιν ἐρωτήσεις σημαίνοντα.

Ἔτι τὰ ἐρωτηματικὰ ἄπειρά εἰσιν· ἑκάστη γὰρ λέξις δύναται προφέρεσθαι ἐρωτηματικῶς, τὰ δὲ πευστικὰ ὑπὸ ἀριθμὸν ἀνάγονται· ἓξ γάρ εἰσιν ἐν τοῖς ὀνόμασιν, οἷον τίς, ποῖος, πόσος, πηλίκος, ποστός, ποδαπός, καὶ τρία κατὰ τὸ σημαινόμενον ἐν τοῖς ἐπιῤῥήμασιν. ἢ γὰρ πράξεώς εἰσι ζητητικά, οἷον

πῶς ἔθαν' Ἀτρείδης;

ἢ τόπου, οἷον

ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα;

ἢ χρόνου, οἷον πότε. πρόσκειται κατὰ τὸ σημαινόμενον, ἐπειδὴ κατὰ τὴν φωνὴν πλείονά εἰσιν, οἷον πῇ, ποῖ, πηνίκα, πότε, ποῦ, πόθεν, πῶς.

Ἰστέον δὲ ὅτι τοῦ μὲν πευστικοῦ ἐννέα λέξεις μόναι εἰσί, τέσσαρα [μὲν] ὀνόματα, τίς, ποῖος, πόσος, πηλίκος, πέντε δὲ ἐπιῤῥήματα, πῇ, ποῦ, πότε, πηνίκα, πῶς. ἐρωτηματικαὶ δὲ σχεδὸν εἰπεῖν πᾶσαι αἱ λέξεις· δύναται γὰρ πᾶσα λέξις εἶναι ἐρωτηματική, τῆς φωνῆς καὶ τῆς ὑπο-

ἐγνωσμένον. Τοῦτο δὲ τὸ ἀναφορικὸν καὶ ἀνταποδοτικὸν καὶ δεικτικὸν καλεῖται ἀπὸ τῆς αὐτῆς ἐννοίας.

„Περιληπτ. — ὄχλος." Περιληπτικὸν ὄνομα λέγεται, ὅταν ὁ μὲν χαρακτὴρ ἑνικὸς ᾖ, ἐμφαίνηται [δὲ] διὰ τοῦ σημαινομένου πολύ τι πλῆθος, οἷον στρατός, χορός. 5 Εἴρηται δὲ περιληπτικὸν παρὰ τὸ περιέχειν τὰ ἐξ αὐτοῦ σημαινόμενα, οἷον ὡς ὁ τεχνικός φησι, δῆμος, χορός, ὄχλος. ταῦτα γὰρ ἑνικὸν μὲν ἔχει τὸν τύπον· εἰς ος γὰρ λήγει· τὸ δὲ ἐξ αὐτῶν σημαινόμενον πλῆθός ἐστιν· οὔτε γὰρ ἂν δῆμος οὔτε χορὸς οὔτε ὄχλος ἐξ ἑνὸς προσ- 10 ώπου συσταίη. ἐντεῦθεν οὖν καὶ οἱ ποιηταί, εἰδότες τὴν δύναμιν τῆς λέξεως, πολλάκις πρὸς τὸ σημαινόμενον ὑπαντῶσι, καὶ ῥηματικὸν πληθυντικοῦ ἀριθμοῦ ἐπάγουσιν, οἷον

ἀγρόμενοι πᾶς δῆμος 15

καὶ

ἡ πληθὺς ἐπὶ νηυσὶν Ἀχαιῶν ἀπονέοντο.

„Τὸ τῷ ἑνικῷ ἀριθμῷ." Ὅτε πληθυντικῶς αὐτὸ λέγομεν, οὐκέτι περιληπτικόν ἐστιν; Ναί, λεκτέον καὶ ὅτε πληθυντικῶς αὐτὸ λέγομεν.... ἀλλ' οὐκ ἔδει αὐτὸν 20 εἰπεῖν τὸ δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαῖνον. οὐδὲ γὰρ μόνῳ τῷ ἑνικῷ... πλῆθος περιλαμβάνομεν. ἰδοὺ γὰρ λέγοντες οἱ δῆμοι, συνεστήκασιν ἐξ ἑκάστης διαιρέσεως τῆς ἐν αὐτῇ [πλῆθος] περιλαμβανούσης. καὶ μή τις ὑπολαμβάνῃ ξένον εἶναι τὸ λεγόμενον, ἐπειδὴ καὶ ἐν ἐπιμερι- 25 ζομένοις παρὰ βραχὺ τοῦτο ὁρῶμεν. ὡς γὰρ ἐν τῷ ἕκαστος ἐκ τῆς καθ' ἕνα τομῆς ἐπὶ πάντας γίνεται ἡ αναφορά, καὶ ἐν τῷ ἕκαστοι ἐκ τῆς .... ἐπὶ πάντας κατὰ πολλοὺς τετμημένους λέγεται ἡ ἀναφόρα, οὕτω καὶ ἐν τῷ δῆμος ἑνικῷ τύπῳ πλῆθος περιλαμβάνομεν, καὶ 30 πάλιν ἐν τῷ δῆμοι πολλοὺς δήμους δηλοῦμεν συνηγμένους ἐκ διαιρέσεως ἑκάστης πλῆθος σημαινούσης

„Ἐπιμεριζ. — ἕκαστος." Ἐπιμεριζόμενόν ἐστιν ὃ

ποιεῖται ἀπὸ πλήθους προσώπων. εἴρηται δὲ ἐπιμεριζόμενον, ὅτι ἀπομερίζει ἀπὸ τοῦ πλήθους τὸ καταληπτόν, ὡς τὸ ἕκαστος καὶ ἑκάτερος. λέγοιτο μέν γε τὸ ἕκαστος ἐπὶ πλήθους, τὸ δὲ ἑκάτερος ἐπὶ μόνου δυϊκοῦ.

Τὸ μὲν ἑκάτερος ἐκ δύο ἐπὶ ἓν ἔχει τὴν ἀναφοράν, οἷον ὡς ὅταν εἴπω ἑκάτερος τῶν φίλων γνήσιός ἐστιν· οὗτοι γὰρ ἐπὶ ἓν ἔχουσι τὴν ἀναφοράν, λέγω δὴ τὴν γνησιότητα· καὶ πάλιν τὸ ἕκαστος τῶν φίλων ἐλεύθερός ἐστιν· οὗτοι γὰρ ἐπὶ ἓν ἔχουσι τὴν ἀναφοράν, λέγω δὲ τὴν ἐλευθερίαν.

Τὸ ἐπιμεριζόμενον διὰ τὸ ἐκ τῆς κατὰ μέρος διαιρέσεως ὡς ἐπὶ τὸ πᾶν χωρεῖ, καὶ ὥσπερ τὴν αὐτὴν ἔννοιαν δοκεῖ πως ἔχειν τῷ περιληπτικῷ τὸ ἐπιμεριζόμενον, εἴγε ἑκάτερον αὐτῶν ἐπὶ τὸ πάντας δηλοῦν ἀναφέρεται.. ἡ δὲ διαφορά ἐστιν αὕτη, ὅτι τὸ μὲν ἐκ τοῦ καθ' ἕκαστον ἐπιμερισμοῦ τὴν πρὸς πάντας ἔμφασιν ἔχει, τὸ δὲ οὐκ ἐξ ἐπιμερισμοῦ τὴν πρὸς πάντας ἔμφασιν ἔχει, ἀλλ' αὐτὸ μόνον τὴν περίληψιν σημαίνει τὸ περιληπτικόν.

Καὶ ὁ ὅρος.... καὶ τὰ ἐπιφερόμενα παραδείγματα πάνυ ἐσφαλμένα ἐστίν. εἰ γὰρ τὰ ἐπιμεριζόμενα ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἕκαστον ἔχει τὴν ἀναφοράν, ἔδει εἰπεῖν ἕτερος ἢ ἄλλος, ἐπειδὴ ἐκ δύο ἢ .... καὶ πολλῶν ἕνα σημαίνει. ἔστι γοῦν οὕτως ἄμεινον λέγειν· Ἐπιμεριζόμενόν ἐστιν ὃ ἕνα ἐκ δύο ..... καθ' ἕνα ἢ ἕνα ἐκ πολλῶν ἢ πολλοὺς καθ' ἕνα. οἷον ἕνα. οἷον ἕνα μὲν ἐκ δύο, ὡς τὸ ἕτερος τῶν ὀφθαλμῶν· καθ' ἕνα ὡς τὸ ἑκάτερος τῶν ὀφθαλμῶν· ἕνα ἐκ πολλῶν ὡς τὸ ἄλλος· πολλούς τε καθ' ἕνα ὡς τὸ ἕκαστος.

Εἰδέναι δὲ χρὴ ὡς τινες ἐδόξασαν τὸ ἐπιμεριζόμενον τὴν αὐτὴν ἔννοιάν πως ἔχειν τῷ περιληπτικῷ, ὡς τὸ

λον οὕτως εἰπεῖν· ἔστι δὲ ὅτε καὶ διαθέσεις ὁρῶνται ἐν ὀνόμασι, ῥηματικοῖς οὖσιν, οἷον παρὰ τὸ κέκριται γίνεται ὄνομα κριτής . . . . ὧν τὸ μὲν εἰς ἐνέργειαν ἀναλύεται, τὸ δὲ εἰς πάθος.

Γνωστέον ὅτι τὸ ὄνομα διαθέσεις οὐκ ἔχει· ἡ γὰρ οὐσία καθ' αὑτὴν οὖσα ἀπαθής ἐστι, τὰ δὲ πάθη ἐκ τοῦ ἐπισυμβαίνοντος τῇ οὐσίᾳ, τουτέστι τοῦ ῥήματος. πῶς οὖν εἶπεν ὁ τεχνικὸς τοῦ ὀνόματος διαθέσεις; Ἐροῦμεν ὅτι πολλάκις εἰσὶ ῥηματικὰ ὀνόματα, ἔχοντα τὴν διάθεσιν ἀπὸ τῆς ἐννοίας, καὶ ὡς ἀλλαχοῦ εἰρήκαμεν, ὅτι τὰ ῥήματα, τουτέστι τὰ πράγματα, ἀποτελοῦμεν ἄνθρωποι ἢ ὡς πάσχοντες ἢ ὡς ἐνεργοῦντες. διὰ τοῦτο καὶ ὁ τεχνικὸς τοῦτο εἶπεν, ὥστε νοεῖν ἡμᾶς τὸ μὲν πάθος τοῦ ῥήματος, τὸν δὲ τύπον τῆς φωνῆς τοῦ ὀνόματος. κριτὴς μὲν γὰρ ἀπὸ τοῦ κρίνω, ἀπὸ δὲ τοῦ κρίνομαι κριτός ἤγουν κατάκριτος.

Εἰ ἄρα καὶ τὰ ὀνόματα ἔχουσι διαθέσεις, διὰ τί [μὴ] λέξομεν ἐξ παρέπεσθαι τῷ ὀνόματι, οἷον εἶδη, γένη, σχήματα, ἀριθμοί, πτώσεις, διαθέσεις; Καί φαμεν ὅτι διὰ τοῦτο τὰς διαθέσεις οὐ συναριθμοῦμεν τοῖς παρεπομένοις τῷ ὀνόματι, ἐπειδὴ οὐ πάντα τὰ ὀνόματα σημαίνουσιν ἐνέργειαν ἢ πάθος. ἰδοὺ γὰρ τὸ Αἴας καὶ τὸ Πηλεύς καὶ τὸ λᾶας καὶ τὸ δρῦς καὶ τὸ σοφός οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσι.

§ 15.

ΠΕΡΙ ΡΗΜΑΤΟΣ.

Τὸ ῥῆμα ἀναγκαίως μετὰ τὸ ὄνομα κατετάγη. τῇ φύσει μὲν γὰρ πρωτεύει, διὰ δὲ τὸ δίχα τῆς οὐσίας μὴ φαίνεσθαι συγκεχωρήκαμεν τὸ ὄνομα προτάττεσθαι.

Ἀναγκαίως μετὰ τὸ ὄνομα τὸ ῥῆμα τέτακται. εἰρήκαμεν γὰρ ὅτι τὰ κυριώτατα τῶν μερῶν τοῦ λόγου τό τε ὄνομα καὶ τὸ ῥῆμά ἐστιν, ἐπειδὴ ταῦτα ὥςπερ σῶμα καὶ ψυχὴ ὄντα ποιεῖ τὰ ἄλλα ἐξ αὐτῶν προϊέναι καὶ φαίνεσθαι. καὶ τὸ μὲν ὄνομα πρεσβεύει, ὅτι κατὰ οὐσίας τίθεται· τὸ δὲ ῥῆμα δευτερεύει, ὅτι κατὰ πραγμάτων. ἀναγκαίως τοίνυν μετὰ τὸ ὄνομα τὸ ῥῆμα τέτακται, καθὸ πρεσβεύει τῶν ἄλλων μερῶν.

Εἴρηται δὲ ῥῆμα παρὰ τὴν ῥύσιν τὴν εἰς τοὺς χρόνους· μεταπηδᾷ γὰρ ἐπὶ τοὺς χρόνους πάντας καὶ τὰ πρόςωπα, μικρόν τι τῆς φωνῆς παρατρέψαν, δίκην ὕδατος.

„Ῥῆμα — παριστῶσα." Μὴ ταραττέτω σε τὸ διάφορον τῆς λέξεως, εἰ ποτὲ μὲν μέρη λόγου καλεῖ, ποτὲ δὲ λέξεις. εἴρηται δὲ λέξις παρὰ τὸ λέγειν καὶ ἐξ αὐτῆς σημαίνεσθαι· ἴδιον γὰρ τῶν μερῶν τοῦ λόγου τὸ λέξεις εἶναι [καὶ] σημαινόμενον ἔχειν. καὶ εἴ ποτε εἴπῃ λέξιν καὶ μέρος λόγου, μὴ ξενοφωνοῦ. ταὐτὸν γὰρ μέρος καὶ λέξις· καὶ εἴ τι λέξις, τοῦτο μέρος λόγου, διαλλήλως τῆς λέξεως νοουμένης.

„Ἄπτωτος" δὲ εἶπεν, ἵνα προδιαστείλῃ ἀπὸ τῶν πτωτικῶν. εἰδὼς δὲ ὁ τεχνικὸς ὅτι εἰπὼν „ἐπιδεκτικὴ χρόνων," κατὰ τοῦτο καὶ ἑτέροις συνέπιπτεν — ἔστι γὰρ ἐπιῤῥήματα χρονικά —, τέταχε καὶ τὸ „προςώπων." ἐπεὶ δὲ καὶ κατὰ τοῦτο συνέπιπτε τῇ ἀντωνυμίᾳ, ἀναγκαίως τὸ μόνῳ τῷ ῥήματι ἑπόμενον προςέθηκε, λέγων „ἐνέργειαν ἢ πάθος παριστῶσα." τοῦτο γὰρ καὶ μόνον ἴδιόν ἐστι τοῦ ῥήματος. ὃν τρόπον γὰρ ἀναπτύσσοντες τοῦ ὀνόματος τὸν ὅρον, τὸ κεφαλαιωδέστατον καὶ μόνῳ παρεπόμενον διεσαφηνίσαμεν, λέγοντες εἶναι σώματος καὶ πράγματος διακριτικόν, οὕτω καὶ ἐνταῦθα, πολλὰ τοῦ ὅρου παραπεμψάμενοι, μόνον ἐροῦμεν τὸ ἰδιαζόντως ὑπὸ ῥῆμα ἀναγόμενον.

δὲ καὶ λέγεις ὥρισται, λέγει δὲ ἀόριστόν· λείπει γὰρ τὸ τίς.

Τοῦτο δὲ ἀντωνυμίας ἴδιον, ὅτι πᾶσα ἀντωνυμία πρόσωπα ἔχει, οὐ πᾶν δὲ ῥῆμα, ὡς τὰ προστακτικὰ πρῶτον οὐκ ἔχει.

Πρόσωπον δέ ἐστιν ἡ τῶν ὑποκειμένων διάστασις, ὡς ἡ Ὀππίου Μαξίμου διατριβή. ἢ οὕτως· πρόσωπόν ἐστι τὸ μετειληφὸς τῆς τοῦ ῥήματος διαθέσεως. Πρῶτον δέ ἐστι πρόσωπον τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον ἢ μόνου ἢ καὶ σὺν ἄλλοις, λέγω, λεγόμεθον, λέγομεν. δεύτερόν ἐστι πρὸς ὃν ἡ ἀπότασις ὑπὲρ αὐτοῦ ἢ μόνου ἢ καὶ σὺν ἄλλοις, οἷον λέγεις, λέγεσθον, λέγετε. τρίτον ἐστὶν ὃ μήτε ὑπὲρ ἑαυτοῦ ἀποφαίνεται μήτε πρὸς ὃν ὁ λόγος ἐστίν. Ἀπὸ δὲ πρώτου προσώπου ἀρχόμεθα, ἐπειδὴ τὸ δεύτερον καὶ τὸ τρίτον ἐκ τοῦ πρώτου προφέρονται.

„Χρόνοι — μέλλων." Ἀνάγκη ἐστὶ τὸ ῥῆμα χρόνους ἔχειν. εἰ γὰρ τὸ ῥῆμα πρᾶγμά ἐστι, τὸ δὲ πρᾶγμα ἐνέργειαν ἢ πάθος ἐπαγγέλλεται, ἀνάγκη τὸ γινόμενον ἢ κατὰ πάθος ἢ κατ' ἐνέργειαν καὶ χρόνους ἔχειν. Εἰσὶ δὲ τρεῖς, κατὰ δὲ τὸν ἀληθῆ λόγον δύο, ὅ τε παρεληλυθὼς καὶ ὁ μέλλων· τὸ γὰρ πραττόμενον ἢ πέπρακται ἢ μέλλει, οὐδέποτε δὲ ἐνίσταται. καὶ γὰρ οἱ φιλόσοφοι δύο ὁρίζονται· φασὶ γάρ, εἰ ὁ πόλος κινούμενος τὸν χρόνον ἀπεργάζεται, ἐν ἀκινησίᾳ δὲ οὗτος ἀεὶ καὶ ἐνίσταται οὐδέποτε, οὐκ ἔστιν ἄρα ἐνεστώς. Ἡ δὲ ἐκ τῆς γραμματικῆς ἀκριβεστάτη κρίσις ὁρίζεταί τινα ἀκαριαῖον χρόνον καὶ ὀνομάζει ἐνεστῶτα, ἵνα τὰς κλίσεις τὰς ῥηματικὰς ἀκολούθως δυνηθῇ μετὰ τῆς ἐχούσης ἀκριβείας παραδιδόναι. ὃν γὰρ τρόπον ἐπὶ τῶν ὀνομάτων ἀπὸ τοῦ ἑνικοῦ ἀριθμοῦ τὴν ἀρχὴν τῆς κλίσεως παραδίδωσι καὶ τῆς ὀρθῆς πτώσεως, οὕτω καὶ ἐπὶ τοῦ

ῥήματος ἀπὸ τοῦ ἐνεστῶτος, φημὶ τοῦ ἐπινενοημένου, τὴν ἀρχὴν τῆς κινήσεως ἐπιχειρεῖ, ὡς τρεῖς γίνεσθαι χρόνους.

Στεφάνου. Χρόνος ἐστὶ καιρῶν κύκλος ἤτοι ὡρισμένος ἢ ἀόριστος, ὡρισμένος μὲν ὡς ἐνεστώς, ἀόριστος δὲ ὡς παρῳχημένος. ἢ οὕτως· χρόνος ἐστὶν ἡ τῆς αἰωνίου ῥύσεως ἐπίνοια. τινὲς δὲ εἶπον ἡμερινὸν καὶ νυκτερινὸν φάντασμα. Οἱ φιλόσοφοι δὲ δύο ἴσασι μόνους, παρῳχημένον καὶ μέλλοντα. ἐνεστὼς γάρ φασιν οὐκ ἔστιν, ἐπεὶ ἀεὶ ὁ χρόνος ἐν κινήσει ἐστίν. εἰ γὰρ ὁ χρόνος ἐστὶ κίνησις οὐρανοῦ, ἄστατος δὲ ὁ οὐρανός, οὐκ ἔστιν ἐνεστώς. εἰ δὲ χρόνον ὁρίζομεν διάστημα τῆς τοῦ κόσμου κινήσεως, ἐν ἀκαριαίῳ νοηθήσεται ὁ ἐνεστώς, περιέχων τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. Εἰ δέ τις ζητοίη, πῶς μὴ ἀπὸ παρῳχημένου ἀρχόμεθα, ὡς φύσει προτέρου ὄντος τοῦ ἐνεστῶτος, ἴστω ὡς ὁ ἐνεστὼς τὸ θέμα ἐστὶ τοῦ ῥήματος, ἀφ᾽ οὗ πᾶσαι αἱ κινήσεις· διὸ προετάγη. ἄλλως τε καὶ ὁ παρῳχημένος ἦν ποτὲ ἐνεστώς.

„Τούτων ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον καὶ ἀόριστον." Παρατατικός ἐστι καθ᾽ ὃν ὁ μὲν χρόνος παρῴχηται, τὸ δὲ ἔργον μετὰ παρατάσεως πέπρακται, οἷον ἔτυπτον, ἔπειθον, ἐπαίδευον. ὁ δὲ παρακείμενος νοεῖται ἀπὸ τοῦ παρακεῖσθαι καὶ ἐγγὺς εἶναι τοῦ ἐνεστῶτος τὴν πρᾶξιν αὐτοῦ· δηλοῖ γὰρ τὸ μὴ πρὸ πολλοῦ τοῦ χρόνου πεπρᾶχθαι τὸ πρᾶγμα· ἡ δὲ δύναμις αὐτοῦ.. τῆς συντελείας θεωρεῖται. ὁ δὲ ἀόριστος οὐδὲν ὡρισμένου χρόνου ἐμφαίνει, ὡς οἱ ὑποκείμενοι, ἀλλὰ σὺν μὲν τῷ ἄρτι ταὐτὸν δύναται τῷ παρακειμένῳ, [τέτυπα –] ἔτυψα ἄρτι· τῷ δὲ πάλαι ἴσον δύναται τῷ ὑπερσυντελίκῳ, οἷον ἐτετύπειν – [ἔτυψα] πάλαι. Ὁ δὲ μέλλων παρὰ μὲν ἡμῖν νοητέον τύψω, παίσω, παιδεύσω· παρὰ δὲ τοῖς Ἀττικοῖς καὶ ἄλλως λέγεται μετ᾽ ἐννοίας καὶ προσηγο-

πάλαι προσνεμομένου ὁ ὑπερσυντέλικος γίνεται, οἷον ἐποίησα πάλαι - ἐπεποιήκειν. ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ πάλαι ἀόριστον, δεῖ αὐτῷ προσνέμειν τὸν διορισμὸν τοῦ ποσοῦ, οἷον πρὸ δύο ἐτῶν, πρὸ πέντε, πρὸ δέκα, καὶ ἐπαναβεβηκότα. τῷ δὲ μέλλοντι διασάφησις τοῦ ποσοῦ τῆς μελλήσεως ὁ παρὰ τοῖς Ἀττικοῖς μετ' ὀλίγον μέλλων, οἷον βεβρώσεται, εὑρήσεται, πεπράξεται. ἀόριστος δὲ ἐκλήθη πρὸς ἀντιδιαστολὴν τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, ὁριζόντων τοῦ χρόνου τμῆμα, τοῦ μὲν τὸ ἄρτι συννοούμενον ἔχοντος, οὐ λεγόμενον, τοῦ δὲ ὑπερσυντελίκου τὰ πάλαι. Εἰ δέ τις ἀπορήσειε, πῶς ὁ μέλλων, τοῦ μέλλοντος ἀοριστίαν ἔχων, οὐ καλεῖται μέλλων ἀόριστος, ἔστω παρὰ πόδας ἔχων τὴν λύσιν. ὁ ἀόριστος ἐπ' ἀναιρέσει τῶν ὁριζόντων εἴρηται, τοῦ δὲ μέλλοντος ὡς μέλλοντος οὐδὲν ἐτέθειτο· πῶς οὖν τὸ μὴ τεθὲν ἔμελλεν ἀναιρεῖσθαι διὰ τῆς ἀοριστίας;

§ 16.

ΠΕΡΙ ΣΥΖΥΓΙΑΣ.

„Συζ. — κλίσις." Ἡ συζυγία οὐκ ἔστι μέρος λόγου — οὐδὲ γὰρ αὐτὸς ὁ τεχνικὸς ἔταξεν αὐτὴν ἐν τοῖς μέρεσι τοῦ λόγου —, ἀλλ' ἔστι τῶν παρεπομένων τῷ ῥήματι. ἐπειδὴ δὲ ὁ περὶ ταύτης λόγος πλείονος ἀκριβείας ἐδεῖτο καὶ παραδόσεως, πρὸς εἰσαγομένους διαλεγόμενος ἀναγκαῖον ἡγήσατο ἐν τῷ μέσῳ στῆναι τοῦ ῥήματος, φάσκων περὶ συζυγίας, ὡς ἐκ μεταφορᾶς τῶν ὁδοιπορούντων καὶ ἐν ὁδῷ εὑρισκόντων οἴκησιν πρὸς ὀλίγον χρόνον καταλῦσαι, ἕως τῇ ἑξῆς τὴν πορείαν ποιήσονται. Ὅπερ δὲ ἐν τοῖς ὀνόμασιν ὁ χαρακτήρ, τοῦτο ἐν τοῖς ῥήμασιν ἡ συζυγία. ἀπὸ γὰρ ταύτης μανθάνομεν καὶ τὴν τοῦ ῥήματος δύναμιν. αὕτη γάρ ἐστι κανὼν

νιὼν καὶ ἀναλογία τῆς κλίσεως αὐτῶν. Εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν ὑποζυγίων, ἃ ὑπὸ τὸν αὐτὸν ζυγὸν ὄντα ἴσον δρόμον ποιεῖται, ὡς καὶ τούτων ὅσα ὑπὸ τὴν αὐτὴν ἀνάγεται συζυγίαν, μίαν ποιεῖται τὴν κλίσιν. Ὁρίζονται δὲ αὐτὴν οὕτως· „σύζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσις." τάξει δὲ συμφώνων ἐν τῷ πρώτῳ τοῦ θέματος κανονίζεται, ὡς ἐπὶ τῶν βαρυτόνων· ἢ διφθόγγῳ ἐν τῷ δευτέρῳ, ὡς ἐπὶ τῶν περισπωμένων· ἢ παραφυλακῇ θεματικοῦ φωνήεντος ἐν παραλήξει παθητικοῦ τύπου, ὡς ἐπὶ τῶν εἰς μι, τιθέω τίθεμαι, ἱστάω ἵσταμαι, διδόω δίδομαι, ζευγνύω ζεύγνυμαι.

„Εἰσὶ — ἕξ." Αἱ πᾶσαι συζυγίαι εἰσὶ δεκατρεῖς, ἓξ βαρύτονοι, περισπώμεναι τρεῖς, τῶν εἰς μι τεσσαρες. τὰ βαρύτονα δὲ πρῶτον θετέον, ἐπεὶ τὰ περισπώμενα ἐξ αὐτῶν καὶ τὰ εἰς μι.

Ἀξιόν ἐστι ζητῆσαι, τίνος ἕνεκα προτετίμηται τὰ βαρύτονα. Καὶ ῥητέον ὅτι γνήσιά ἐστιν. εἰ γάρ τις ἀναλύοι τὰ περισπώμενα καὶ ἀναπτύξειε τὸ ὑγιὲς τῆς φωνῆς, εὑρίσκει καὶ αὐτὰ βαρύτονα. καὶ τὰ εἰς μι ὁμοίως.

„Ἐκφέρεται" οἱονεὶ εἰς φῶς ἔρχεται. ἀπὸ θέματος, φησί, καὶ οἱονεὶ ἀφετηρίας προέρχεται, ἐκ μεταφορᾶς τῶν ἁμιλλητηρίων ἵππων.

Ἡ πρώτη, φησί, διὰ τοῦ πρώτου συμφώνου, τοῦ β μέσου καὶ τῶν συγγενῶν, τοῦ π ψιλοῦ καὶ τοῦ φ δασέος. ὁ μέλλων δὲ διὰ τοῦ ψ, [ὅτι καὶ τὰ εἰς ψ λήγοντα] ὀνόματα διὰ τοῦ β, π, φ κλίνεται, οἷον Λίψ Λιβός, κλώψ κλωπός, κίνυψ κίνυφος.

„Ἡ δὲ δευτ. — τίκτω." Ἡ δευτέρα διὰ τοῦ δευτέρου συμφώνου, τοῦ γ μέσου, κ ψιλοῦ καὶ χ δασέος. ὁ μέλλων δὲ διὰ τοῦ ξ, ὅτι καὶ τὰ εἰς ξ περατούμενα διὰ τούτων κλίνεται, κήρυξ κήρυκος, ὄρτυξ ὄρτυγος, ὄνυξ ὄνυχος.

„Ἡ δὲ τρίτη — ἀνύττω." Διὰ τοῦ δ, φησίν, ἡ τρί-

τη, μέσου ὄντος τ̄ ψιλοῦ καὶ ϑ̄ δασέος. ὁ μέλλων δὲ διὰ τοῦ σ̄· καὶ γὰρ τὰ εἰς σ̄ λήγοντα ὀνόματα δι' αὐτῶν τὴν κίνησιν ποιεῖται, οἷον Πάρις Πάριδος, ὄρνις ὄρνιϑος, χάρις χάριτος.

„Ἡ δὲ τετ. — ὀρύσσω." Διὰ τοῦ ζ̄ μὲν ἐκφέρεται αὕτη, ἐπειδὴ τέταρτόν ἐστι σύμφωνον· διὰ δὲ τῶν δύο σσ̄ ἐκφέρεται, ἵνα διπλασιασϑέντος τοῦ σ̄, τὴν ἴσην δύναμιν ἔχῃ τοῦ ζ̄, διπλοῦ ὄντος. 5

„Ἡ δὲ πέμπτη — σπείρω." Διὰ τῶν τεσσάρων ἀμεταβόλων αὕτη ἐκφέρεται, ἐπειδὴ κατείληπτο τὸ ϑ̄ ἐν τῇ τρίτῃ συζυγίᾳ καὶ τὸ κ̄ ἐν τῇ δευτέρᾳ. διὰ τοῦτο προσέλαβε τὸ λ̄ καὶ σὺν αὐτῷ τὰ λοιπὰ ἀμετάβολα. 10

„Ἡ δὲ ἕκτη — βασιλεύω." Διὰ καϑαροῦ τοῦ ω̄ ἐξηνέχϑη, ἐπειδὴ προκατηναλώϑησαν ἐν ταῖς λοιπαῖς συζυγίαις τὰ σύμφωνα. 15

„Τινὲς — ἕψω. Εἰρήκαμεν ὅτι, ἐπὰν μὴ ἀρέσκηται δόξῃ ὁ τεχνικός, προστίϑησι τὸ τινές. Διὰ τί μὴ ἀρεσκόμενος τάττει καὶ ἐντίϑησι ζιζάνια; Ἵνα μὴ τοῖς πολλοῖς δοκῇ κατ' ἄγνοιαν παραπέμπεσϑαι. Ὅτι δὲ διὰ τοῦ ξ̄ καὶ ψ̄ οὐκ ἔστι συζυγία βαρύτονος, ἐκ τῆς κλίσεως ἔστι διδαχϑῆναι. τὰ βαρύτονα ῥήματα κατὰ τὸν μέλλοντα ἰσοσύλλαβά εἰσι τοῖς ϑέμασιν, οἷον τύπτω τύψω, λέγω λέξω, ᾄδω ᾄσω· τὰ δὲ περισπώμενα πλεονάζει μιᾷ συλλαβῇ κατὰ τὸν μέλλοντα, νοῶ νοήσω, βοῶ βοήσω, ποιῶ ποιήσω. εἰ οὖν εὑρίσκεται ἀλεξήσω καὶ ἑψήσω καὶ αὐξήσω ὁ μέλλων, ὁμολογουμένως περισπώμενά εἰσιν. ὁ δὲ βαρύτονος τούτων τόνος Ἀττικῶν ἐστίν. 20 25

§ 17.

ΠΕΡΙ ΤΩΝ ΠΕΡΙΣΠΩΜΕΝΩΝ.

30

„Περισπωμ. — νοεῖ." Τὰ περισπώμενα δυνάμει βαρύτονά εἰσιν. οὐκ ἄπορον οὖν, διὰ τί τῶν περισπωμέ-

νων αἱ συζυγίαι οὐ κατὰ τάξιν τῶν φωνηέντων προέρχονται, ὡς αἱ τῶν βαρυτόνων κατὰ τάξιν τῶν συμφώνων ἐτυπώθησαν. ἐπεὶ γὰρ πάντων τῶν βαρυτόνων τὸ δεύτερον πρόσωπον τὴν ῑ δίφθογγον εἶχεν, εἰκότως ἐν τῇ πρώτῃ τῶν περισπωμένων ἔλαχεν αὕτη. ἀλλὰ καὶ ὅτι ἡ δευτέρα τῶν περισπωμένων ἐργωδεστέρα ἦν καὶ πλείονος τεχνολογίας δεομένη, ἁπλουστέρα δὲ ἡ διὰ τῆς ῑ διφθόγγου. καὶ ὅτι ἡ διὰ τῆς ῑ πλείονας ἔχει φωνάς, παρακειμένων μέσων [καὶ] ἀορίστων, ἡ δευτέρα ἐλάττους, ἡ τρίτη ἔτι ἐσπάνισεν. ὅθεν οὕτως αὐτῶν ἡ τάξις ἐτέθη, καὶ εὐλόγως προετέθη ἡ ῑ δίφθογγος. κἂν γὰρ μεταχθῶσι βαρύτονα ῥήματα εἰς περισπώμενα, εἰς ταύτην μετάγονται, ῥίπτω - ῥιπτῶ ῥιπτεῖς ῥιπτεῖ.

§ 18.

ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΜΙ.

„Τῶν δὲ εἰς μι — περισπωμ." Τὰ εἰς μι λήγοντα ῥήματα ἀεί ποτε ἐν παραγωγῇ εἰσίν, οὐδέποτε δὲ ἐν πρωτοτύποις. ἔχει δὲ τὴν παραγωγὴν ἢ ἀπὸ τῶν βαρυτόνων τῆς ἕκτης ἢ μόνων τῶν περισπωμένων. καὶ λέγει ὁ τεχνικὸς τὴν μὲν πρώτην ἀπὸ τῆς πρώτης, τὴν δὲ δευτέραν ἀπὸ τῆς δευτέρας, τὴν δὲ τρίτην ἀπὸ τῆς τρίτης, τὴν δὲ τετάρτην ἀποφαίνεται ἐκ τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελεῖσθαι. Καὶ τίνος ἕνεκα αἱ μὲν ἄλλαι ἀπὸ τῶν περισπωμένων, ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων; Καὶ λέγομεν ὅτι τὰ περισπώμενα τρεῖς μόνας εἶχε τὰς συζυγίας, ὥστε τὰς τρεῖς ἀπὸ τῶν τριῶν γεγενῆσθαι· εἰ γὰρ τέσσαρας εἶχε, καὶ ἡ τετάρτη τῶν εἰς μι ἐκεῖθεν ἐγίνετο. εἴ τις δὲ ἐθελήσειε τῇ ἀκριβείᾳ ἐπιβαλεῖν, καὶ τὰς ἄλλας τρεῖς εὑρήσει ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελούσας τῶν εἰς μι.

πάλλων, δὶ ἀμεταβόλων· βασιλεύων, ἕκτην. Καλῶς δὲ εἶπε „καὶ τῆς τῶν ὀνομάτων." μετέχει γὰρ καὶ τῶν παρεπομένων τῷ ὀνόματι. γένη γὰρ ἔχει, ὁ νοῶν - ἡ νοοῦσα - τὸ νοοῦν· εἴδη, ἄρδων πρωτότυπον, καὶ ἀρδεύων παράγωγον· σχήματα, ἁπλοῦν μὲν φρονῶν, 5 σύνθετον δὲ καταφρονῶν, παρασύνθετον δὲ ἀντιγονίζων· ἀριθμούς, οἷον ἀγνοοῦντες· πτώσεις, οἷον τύπτων καὶ τὰ ἑξῆς.

§ 20. 10

ΠΕΡΙ ΑΡΘΡΟΥ.

Πρῶτον ὁ τεχνικὸς εἶπε περὶ ὀνόματος, εἶτα περὶ ῥήματος, εἶθ' οὕτω τρίτον περὶ μετοχῆς ἀναγκαίως, ἐπεὶ μετέχει τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος. ὅθεν τὸ ἄρθρον τέταρτον, ἐπειδὴ συναρτᾶται τῷ ὀνόματι. Προτέτακται δὲ τὸ ἄρθρον τῆς ἀντωνυμίας· ἡ μὲν γὰρ ἀντωνυμία ἀντὶ τοῦ ὀνόματός ἐστιν, ὅθεν δικαίως προτέτακται τὸ μετὰ τοῦ ὀνόματος· γνησιώτερον γὰρ τὸ μετά τινος τοῦ ἀντί τινος. 15 20

Ἔφασάν τινες δεῖν τοῦ ἄρθρου προτετάχθαι τὴν ἀντωνυμίαν, οἷς οὐ χρὴ πείθεσθαι. ἡ μὲν γὰρ ἀντὶ ὀνόματος παραλαμβάνεται, τὸ δὲ σὺν ὀνόματι τάττεται· καὶ εὔλογον προκρίνεσθαι τὸ μετά τινος τῆς ἀντί τινος. 25 προτακτέον τοίνυν τὸ συνὸν τοῖς ὀνόμασι τῆς ἀντὶ αὐτῶν παραλαμβανομένης, καὶ λεκτέον ἄρθρον αὐτὸ λέγεσθαι ἤτοι ἐκ τοῦ συναρτᾶσθαι πτωτικοῖς καὶ μηδέποτε δίχα αὐτῶν εὑρίσκεσθαι (ἀμέλει ἡνίκα ἀπόλλυσι τὴν πρὸς τὰ πτωτικὰ συνάρτησιν, ἀντωνυμία γίνεται· 30

ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
τοῦ δ' ἀπὸ μὲν γλῶσσαν·
τῷ δ' αἰεὶ πάρα εἶς γε·

ἐν τούτοις γὰρ μὴ εὑρὸν ποίῳ πτωτικῷ συναρτηθῇ, ἀντὶ ἀντωνυμίας παραλαμβάνεται) ἢ παρὰ τὸ ἀρθροῦν τὰ κατ' ἀριθμὸν καὶ γένος καὶ πτῶσιν .... ἀλλὰ τὸ ἄρθρον ὀρθροῖ. ἐὰν προταγῇ τὸ ὁ, εὑρεθήσεται ἀρσενικὸν ὄνομα ἀριθμοῦ ἑνικοῦ πτώσεως ὀρθῆς· ἐὰν δὲ τὸ ἡ ἄρθρον προταγῇ αὐτοῦ, εὑρεθήσεται θηλυκὸν ὄνομα ἀριθμοῦ ἑνικοῦ πτώσεως ὀρθῆς. ἢ παρὰ τὸ ἀρθροῦν κατὰ ἀναφορὰν τὴν προϋποκειμένην γνῶσιν ἡμῖν.

Ὁρίσθεον οὖν αὐτὸ οὕτως· Ἄρθρον ἐστὶ μέρος λόγου συναρτώμενον πτωτικοῖς κατὰ παράθεσιν προτακτικῶς ἢ ὑποτακτικῶς μετὰ τῶν συμπαρεπομένων τῷ ὀνόματι εἰς γνῶσιν προϋποκειμένην, ὅπερ καλεῖται ἀναφορά.

[Οὐκ] ἐπινενόηται τοῖς τεχνικοῖς, ὡς πέρ τινες νενομίκασιν, ἕνεκα τῆς τῶν γενῶν διακρίσεως. πολλάκις γὰρ ὁρῶμεν καὶ αὐτὰ τὰ ἄρθρα ἀναμένοντα τὴν σύνταξιν τῶν ὀνομάτων πρὸς τὸ διασαφηνίσαι ἡμῖν, ποίου ποτὲ γένους ἐστὶ τὸ ζητούμενον. ἰδοὺ γὰρ τὸ τῶν ἐπὶ γενικῆς ἁρμόττει τοῖς τρισὶ γένεσι, καὶ οὐκ ἔστιν ἀπὸ μόνου τοῦ ἄρθρου καταλαβεῖν, ποίου γένους ἐστίν, εἰ μὴ ἐπενεχθὲν τὸ ὄνομα δείξει ἡμῖν, ποίου γένους ἐστίν. Ἔστι δὲ εἰπεῖν ὅτι τὸ ἄρθρον ἐπινενόηται πρὸς τὸ ἀναφορὰν σημαίνειν. ἀναφορὰ δέ ἐστιν ἀναπόλησις προεγνωσμένου καὶ ἀπόντος προσώπου. ἄλλο γάρ τί ἐστιν εἰπεῖν ἄνθρωπος ἦλθε, καὶ ἄλλο μετὰ τοῦ ἄρθρου. τὸ γὰρ ἄρθρον δευτέραν γνῶσιν ἐπαγγέλλεται. ἐὰν γάρ τίς σοι εἴπῃ ναῦς ἦλθε, δοκεῖς ἀγνοεῖν ποία· ἐὰν δὲ σὺν τῷ ἄρθρῳ, τρόπον τινὰ ὑπομιμνήσκει τὸ τὴν προεγνωσμένην ὑπὸ σοῦ καὶ αὐτοῦ τοῦ λέγοντος.

Ἰστέον δὲ ὅτι τὰ ἄρθρα ἀναφορᾶς ἕνεκεν παρελήφθη τῶν ὀνομάτων, ἤ τίς ἐστι προεγνωσμένου προσώπου ἀναπόλησις· ἢ ὑπεροχῆς, ὡς ὁ ποιητής· ἢ μοναδικῆς κτήσεως, ὡς ὁ δοῦλός μου· ἢ ἐπὶ προλήψεως, ὡς τὸ

κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος.

„Μέρος — λόγου" τὸ ἄρθρον· ἓν γὰρ τῶν συμπληρούν-
των εἰς τὴν τελειότητα τοῦ λόγου. „πτωτικὸν" δέ, ὅτι ἔν ἐστι
τῶν πτωτικῶν· τῶν γὰρ μερῶν τοῦ λόγου τὰ μὲν πτωτικά
ἐστι, τὰ δὲ ἄπτωτα. ἐνδεῶς δὲ τὸ „προτασσόμενον τῆς κλί- 5
σεως τῶν ὀνομάτων." οὐ μόνων γὰρ τῶν ὀνομάτων προτάσ-
σεται τὰ ἄρθρα, ἀλλὰ καὶ πάντων ὁμοῦ τῶν κλίνεσθαι
εἰς πτῶσιν δυναμένων· καὶ γὰρ μετοχῶν καὶ ἀντωνυμιῶν
προτάττεται, καὶ ἔστι προτακτικὸν μὲν ὅ, ὑποτακτικὸν
δὲ ὅς, προτακτικὸν μὲν ἐστιν ὃ πρότασσεται τῇ τοῦ 10
ὑποτακτικοῦ γραφῇ· τὸ δὲ ὑποτακτικόν, ὅπερ ὑποτάσσε-
ται τῷ ὀνόματι, οἷον προτακτικόν ἐστιν ὁ Ὅμηρος,
ὑποτακτικὸν δέ Ὅμηρος ὃς ἦν παῖς Μέλητος πο-
ταμοῦ. Ἀεὶ δὲ τὰ ἄρθρα πτωτικοῖς συναρτᾶται, τοῖς
δυναμένοις δέξασθαι τὴν ἀναφοράν. εἰ δὲ ἀπολέσει τὴν 15
πρὸς τὰ πτωτικὰ συνάρτησιν, ἀντωνυμία γίνεται, ὡς τὸ

ὁ γὰρ ἦλθε,
τῷ δ' αἰεὶ πάρα εἷς γε.

Δεῖ εἰδέναι ὅτι τὰ μὲν προτακτικὰ καταλλήλως προ-
τίθεται τῶν πτωτικῶν, τὰ δὲ ὑποτακτικὰ ἔσθ' ὅτε καὶ 2
ἐν διαφόρῳ πτώσει. καὶ τοῦ μὲν προτέρου, ...
ἐθεασά μην τὸν ἄνθρωπον ᾧ ὡμίλησα. καὶ διὰ
τί; λεχθήσεται ἡ αἰτία ἐν τῷ περὶ αὐτῶν.

Ἔστι δὲ ἡ κλίσις αὐτῷ κατὰ ἀκολουθίαν φωνῆς
καὶ οὐ κατὰ ἀκολουθίαν σημασίας. εἶπον δὲ τοῦτο 2
ἐπειδὴ θεματικὰ ὑπ' ἐνίων ὑπελήφθη ὡς αἱ πρωτότυ-
ποι τῶν ἀντωνυμιῶν, λεγόντων κατὰ ποῖον λόγον εἴποι
τις τοῦ ὁ γενικὴν εἶναι τὸ τοῦ, ὅπου γε πάντα τὰ πτω-
τικὰ αὐτὸ μόνον κατὰ τέλος θέλει διαλλάττειν καὶ οὐ
κατὰ τὸ ἄρχον; καὶ τὰ παρεσχηματισμένα τῶν οὐδετέ- 3
ρων συνέρχεται ἐκείνοις ἀφ' ὧν καὶ παρεσχημάτισται·
ἤρξατο δὲ τὸ οὐδέτερον ἀπὸ τοῦ τ, τοῦ ὁ ἀρσενικοῦ καὶ

ἢ θηλυκοῦ μὴ ἐχόντων τὸ τ̄. ποίας δὲ καὶ ἔχεται ἀκο-
λουθίας τὸ ὦ κλητικὸν πρὸς τὸ ὁ, ὅτε καὶ κλητικαὶ θέ-
λουσιν εἶναι ἢ [αἱ] αὐταὶ ταῖς εὐθείαις ἢ ἐλάττονες, τὸ δὲ
ἐκ τῶν ἐναντίων καὶ μεγεθύνεται, πρὸς τῷ καὶ πνεῦμα μα-
χόμενον ἔχειν; Πρὸς οὓς δεῖ λέγειν ὅτι καὶ κατὰ τόνον 5
καὶ πτῶσιν καὶ καταγραφὴν ἀκόλουθά ἐστι τὰ ἄρθρα [χω-
ρὶς] τοῦ ὦ, περὶ οὗ λεχθήσεται ἰδίᾳ ὡς οὐκ ἔστιν ἄρθρον
ἀλλ' ἐπίῤῥημα. τὸ γὰρ ὁ μόνον τὴν ἀφαίρεσιν τοῦ τ̄
πέπονθε κατὰ τὴν εὐθεῖαν, καὶ τὸ θηλυκὸν αὖ τὸ ἡ.
καὶ μαρτυροῦσι τούτων τὰ πληθυντικὰ ἐντελῶς λεγόμε- 10
να παρὰ Δωριεῦσι τοί καὶ ταί· διελέγχουσι δὲ τοῦτο καὶ
αἱ λοιπαὶ πτώσεις ἀπὸ τοῦ τ̄ ἀρχόμεναι· ὥσπερ γὰρ τὸ
καλὸς ἔχει τὸ δυϊκον τὼ καλὼ καὶ τὸ καλή τὰ καλά,
οὕτω καὶ τὸ ὁ καὶ τὸ ἡ ἔχει τὰ δυϊκὰ τώ καὶ τά, ὁμοί-
ως καὶ τὸ πνεῦμα σαφὲς τοῦτο παρίστησιν, ἐπεὶ οὐ δα- 15
σύνεται ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, εἰ μὴ ἀπο-
βολὴν τοῦ τ̄ ποιήσηται· οὐκοῦν ἐν οἷς δασύνεται τὸ ὁ
καὶ τὸ ἡ καὶ τὰ τούτων πληθυντικά, ἐν τούτοις δείκνυ-
σι τὴν ἀφαίρεσιν τοῦ τ̄. Πέπονθε τὸ ἀρσενικὸν καὶ
ἀποκοπὴν τοῦ σ̄ κατὰ τὸ τέλος. καὶ ἔστιν ἐντεῦθεν γνῶ- 20
ναι· πᾶν γὰρ πτωτικὸν εἰς οῑ λῆγον κατὰ τὸ πληθυν-
τικὸν εἰς ος̄ λήγουσαν ἔχει τὴν ἑνικὴν εὐθεῖαν. καὶ ἐξ
ἄλλων δὲ πολλῶν κανόνων ἔστι μαθεῖν ὅτι τὸ τός ἦν τὸ
ἀρσενικὸν ἄρθρον κατὰ τὴν ἑνικὴν εὐθεῖαν καὶ τὸ θη-
λυκὸν αὐτοῦ τὸ τή καὶ τὸ οὐδέτερον τόν, ἐπειδὴ φαμεν 25
τὰ ἀπὸ τῶν εἰς ος̄ ληγόντων ἀρσενικῶν παρεσχηματι-
σμένα ῥυδέτερα τῇ αἰτιατικῇ αὐτῶν ἐμπίπτει, ὁ καλός -
τὸν καλόν - τὸ καλόν, ὁ σοφός - τὸν σοφόν - τὸ σο-
φόν. εἰ τοίνυν ἡ εὐθεῖα τῶν ἀρσενικῶν τός ἦν καὶ ἡ
αἰτιατικὴ τόν, δῆλον ὅτι καὶ τὸ οὐδέτερον τόν ἦν κατὰ 30
τὴν ἑνικὴν εὐθεῖαν, ἀλλ' ἀναγκαίως ἐλλείπει τὸ ν̄· ἐπειδὴ
γὰρ ἀντωνυμίαις συνεμπίπτει ἡ φωνὴ τῶν ἄρθρων,

δὴ τὰ ὀνόματα, καθὼς ἤδη εἰρήκαμεν, τρίτου ἐστὶ προσώπου.

§ 22.

ΠΕΡΙ ΠΡΩΤΟΤΥΠΩΝ.

Εἰς δύο διαιρῶν τὰς ἀντωνυμίας, πρωτοτύπους καὶ παραγώγους, ἑκατέραις αὐταῖς ἕκαστον τῶν παρεπομένων ἀποδίδωσι.

Ὥςπερ δύο ἀδελφῶν διαιρουμένων πάντα τὰ τῆς οὐσίας εἰς δύο διαρεῖται, [ὥςτε] εἰ τύχοι χρυσὸς ὢν ἐν τῇ οὐσίᾳ, καὶ τούτῳ χρυσὸς ἀποδίδοται καὶ τούτῳ, οὕτως εἰς δύο διαιρουμένων τῶν ἀντωνυμιῶν, εἴς τε πρωτότυπον καὶ παράγωγον, ἐπειδὴ πρῶτον παρεπόμενόν ἐστι τὰ πρόςωπα, ἀποδοτέον καὶ τῇ πρωτοτύπῳ πρόςωπα καὶ τῇ παραγώγῳ. Ἔστι τοίνυν τὰ πρόςωπα τῶν μὲν πρωτοτύπων ἀντωνυμιῶν ἐγώ, σύ, ἵ. Καὶ μὴ ἀκούων, ὦ τᾶν, πρόςωπα καὶ πτώσεις ἐν ταῖς ἀντωνυμίαις ταραχθῇς, τοῦτο λογιζόμενος πῶς καὶ πρόςωπα καὶ πτώσεις ὁρῶνται ἐν τῇ αὐτῇ ἀντωνυμίᾳ, τοῦ ὀνόματος μὴ ἔχοντος οὕτως. τοῦτο γὰρ αὐτὸ σαφές σοι γενήσεται. προείρηκαμεν ἤδη ὅτι τὸ ὄνομα οὐκ ἠδύνατο οὔτε πρώτῳ προςώπῳ ῥήματος οὔτε δευτέρῳ συντάττεσθαι, ἀλλὰ μόνῳ τρίτῳ· καὶ διὰ τοῦτο προῆλθεν ἡ ἀντωνυμία, ἀντὶ ὀνόματος ἀναπληροῦσα τὴν σύνταξιν τὴν ὀφείλουσαν γίνεσθαι ἔν τε πρώτῳ καὶ δευτέρῳ προςώπῳ τοῦ ῥήματος. ὥςτε εἴγε ἠδυνήθη τὸ ὄνομα τοῦτο ποιῆσαι, ἐλέγετο δὴ τὸ ὄνομα πρόςωπα ἔχειν καὶ τῆς ἀντωνυμίας οὐκ ἐγένετο χρεία. οἷον εἰ ἐφίετο Θουκυδίδην λέγειν Θουκυδίδης συνέγραψα, ἐλέγετο ἂν τὸ Θουκυδίδης ὄνομα πρώτου προςώπου εἶναι, ἐπειδὴ ῥήματι τῷ συνέγραψα συνετάττετο, πρώτου προςώπου ὄντι·

τι· καὶ πάλιν εἰ δυνατὸν ἦν λέγειν Θουκυδίδης συνέγραψας, ἐλέγετο τὸ Θουκυδίδης ὄνομα δευτέρου προσώπου εἶναι, ἐπειδὴ ῥήματι συνετάττετο δευτέρου προσώπου ὄντι. ἀλλ' ἐπειδὴ τοῦτο ἀδύνατον, φαμὲν ἀντὶ τοῦ Θουκυδίδης συνέγραψα πρώτου προσώπου τὸ ἐγὼ συνέγραψα [καὶ] ἀντὶ τοῦ Θουκυδίδης συνέγραψας δευτέρου προσώπου [τὸ] σὺ συνέγραψας. ἔστω τοίνυν ἡ ἐγώ ἀντωνυμία πρώτου προσώπου καὶ ἡ σύ δευτέρου εὐθείας πτώσεως· ἀντὶ γὰρ τοῦ Θουκυδίδης ὀνόματος ὀρθῆς ὄντος πτώσεως παρελήφθησαν. καὶ γένους ἦν ἀρσενικοῦ, ἐπειδὴ ἀρσενικὸν ὄνομα παρελάβομεν. εἰ δὲ εἴη γυνὴ ἡ λέγουσα ἐγὼ ἔγραψα ἢ πρὸς γυναῖκά φαμεν σὺ ἔγραψας, γένους ἂν εἴη θηλυκοῦ ἐν τοῖς τρισὶ προσώποις καὶ πτώσεως ὀρθῆς, ἐγώ, σύ, ἵ, ἀντωνυμία ἑνικοῦ ἀριθμοῦ (περὶ γὰρ ἑνός φαμεν) καὶ σχήματος ἁπλοῦ. καὶ πάλιν εἰ παιδίον εἴη, τὸ λέγον [ἐγὼ] ἔγραψα ἢ πρὸς παιδίον λέγομεν σὺ ἔγραψας, γένους ἂν εἴη οὐδετέρου ἐν τοῖς τρισὶ προσώποις καὶ πτώσεως ὀρθῆς, ἐγώ, σύ, ἵ, ἀντωνυμία ἑνικοῦ ἀριθμοῦ (περὶ γὰρ ἑνός φαμεν) καὶ σχήματος ἁπλοῦ (ἁπλῆ γὰρ ὁρᾶται καὶ μίαν ἔχουσα λέξιν κατὰ [πᾶν] πρόσωπον ἡ ἐγὼ ἀντωνυμία) καὶ εἴδους πρωτοτύπου (πρωτόθετος γάρ ἐστι καὶ πρωτοφυής, μήπω παραγωγὴν ἐξ ἄλλου εἰς τὸ εἶναι δεξαμένη). Οὐ μὴν σιωπήσω καὶ τὰς πλαγίας αὐτῆς, ἀντωνυμίας τῆς πρωτοτύπου, κατὰ πρόσωπον καὶ πτῶσιν καὶ ἀριθμόν· τὸ γὰρ γένος αὐτῆς οὐκ ἐκ τῆς φωνῆς ἀλλ' ἐκ τῆς δείξεως τοῦ λέγοντος διακρίνεται, καὶ τὸ σχῆμα ἴσμεν ὅτι ἁπλοῦν ἐστί, καὶ τὸ εἶδος ὅτι πρωτότυπον. οὐκοῦν ἰτέον ἐπὶ τὴν κλίσιν, ἵνα τοῖς [ἐν]τυγχάνουσι σαφὴς αὕτη γένηται.

Πρὸ δὲ τῆς κλίσεως εἰδέναι χρὴ ὅτι τῶν μὲν ὀνομάτων καὶ τῶν ῥημάτων ἡ κλίσις καὶ κατὰ ἀκολουθίαν φωνῆς προέρχεται καὶ ἡ ἑτέρα ὑπὸ τῆς ἑτέρας κα-

μάτων, λέγω - λέγεις. κινοῦνται δὲ αἱ ἀντωνυμίαι καὶ κατὰ πρόσωπα καὶ κατὰ πτῶσιν. ἀλλ' οὐκ ἠδύναντο ἑκατέραν κλίσιν ἐν τέλει ποιήσασθαι, ἵνα μὴ σύγχυσις γένηται. κατεμέρισαν οὖν τῷ μὲν προσώπῳ τὴν ἀρχήν, τῇ δὲ πτώσει τὸ τέλος, οἰκείως τῇ πτώσει τὸ τέλος δόντες, ὡς ἀντ' ὀνόματος οὖσαι, οὗ ἡ πτωτικὴ κίνησις ἐν τέλει ἦν. *)

„Παραγώγων δὲ ἐμός σός ὅς." Ἀπὸ κοινοῦ πρόσωπα δεῖ προσθεῖναι, ἵν' ᾖ παραγώγων δὲ πρόσωπα. πρῶτον δὲ πρόσωπον ἐμός, δεύτερον δὲ πρόσωπον σός, τρίτον δὲ πρόσωπον ὅς. 1

„Γένη — ἐγώ." Ἴσμεν ὅτι γένη εἰσὶ τρία, ἀρσενικόν, θηλυκόν, οὐδέτερον. ἅπερ αἱ πρωτότυποι ἀντωνυμίαι διὰ μὲν τῆς φωνῆς οὐ διαστέλλουσι, διὰ δὲ τῆς ὑπ' αὐτῶν δείξεως· ἡ γὰρ δεῖξις συνηγούμενον ἔχει καὶ τὸ γένος. ὅθεν καὶ μοναδικαὶ καλοῦνται, ἐπεὶ διὰ μιᾶς φωνῆς ἡ τριγένεια παρίσταται· ἡ γὰρ ἐγώ καὶ σύ ἐπὶ παντὸς γένους λέγεται. Ἰστέον δὲ ὡς πᾶσα ἀντωνυμία ἢ δεικτική ἐστιν ἢ ἀναφορική. καὶ δεικτικαί εἰσι μόνον αἱ κατὰ τὸ πρῶτον πρόσωπον, ὅσαι γένους εἰσὶ παραστατικαί .... καὶ δεικτικαὶ καὶ ἀναφορικαί, ὡς ἐκεῖνος, ὅδε, οὗτος, ὑποστελλομένης τῆς αὐτός· μόνην γὰρ ἀναφορὰν δηλοῖ. ἤ τις πάλιν δεικτικὴ γίνεται συντασσομένη ταῖς δεικτικαῖς ἀντωνυμίαις, οἷον ἐγὼ αὐτός, σὺ αὐτός, ἐκεῖ-

*) Ζητῆσαι δὲ ἄξιον, τίνος ἕνεκα, εἰ τὸ ῥῆμα ἐν προσώποις, ὡσαύτως δὲ καὶ ἡ ἀντωνυμία, διά τί τὸ μὲν ῥῆμα ἔξωθεν κλίνει τὰ πρόσωπα, ἡ δὲ ἀντωνυμία ἔσωθεν. Καὶ ῥητέον ὅτι ἡ μὲν ἀντωνυμία κεκλῆται. ἔδει οὖν ἐκείνου τὸν χαρακτῆρα ἔχειν, ἀνθ' οὗ λαμβάνεται, καὶ ἐν τῷ κυριωτέρῳ τόπῳ εἶναι. ὁ δὲ κυριώτερος τόπος ἐστὶ τὸ τέλος. ὅθεν ἐν μὲν τῷ τέλει τὴν κίνησιν ἔχει, ὥςπερ τὸ ὄνομα, ἐν δὲ τῇ ἀρχῇ τὰ πρόσωπα, εἴγε τοῦτο ἴδιον αὐτῆς ἐστί, καὶ τὰ πρόσωπα ὁρίζεσθαι.

νος αὐτός. εἶπον δὲ ὅσαι γένους εἰσὶ παραστατικαί, ἐπειδὴ αἱ τοῦ τρίτου προσώπου, ὅτε γένους ἀπαρέμφατοί εἰσι, μόνον ἀναφορικαὶ τυγχάνουσιν, ἥ τε ἵ, οὗ, οἷ, ἕ. ἔστι δὲ καὶ ἐκ πολλῶν κανόνων μαθεῖν ὡς οὐκ ἀκόλουθοί εἰσιν αἱ πρωτότυποι ἀντωνυμίαι οὔτε κατὰ πρόσωπον καὶ 5 ἀριθμόν. „Τῶν δὲ παραγώγων." ἀπὸ κοινοῦ, διὰ τῆς φωνῆς τὰ γένη διακρίνεται, οἷον ὁ ἐμός, ἡ ἐμή, τὸ ἐμόν. ἐψεύσατο οὖν εἰπὼν τὸ παραγώγους σημαίνειν διὰ τῆς φωνῆς τὸ γένος. τῶν γὰρ πρωτοτύπων [οὐ] σημαινουσῶν, πῶς αἱ παράγωγοι σημαίνουσιν; ἔστι τοίνυν τοῦ κτήματος τὸ 10 ἄρθρον, καὶ οὐ τῆς ἀντωνυμίας. καὶ εὑρήσεις τοῦτο ἀληθές, εἴγε ἀναλύσεις αὐτὴν εἰς γενικήν, ἐξ ἧς καὶ ἐγένετο. εἰ γὰρ εἴποις ὁ δοῦλός μου, δῆλον γενήσεται ὅτι τὸ ἄρθρον τοῦ κτήματός ἐστι καὶ ὅτι δύναται ἀρσενικὸν καὶ θηλυκὸν καὶ οὐδέτερον γένος εἰπεῖν ὁ δοῦ- 15 λός μου. καὶ πάλιν εἰ εἴποις κατὰ ἀνάλυσιν ἡ δούλη μου, πάντως εὑρεθήσεται τὸ μὲν ἄρθρον τοῦ κτήματος ὄν, ἡ δὲ ἀντωνυμία γένους ἀδιάστολος, διότι μιμοῦνται πᾶσαι αἱ παραχθεῖσαι κατὰ τὸ ἐντὸς πρόσωπον τὰς πρωτοτύπους ἀντωνυμίας. 20

Οὐκ ἔστι, φησίν, ἀπὸ χαρακτῆρος ἢ ἀρσενικὸν ἢ θηλυκὸν ἢ οὐδέτερον καταλαβεῖν ἐπὶ τῆς πρωτοτύπου ἀντωνυμίας, ἀλλὰ τὸν ἔλεγχον ἔχειν ἀπὸ τῶν προσώπων τῶν διαλεγομένων. διὰ γὰρ τῆς ὑπ' αὐτῶν δείξεώς φησιν· 25 . . . . πρωτότυπος δὲ ἀντωνυμία ἐστὶν ἡ ἐγώ.

„Τῶν δὲ — ἐμόν." Ἐν ταῖς παραγώγοις ἡ ἀντωνυμία, ἐπειδὴ χαρακτῆρα ἔσχεν ὀνοματικόν, καὶ [τὴν] τῶν ὀνομάτων κίνησιν ἀναδέδεκται.

Ταύτας δὲ τὰς παραγώγους καὶ κτητικὰς ἔφασάν 30 τινες καὶ διπροσώπους· ἅπαξ γὰρ ὡς κτῆμα σημαίνουσα, καὶ τὸν κτήτορα περιλαμβάνει. καὶ ὥσπερ ἐπὶ τῶν ὀνομάτων τὰ κτητικὰ ἐπαγγέλλεται κτῆσιν, περιλαμβανο-

„Παραγώγων — οἵ." Πάλιν δὲ καὶ ἐνταῦθα τῷ αὐτῷ πταίσματι περιέπεσεν. ἔδει γὰρ εἰπεῖν ἑνικὸς·ἐμός, δυϊκὸς ἐμώ, πληθυντικὸς ἐμοί, καὶ μὴ πρόσωπα ἀντὶ ἀριθμοῦ παραστῆσαι.

„Πτώσεις — ἵ." Πάλιν μέμψεως ἄξιος ὁ τεχνο- 5
γράφος, ὅτι βουλόμενος πτώσεις πρωτοτύπων ἀντωνυ-
μιῶν παραστῆσαι, μετὰ τῶν πτώσεων καὶ τὰ πρόσωπα
παρέλαβεν. ἔδει γὰρ οὕτως· εἰπεῖν, ὀρθῆς ἐγώ, γενικῆς
ἐμοῦ, δοτικῆς ἐμοί, αἰτιατικῆς ἐμέ, κλητικῆς σύ· ἵνα
πάλιν πάσης πτώσεως μίαν φωνὴν λέγων μὴ ταράξῃ 10
τὸν ἀκροατήν.

Τοῦ τρίτου προσώπου ἐστὶ τὸ ἵ, καὶ σημαίνει τὸ οὗ-
τος ἢ ἐκεῖνος. καθ' ἑαυτὸ μὲν κείμενον εὑρέθη οὐδαμοῦ,
ἔοικε δὲ ἀπὸ τῆς τῶν Ἀττικῶν χρήσεως εἰρῆσθαι παρὰ
τούτῳ τῷ τεχνογράφῳ· ἐκεινοσί γὰρ λέγουσι καὶ οὗτοσί. 15

„Γενικῆς — οὗ." Ἐπειδὴ ἡ γενικὴ ἔδοξεν ἐπ' ἐνί-
ων ἀμφίβολος εἶναι κατὰ τὴν φωνήν — συνέπεσε γὰρ
ἥ τε πρωτότυπος καὶ παράγωγος —, οὐκ ἀλλαχόθεν τὴν
διάκρισιν ποιησόμεθα ἢ ἐκ τοῦ ποιητοῦ τοῦ προδιαστεί-
λαντος. ἡ μὲν γὰρ ἐμοῦ καὶ σοῦ καὶ οὗ καὶ πρωτοτύπου 20
καὶ παραγώγου ἐστὶ κατὰ φωνήν· ἀλλὰ τὴν ἐμοῦ γενι-
κήν, λέγω τὴν πρωτότυπον, ἄλλως πως παράγει ὁ ποιη-
τὴς λέγων, ἡνίκα τὴν Ἑλένην παρεισφέρει λέγουσαν·

εἵνεκ' ἐμεῖο κυνός,

διὰ τῆς ει διφθόγγου, καὶ τὸ τρίτον πρόσωπον ἕο καὶ 25
εἷο, τὴν δὲ παράγωγον διὰ τῆς οι διφθόγγου, ὅταν φῇ

πατρὸς ἐμοῖο πατήρ.

„Δοτικῆς — ἑ." Τὸ πρῶτον καὶ δεύτερον ὀξύνε-
ται, τὸ δὲ τρίτον περισπᾶται. ἐν δὲ τοῖς πληθυντικοῖς
τὸ ἀνάπαλιν· ἡμῖν μὲν καὶ ὑμῖν, σφίν δὲ ὀξύνεται. 30

Ζητεῖται δέ, διὰ τί ἡ ἐμοί καὶ σοί ὀξύνεται, ἡ δὲ οἷ περισπᾶται· ἔδει γὰρ πάσας περισπᾶσθαι ὡς δοτικάς.

Καί φαμεν ὅτι οὐδεμία ἀκολουθία ἐπὶ τῶν πρωτοτύπων ἀντωνυμιῶν.

„Κλητικῆς δὲ σύ." Διὰ τί ἡ ἀντωνυμία ἐπὶ τῶν πρωτοτύπων δεύτερον μόνον πρόσωπον ἔχει κατὰ τὴν κλητικήν, οὔτε δὲ πρῶτον οὔτε τρίτον; Καὶ ῥητέον· πρῶτον μὲν πρόσωπον οὐ δύναται ἔχειν ἡ κλητική· οὐδεὶς γὰρ ἑαυτὸν καλεῖ. ἀλλ' οὐδὲ μὴν τρίτον· τὸ γὰρ τρίτον ἄπεστιν, οὐδεὶς δὲ φρονῶν τὸν ἀπόντα καλεῖ. ἐπειδὴ δὲ ἡ κλητικὴ πρὸς δεύτερον πρόσωπον ποιεῖται τὸν λόγον, ἀναγκαίως δεύτερον πρόσωπον ἔσχηκε. Καὶ ἄλλως. Τὰς πτώσεις τῶν πρωτοτύπων ἐπεὶ μὴ δυνατὸν παριστάναι.... χρή. ἀντὶ γὰρ Τρύφων λέγω ἐγώ δῆ οὖν ὡς ὀρθῆς λέγω ἐγω καθάπερ καὶ Τρύφωνος λέγω ἐμοῦ, καὶ εἰσὶν ἀμφότεραι γενικαί. ὁμοίως Τρύφωνι ἐμοί, καὶ Τρύφωνα ἐμέ. κλητικὴν δὲ οὐκ ἐρῶ οὔτε ἐπὶ πρώτου προσώπου, ἐπεὶ οὐδεὶς ἑαυτὸν καλεῖ, οὔτε ἐπὶ τρίτου· οὐδεὶς γὰρ τὸν ἀπόντα καλεῖ. ἡ δὲ σύ τοῦ δευτέρου προσώπου ἐστίν. εἰ γὰρ δεύτερόν ἐστι πρὸς ὃν ὁ λόγος, καὶ ἡ κλητικὴ πρὸς τὸ παρὸν προσφώνησις, οὐκ ἀτόπως τὸ δεύτερον πρόσωπον ἔσχε κλητικήν.

„Παραγώγων — ὄν." Ἰστέον ὅτι τὰ παράγωγα ἐπὶ μὲν τοῦ πρώτου προσώπου κλητικὴν ἔχουσιν· ὁ ἐμός γὰρ ὦ ἐμός ἔφη ὁ ποιητής, Ἀττικῶς κλίνας, ἵνα μὴ συνεμπέσῃ τῇ αἰτιατικῇ τοῦ πρωτοτύπου, τῇ ἐμέ, καὶ οἱ ἐμοί, καὶ ὁ ἡμέτερος

ὦ πάτερ ἡμέτερε·

τὰ δὲ δεύτερα κλητικὰς οὐκ ἔχουσιν, ἐπεὶ μὴ δυνατὸν ἦν τὴν μίαν προσφώνησιν τῆς κλητικῆς ἀναμερισθῆναι τῷ τε κτήτορι καὶ τῷ κτήματι κατ' ἰδίαν ἑκατέρῳ. ὅ τε γὰρ κτήτωρ ἐφείλκετο τὴν προσφώνησιν, καθὸ δευτέρου ἦν προσώπου φωνή, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος· ὁμοίως καὶ τὸ κτῆμα, καθὸ κλητική· ἀδύνατον δὲ μίαν κλητικὴν δύο διηρη-

μέγας ποιεῖσθαι προσφωνήσεις. τὰ μέντοι τρίτα ἠδύναν-
το μὲν ἔχειν κλητικάς, οὐχ εὑρέθησαν δὲ ἐν χρήσει.

Αἱ τοῦ δευτέρου προσώπου κτητικαὶ κλητικὰς οὐκ ἔχουσι. δευτέρου γὰρ ὢν προσώπου ὁ κτήτωρ πρὸς ἑαυτὸν 5
ἀπαιτεῖ γενέσθαι τὴν προσφώνησιν· δεύτερος γάρ ἐστι πρὸς ὃν ὁ λόγος ὑπὲρ ἑαυτοῦ. ἀλλὰ καὶ τὸ κτῆμα κλητικῶς γενόμενον πρὸς ἑαυτὸ πάλιν ἀπαιτεῖ γενέσθαι τὴν προσφώνησιν· κλητικὴ γάρ ἐστι τοῦ πέλας κλῆσις. ἀδύνατον δὲ ἐν μιᾷ φωνῇ δύο προσφωνήσεις ἅμα 10
τοῦ προσώπου κλητικῆς πτώσεως.

„Σχήματα — αὐτοῦ." Σχήματα παρέπεται ταῖς ἀντωνυμίαις. σχήματα νῦν αὐτὰς τὰς συνθέτους λέγει. Καὶ ζητεῖται, διὰ τί τὸ ἐμοῦ αὐτοῦ εἰς τὸ ἐμαυτοῦ καὶ ἐμοὶ αὐτῷ εἰς τὸ ἐμαυτῷ καὶ ἐμὲ αὐτὸν εἰς τὸ ἐμαυτόν, 15
ἡ δὲ ἐγὼ αὐτός οὐ συντίθεται. Καὶ ῥητέον ὅτι, ἐπεὶ ἀμετάβατός ἐστιν ἡ εὐθεῖα, οἷον οὐ μεταβαίνουσα ἐπὶ ἕτερον πρόσωπον. ἡ [δὲ] σύνθεσις ἐπενοήθη πρὸς διάφορον σημαινόμενον. (ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. αἱ κατὰ διάλυσιν ἀντωνυμίαι, ἤτοι κατὰ παράθεσιν, καὶ αὐτοπαθεῖς εἰσὶ 20
καὶ ἀλλοπαθεῖς, οἷον καὶ τὸ ἴδιον λαβοῦσαι πρόσωπον καὶ τὸ ἀλλότριον. δύναμαι γὰρ λέγειν ἐμοῦ αὐτοῦ ἀκούω, καὶ ἔσχε διαφορὰν πρὸς τὴν διάλυσιν.)

Αἱ σύνθετοι τῶν ἀντωνυμιῶν ἀνανακλώμεναι καὶ αὐ- 25
τοπαθεῖς καλοῦνται, ἐπεὶ τὴν ἐνέργειαν ἀφ' ἑαυτῶν εἰς ἑαυτὰς ἀνανακλῶσιν. οἷον ὅταν λέγω ἐμοῦ ἀκούεις, ἀπ' ἄλλου εἰς ἄλλον γίνεται ἡ ἐνέργεια· ἐὰν ἐμαυτοῦ ἀκούω, ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτό. αὗται αἱ συντάξεις εὐθεῖαν ἔχουσι καὶ πλάγιον. εἰ δὲ εὐθείᾳ τὴν σύν- 30
ταξιν ποιήσαιμεν ἐγαυτός λέγοντες, δύο ἔσονται εὐθεῖαι, ὅπερ ἀδύνατον. αἱ δὲ σύνθετοι γίνονται ἐν ἀντωνυμίαις πρὸς διάφορον δηλούμενον, οἷον ἐμαυτοῦ ἀκούεις δῆ-

λον οὖν ὅτι ἀκούω αὐτοπαθεῖς ὡς ἐπὶ ὀνομάτων ἱματιοπώλης, τοιχωρύχος.

Κατὰ τὸ ἀρχαῖον οὐκ ἦν σύνθετος ἀντωνυμία, καὶ μαρτυροῦσι τούτῳ τῷ λόγῳ τὰ Ὁμηρικά, ἅτε δὴ ἀρχαϊκώτερα ὄντα καὶ ἐν ἁπλαῖς ταῖς ἀντωνυμίαις πεφρασμένα· οὔ ποτε γὰρ σύνθετος ἀντωνυμία παρὰ τῷ ποιητῇ εὑρίσκεται. ἀλλ' ὕστερον ἐπενοήθη δι' εὔλογον αἰτίαν. ποίαν δή; τοιαύτην, ἵνα διὰ μὲν τῆς ἁπλῆς τὸ μεταβατικὸν πρόσωπον δηλῶται, διὰ δὲ τῆς συνθέτου τὸ ἀμετάβατον, ὅ ἐστι τὸ αὐτοπαθὲς καὶ ἀλλοπαθές. οἷον τί ἐστιν ὃ λέγω; ἰδοὺ ἐν τῷ ἐμοὶ αὐτῷ . . . . χαρίζῃ, ἐπειδὴ ἡ αὐτὴ ἀντωνυμία ἁπλῆ οὖσα ἐλέγετο καὶ ἐν ἀμεταβάτῳ προσώπῳ καὶ ἐν μεταβατικῷ, ἐπενόησαν ὕστερον οἱ μεθ' Ὅμηρον ὥστε τὴν ἀμετάβατον κατὰ πρόσωπον ἀντωνυμίαν συνθέτως λέγεσθαι, ἐμαυτῷ χαρίζομαι, ἵνα δηλῶται δι' αὐτῆς ἡ αὐτοπάθεια, καὶ ἐν τῷ ἐμὲ αὐτὸν ἐτίμησα πρὸς ἀντιδιαστολὴν τοῦ αὐτοπαθοῦς καὶ ἀλλοπαθοῦς, ἵνα ἡ σύνθετος καὶ ἁπλῆ τοῦτο, ἐπενόησαν λέγειν ἐμαυτὸν ἐτίμησα, καὶ ἐν τῷ τρίτῳ ἑαυτὸν ἐτίμησεν. Ἀλλά φασί τινες, εἰ ἐκ τοῦ ῥήματος τοῦ ἀμεταβάτου καὶ τοῦ ἐν μεταβάσει νοεῖται ἡ ἁπλῆ καὶ ἡ σύνθετος, ἔασον τῷ ῥήματι τὴν ἐξουσίαν εἰς τὸ διδόναι νοεῖν τήν τε ἁπλῆν καὶ τὴν σύνθετον ἀντωνυμίαν, τουτέστι τὴν αὐτοπαθῆ καὶ ἀλλοπαθῆ. Πρὸς οὓς φαμεν, εἰ ἐνεχώρει τοῦτο γίνεσθαι καὶ ἐπὶ τῶν τριῶν προσώπων ἀντωνυμιῶν, εὔλογον ἦν τὸ προβαλλόμενον· εἰ δὲ τούτοις συνταασσόμενον τὸ ῥῆμα ἀμφιβολίαν ἔχει, πῶς οὐ διαστολῆς τύχωσι τὰ τοιαῦτα; ἰδοὺ γὰρ τὰ μὲν πρῶτα καὶ δεύτερα πρόσωπα τῶν προτοτύπων ἀντωνυμιῶν διὰ τοῦ ῥήματος δηλοῦσι τὴν αὐτοπαθῆ τε καὶ ἀλλοπαθῆ· τὸ γὰρ ἐμὲ ἔτυψεν ἀλλοπαθές, τὸ δὲ ἐμὲ λύσομαι αὐτοπαθές. τὸ δὲ τρίτον

τοῖς ἑνικοῖς ἓν εἶναι, ἐν δὲ τοῖς δυϊκοῖς δύο, ἐν δὲ τοῖς πληθυντικοῖς πολλά.

„Τῶν ἀντωνυμιῶν αἱ μὲν — σύναρθροι." Καλοῦσι τὰς μὲν τινες συνάρθρους πρωτοτύπους καὶ μονοπροσώπους. διαφέρουσι δὲ ἀλλήλων, ὅτι αἱ μὲν χωρὶς ἄρθρου λέγονται, οἷον ἐγώ, αἱ δὲ μετὰ ἄρθρου, οἷον ὁ ἐμός· καὶ ὅτι αἱ μὲν κοιναί εἰσι τῶν τριῶν γενῶν, αἱ δὲ παραστιγματίζονται τοῖς γένεσι· καὶ αἱ μὲν ἓν [πρόσωπον] σημαίνουσιν, αἱ δὲ δύο· καὶ ὅτι αἱ μὲν ὀρθοτονοῦνται, αἱ δὲ ἐγκλίνονται.

Αἱ ἀντωνυμίαι χωρὶς ἄρθρων πᾶσαι προφέρονται· αἱ δὲ παράγωγοι δοκοῦσί μὲν ἄρθρον λαμβάνειν, τὸ δὲ τοιοῦτον ἄρθρον οὐκ ἔστι τοῦ ἀντωνυμικοῦ προσώπου, ἀλλὰ τοῦ συνεπινοουμένου κτήματος. ἐν γὰρ τῷ λέγειν ὁ ἐμὸς δοῦλος καὶ πάλιν ἐμὸς ὁ δοῦλος, ἐπὶ μέντοι ἄλλου καὶ ἄλλου σημαινομένου.

Τὸ δόγμα τοῦτο περιττόν. ἰδοὺ γὰρ αἱ ἀσύναρθροι μετὰ ἄρθρων, οἷον ἐγὼ ὃς ἔπραξα, καὶ αἱ σύναρθροι ἄνευ ἄρθρων, οἷον ἐμὸς παῖς.

Οὐκ ὀρθῶς δὲ ποιῶν ὁ τεχνικὸς ἐκάλεσε τῶν ἀντωνυμιῶν τὰς μὲν συνάρθρους, τὰς δὲ ἀσυνάρθρους. δεῖ γὰρ εἰδέναι ὅτι σύναρθροι οὐκ ὤφειλον κληθῆναι διὰ τὸ ἀπροσδέκτους εἶναι ἄρθρων κατὰ φύσιν· ἐναντίον γὰρ τὸ ἄρθρον καὶ ἡ ἀντωνυμία. τὸ μὲν γὰρ ἄρθρον δευτέραν γνῶσιν καὶ ἀποῦσαν σημαίνει, ἡ δ' ἀντωνυμία γνῶσιν ἐπαγγέλλεται καὶ δεῖξιν· πῶς οὖν δύναται προσπλέκεσθαι ταῦτα ἀλλήλοις; ὁμοίως δὲ ἀσυνάρθρους οὐκ ἐχρῆν αὐτὰς καλέσαι διὰ τὸ μηδεμίαν ἔχειν πρὸς τὸ ἄρθρον μετουσίαν.

Ἐψεύσατο τοῦτο εἰπών. οὐ δεῖ γὰρ συνάρθρους καὶ ἀσυνάρθρους καλεῖν ἀντωνυμίας. ἰδοὺ γὰρ αἱ μὲν καλούμεναι σύναρθροι οὐκ εἰσὶν ἄρθρων δεκτικαί καὶ τὰ δεύτερα πρόσωπα, καθὸ οὗ φαμεν ὁ ἐμός, αἱ δὲ καλούμεναι ἀσύναρθροι δεκτικαί εἰσιν ἄρθρων· Ἀττικοὶ γὰρ τὸν ἐμέ φασιν, ὡς καὶ Καλλίμαχος

ναὶ μὰ τὸν αὐτὸν ἐμέ

καὶ

τὸν σὲ Κροτωπιάδην·

καὶ Μένανδρος ἐν ὕδατι

τὸν ἐμὲ τουτονί.

ὡς αὐτῶν ἐχουσῶν προτακτικὰ ἄρθρα συντάσσεται αὐταῖς καὶ ὑποτακτικά, ἐγὼ ὃς ἐτίμησα, ἐμὲ ὃν ἐτίμησας. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐκ τῶν δεικτικῶν ἀντωνυμιῶν ὅτι τὸ ἄρθρον τοῦ κτήματός ἐστι καὶ οὐ τῆς ἀντωνυμίας. ἐν τῷ γὰρ ὁ ἐμὸς δοῦλος ἀναλύοντες τὴν σύνταξιν εἰς τὴν πρωτότυπον ὁ δοῦλός μου φαμεν, καὶ ἐν τῷ ὁ ἐμος παῖς ἀναλύοντες ὁ παῖς μου φαμεν.

Χρὴ δὲ γινώσκειν ὅτι τῶν ἀντωνυμιῶν αἱ μὲν ὀρθὸν τόνον κεκλήρωνται, αἱ δὲ ἐγκλιτικὴν σύνταξιν, τινὲς δὲ ἄμφω. ὀρθοτονοῦνται μὲν ἅπασαι συλλήβδην αἱ ὀνομαστικαὶ αἵ τε τοῦ πρώτου καὶ δευτέρου . . . . παρέστησα, καὶ ὅσαι ἢ τῷ [ε] ἐπλεόνασαν κατ' ἀρχὴν ἢ τῷ ι, ἔτι ἐξαιρέτως τῆς σέθεν ἐπὶ δευτέρου προσώπου . . . ὅσαι μονοπρόσωποί εἰσι, τὸ γένος διὰ τῆς φωνῆς παριστᾶσαι.

§ 23.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΝ.

Καὶ ἐκ τῆς προθέσεως δείκνυται ὅτι καλῶς προτέτακται τῶν μερῶν τοῦ λόγου τό τε ὄνομα καὶ τὸ ῥῆμα.

εἰ μὴ γὰρ προετάγη τό τε ὄνομα καὶ τὸ ῥῆμα, τίνος ἂν ἔμελλεν εἶναι ἡ πρόθεσις; προετάγη δὲ τοῦ ἐπιῤῥήματος, ὅτι ὀνόματι συντίθεται καὶ παρατίθεται, τὸ δὲ ἐπίῤῥημα πρὸς ῥῆμα φέρεται, διὸ καὶ οὕτως ὠνομάσθη· καὶ γὰρ ὅσον τὸ ὄνομα προκρίνεται τοῦ ῥήματος, τοσοῦτον καὶ ἡ πρόθεσις τοῦ σὺν τῷ ῥήματι ἐπιῤῥήματος. 5

Ὅρος τῆς προθέσεως. Πρόθεσίς ἐστι μέρος λόγου, καθ' ἕνα σχηματισμὸν λεγόμενον, προθετικὸν τῶν τοῦ λόγου μερῶν ἐν παραθέσει ἢ ἐν συνθέσει, ὅτε μὴ κατὰ ἀναστροφὴν ἐκφέρεται. Ὑγιῶς ἔχει οὗτος ὁ ὅρος, ἄπταιστος ὤν. ὁ γὰρ ὅρος Διονυσίου ἔπταισται, ὡς δῆλον ἐκ τῆς ἐξηγήσεως. ἔχει γὰρ οὕτως· „Πρόθεσίς ἐστι λέξις." Λείπει τὸ ἄκλιτος, ἵν' ᾖ Πρόθεσίς ἐστι λέξις ἄκλιτος καὶ οἷον ἀκίνητος καὶ μονοσχημάτιστος, ὅπερ ὁ ἄνω ὅρος παρεφυλάξατο, εἰπὼν Πρόθεσίς ἐστι μέρος λόγου καθ' ἕνα σχηματισμόν, ὃ δηλοῖ κατὰ ἄκλιτον φωνήν. τοιαύτη γὰρ ὁρᾶται ἡ πρόθεσις καὶ ἐν πτώσεσι καὶ ἐν προσώποις. „[προ]τιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν." Προσθετέον ὅτε μὴ κατὰ ἀναστροφὴν ἐκφέρεται, τοῦτο γὰρ παρεφυλάξατο ὁ προαχθεὶς ὅρος, ἵν' ᾖ προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν. καὶ εἴρηται ὅτε μὴ ἐκφέρεται, ἐπειδὴ τὰ μὲν ἄλλα μοναδικὴν ἔχει σύνταξιν, οἷον τὰ ἄρθρα (μόνοις γὰρ ὀνόμασι συντάσσονται) [καὶ] τὰ ἐπιῤῥήματα (μόνοις γὰρ ῥήμασι συντάσσονται), ἡ δὲ πρόθεσις διαφόρως ὀνόματι συγτιθεμένη καὶ ῥήματι διὰ τοῦτο ἴδιον ἔσχε πρὸς διαφόρους συντάξεις τὸ διτονεῖν. ἡνίκα γὰρ μεσολαβηθῇ ὑπ' αὐτῶν ἐπὶ ῥῆμα μὲν φερομένη ὀρθοτονηθήσεται, ἐπ' ὄνομα δὲ ἀναστραφήσεται, 10 15 20 25

εὗρε δὲ Πατρόκλῳ πέρι κείμενον, 30
Ἰθάκην κάτα κοιρανέοντες,

ἐπειδὴ πρὸς τὴν σύνταξιν ὁ τόνος τῶν προθέσεων. ὅτι δὲ προτίθεται πάντων τῶν τοῦ λόγου μερῶν ποτὲ μὲν ἐν συνθέ-

συνθέσει ποτὲ δὲ ἐν συντάξει, δῆλον ἐκ τῶν λεχθησομένων γενήσεται. ταῖς μὲν γὰρ εὐθείαις τῶν ὀνομάτων κατὰ σύνθεσίν ἐστι, καὶ ὅταν συντεθῇ ἡ εὐθεῖα, καὶ αἱ ἐξ αὐτῆς πλάγιοι σύνθετοί εἰσιν. ἐὰν γὰρ ἐκ πλαγίων εὑρεθῇ καὶ μὴ δυνηθῇ τὴν αὐτὴν σύνταξιν καὶ σημασίαν φυλάξαι ἐν τῇ εὐθείᾳ, τότε κατὰ παράθεσιν συνέστη τῇ πλαγίῳ. οἷον τί ἐστιν ὃ λέγω; τὸ περιφέρων ἐπειδὴ ἐν τῇ εὐθείᾳ συνετέθη, συντίθεται καὶ ἐν ὅλῃ τῇ κλίσει· τὸ δὲ [παρὰ] Τρύφωνος καὶ κατὰ Κτησιφῶντος καὶ περὶ Διονυσίῳ, ἐπειδὴ οὐ δυνάμεθα λέγειν παρατρύφων καὶ κατακτησιφῶν καὶ περιδιονύσιος, οὐκ ἔχει κατὰ σύνθεσιν τὴν πρόθεσιν ἀλλὰ κατὰ παράθεσιν. Καὶ ῥήματι πάντοθεν κατὰ σύνθεσίν ἐστιν, οἷον περιπατῶ, περιφέρω. Καὶ ἐν ἐπιῤῥήματι πάλιν κατὰ σύνθεσίν ἐστιν, οἷον ὑπέρευγε, ὑπέρευ. Καὶ ἐν μετοχαῖς κατὰ σύνθεσίν εἰσιν, ἐάν γε ἐν τοῖς ῥήμασιν αὐτῶν κατὰ σύνθεσιν ὦσιν, οἷον ἡ περιπατῶν μετοχὴ κατὰ σύνθεσιν, ἐπεὶ καὶ τὸ περιπατῶ· ὁμοίως καὶ τὸ περιφέρων, ἐπειδὴ καὶ τὸ περιφέρω. χωρὶς εἰ μὴ ἐν πλαγίαις πάλιν τῆς μετοχῆς παράθεσις γένηται, ὡς ἔχει τὸ κατὰ ἀναγινώσκον-τος, κατὰ φιλοσοφοῦντος, παρὰ τῶν ὑποκρινομένων· ἐν ταύταις γὰρ ταῖς πλαγίαις παράθεσίς ἐστι καὶ οὐ σύνθεσις. Τοῖς δὲ ἄρθροις παρατίθενται, οἷον καθ' ὅ, δι' ὅ, ἐν ᾧ. Καὶ ταῖς ἀντωνυμίαις ἀεὶ κατὰ παράθεσίν εἰσι κατὰ τὰς πλαγίους (κατὰ γὰρ τὰς εὐθείας οὐδὲ ἐν συνθέσει), οἷον περὶ ἐμοῦ, περὶ σοῦ, παρ' ἐμοῦ, δι' ἐμέ, διὰ σέ. Ἔσθ' ὅτε καὶ κατὰ σύνθεσιν παρατίθενται ἐμφάσεως ἕνεκα πλείονος, οἷον παρακαταθήκην, ἐξυπανέστη, ὑπερκατέβησαν. Ἐν συνδέσμῳ κατὰ σύνθεσίν ἐστιν ἅπαξ, ὡς ἐν τῷ ἐπεί· ἡ γὰρ ἐπί πρόθεσις καὶ ὁ εἶ σύνδεσμος συντεθέντα ἐποίησαν τὸν ἐπεί σύνδεσμον κατὰ ἔκθλιψιν τοῦ ῑ. ἔστι δὲ ὅτε καὶ ἀντὶ συν-

δέσμων παραλαμβάνονται, ὥς φαμεν ἐκ ῥαθυμίας πέπονθας ἀντὶ τοῦ ἕνεκεν ῥαθυμίας πέπονθας.

Πρόθεσις λέγεται παρὰ τὸ προτίθεσθαι ὀνομάτων τε καὶ ῥημάτων, οἷον ἐπὶ μὲν ὀνομάτων κατάλογος, 5 ἐπὶ δὲ ῥημάτων καταγράφω, περιγράφω, διακόπτω. Προτάσσεται δὲ καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου, οἷον μετοχῆς, καταβάς, ἀνατλάς, ἀποπλαγχθείς· ἄρθρου, κατὰ τοῦ φίλου, ὑπὲρ τοῦ φίλου· ἀντωνυμίας, πρὸς ἐκεῖνον· ἐπιῤῥήματος, ὡς τὸ πρόπαλαι· συνδέσμου, πρὸς δέ. ὁ γὰρ ἐπεί παρασυναπτικὸς ἐκ τοῦ εἶ συνδέσμου καὶ τῆς ἐπί προθέσεως σύγκειται. 10

Προτάσσεται δὲ ἢ ἐν συνθέσει ἢ ἐν παραθέσει, ἐν συνθέσει μέν, ἔξοδος, παραγράφω, ἐν παραθέσει δέ, κατ᾽ Ἀπολλωνίου, κατ᾽ ἐμοῦ, κατὰ τοῦ φίλου. εἰ δὲ παρὰ τάξιν τεθῶσι, τουτέστιν ὑποταγῶσι, καὶ τὸν τόνον ἀμείβουσι. Συντίθεται δὲ ἡ πρόθεσις ἐν εὐθείαις καὶ ταῖς αὐτῶν πλαγίαις. πᾶσα οὖν πρόθεσις μετὰ ῥήματος ἢ μετ᾽ εὐθείας ἑνοῦται, μετὰ δὲ πλαγίων οὐχ ἑνοῦται, εἰ μή πού γε ἐξ εὐθείας ἢ ἡ σύνθεσις. τὸ γὰρ ΚΑΤΑΠΟΛΑΩΝΙΟΥ δύο μέρη λόγου, ἐπειδὴ οὐκ ἔστι τὸ ΚΑΤΑΠΟΛΑΩΝΙΟΣ ἓν μέρος λόγου οὔτε δὲ λέγεται, τὸ δὲ κατάλογον ἓν μέρος λόγου, ἐπεὶ καὶ τὸ κατάλογος ἕν. ὁμοίως δὲ καταβαίνω ἓν μέρος, ἐπεί ἐστι μετὰ ῥήματος λέξις προτιθεμένη. Ἐν δὲ μετοχαῖς τὸ αὐτὸ σχῆμα ἔχουσι τοῖς ῥήμασι, χωρὶς εἰ μὴ πλαγία πάλιν παράθεσις γίνεται, ὡς ἔχει παρὰ τὸν ἀναγινώσκοντα, παρὰ τὸν ὑποκρινόμενον. Ἐν ἀντωνυμίαις ἀεὶ ἐν παραθέσει εἰσί. Καὶ τοῖς ἄρθροις δὲ παρατίθενται. ἑνωθεῖσαι γὰρ μετὰ τῶν πτωτικῶν ἔξωθεν τὸ ἄρθρον προσλαμβάνουσι, καὶ διὰ τοῦτο ἓν μέρος λόγου ἐστὶ τὸ τοῦ παραφέροντος· εἰ δὲ ἔξωθεν τὸ ἄρθρον παρατεθείη, οὐκ ἔστιν ἐν συνθέσει. Καὶ ἑαυτῶν ἔσθ᾽ ὅτε προτίθενται,

ὑπερκατέβησαν ὁμίλου.

Ἐν παραθέσει συνδέσμων προηγοῦνται, ὡς ἐν τῷ καθότι. πολλάκις δὲ καὶ ἀντὶ συνδέσμων προθέσεις παραλαμβάνονται, ὡς ἐπὶ τοῦ τοιούτου ἐκ τῆς ῥαθυμίας οἷον ἕνεκα τῆς ῥαθυμίας. 5

Διὰ δὲ τὸ πρὸ τῶν ἄλλων μερῶν τοῦ λόγου θέλειν προτάττεσθαι, διὰ τοῦτο καί τινες αὐτὴν πρώτην θέσιν ὠνόμασαν, διὰ τὸ θέλειν τὸν πρῶτον τόπον ἔχειν. διὰ τοῦτο καὶ τὰ ῥήματα ἀπὸ προθέσεως ἀρχόμενα οὐ συγχωρεῖ ἔξωθεν προσλαμβάνειν· τὰ γὰρ τοιαῦτα ῥήματα ἔσωθεν 10 καὶ οὐκ ἔξωθεν ποιεῖται τὴν κλίσιν. οἷον καταβαίνω· οὐ λέγω ἐκατάβαινον, ἀλλ᾽ ἔσωθεν τὴν κίνησιν ποιοῦμαι, τῶν ἄλλων ῥημάτων τῶν ἀπὸ συμφώνων ἀρχομένων ἔξωθεν λαμβανόντων τὸ ε. οὕτω φιλαρκτός ἐστιν ἡ πρόθεσις. 15

Πᾶσα δὲ πρόθεσις καθ᾽ ἑαυτὴν οὐδὲν δηλοῖ. σημαίνει δὲ ἢ χρόνον, ὡς τὸ προεῖπον, ἢ ἔμφασιν, οἷον καταφαγεῖν, ἢ πλεονασμόν, οἷον ὑποδμώς, ἐναλίγκιος, ἐναντίος, ἐννέπω. Τὸ δὲ

πάρα δ᾽ ἀνήρ 20

καὶ

ἔνι τοι φρένες

καὶ τὰ ὅμοια προθέσεις εἰσὶ λείπουσαι ῥήματι, ἐπεὶ καὶ τοὐναντίον λείπει ῥήματα προθέσει, οἷον

ἀλλ᾽ ὑμεῖς ἔρχεσθε, 25

πικρὰς ὠδῖνας ἔχουσαι.

„Εἰσὶ — ὑπέρ." Μονοσυλλάβους λέγει καὶ ἐξ τὸν ἀριθμόν, ἅς τινας οὐδὲ ἀναστρέφεσθαι· δισυλλάβους δὲ δύο καὶ δέκα, ὧν δισυλλάβων μία διφορεῖται καὶ τὸ αὐτὸ σημαινόμενον ἔχει, ἀμφί, περί· ὥστε τῇ μὲν φωνῇ 30 εἶναι ὀκτωκαίδεκα, τῇ δὲ δυνάμει ἑπτακαίδεκα.

Προστιθέναι δεῖ καὶ ἐνταῦθα κατὰ τὸ κοινὸν ἔθος, ἵν᾽ ἡ

θέσει τὸ ψιλὸν ἀπολαμβάνει· ἀμπεχόνη [γὰρ] καὶ ἀμπίσχων.

„Αἱ τινες οὐκ ἀναστρέφονται." Πῶς γὰρ προτιθέμεναι καὶ μονοσύλλαβοι τυγχάνουσαι τοὺς τόνους ὄπισθεν φέρειν δύνανται; ἀναστροφῆς γὰρ τοῦτο ἴδιον, τὸ τὸν οἰκεῖον ἀναπέμπειν τόνον. καὶ σημειωτέον ὅτι μόνη ἡ σύν ἀναστροφὴν ἐν μονοσυλλάβοις πέπονθεν, ὡς ἐν τῷ

ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν.

εἰδέναι δὲ χρὴ ὁμοίως ὅτι οὐ δεῖ τὸ σπανίως εἰρημένον εἰς κοινότητα παραλαμβάνειν.

Αἱ δὲ δισύλλαβοι ἐγκλίνονται μὲν χωρὶς δύο τριχρόνων, τῆς ἀντί καὶ ἀμφί, καὶ διχρόνων δύο, τῆς διά καὶ ἀνά. ὅθεν ἡ ἐνί μετὰ πλεονασμοῦ τοῦ ῑ πάλιν ἀναστρέφεται. ἡ διά δὲ καὶ ἀνά [οὐκ] ἐγκλίνονται, ἵνα μὴ συνεμπέσωσι τοῖς ὀνόμασιν, ἡ μὲν διά τῇ αἰτιατικῇ τῇ Δία, ἡ δὲ ἀνά τῇ κλητικῇ τῇ ἀπὸ τοῦ ἄναξ εἰρημένῃ Ἰωνικῶς, Ζεῦ ἄνα. Ἰστέον δὲ ὅτι μόναι αἱ δίχρονοι ἀναστρέφονται. οὔτε γὰρ αἱ μονοσύλλαβοι ὡς μονοσύλλαβοι ἔχουσί πως τὸν ἴδιον τόνον ἀποτελέσειν, οὔτε μὴν αἱ τρίχρονοι. ἔνθεν καὶ ἡ κατά, ὅτε γίνεται καταί, οὐκέτι ἀναστρέφεται, ὡς πλεονασμὸν χρόνου παθοῦσα καὶ γενομένη λοιπὸν τρίχρονος. καὶ ἡ παρά παραί, καὶ ὁμοίως αἱ ἄλλαι πᾶσαι.

Καθολικῶς δεῖ λέγειν ὅτι αἱ τριχρονοῦσαι τῶν προθέσεων οὐκ ἀναστρέφονται ἢ κατὰ θέσιν ἰδίαν ἢ κατὰ παρείσοδον πάθους, κατὰ θέσιν μὲν ἰδίαν ὡς ἡ ἀντί καὶ ἡ ἀμφί, κατὰ παρείσοδον δὲ πάθους ὡς ἡ ὑπείρ καὶ παραί καὶ καταί. αἱ δὲ διχρονοῦσαι ἀναστροφὴν ὑπομένουσιν, εἰ μὴ συνέμπτωσις κωλύσῃ. οὐ γὰρ ἀναστρέφεται ἡ διά, ἵνα μὴ συνεμπέσῃ τῇ αἰτιατικῇ τοῦ δαίμονος τοῦ

Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος·
οὐδὲ ἡ ἀνά, ἵνα μὴ σημαίνῃ τὸν ἄνακτα, ὡς ἐν τῷ
Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ,
ἢ τὸ ἄνα ῥῆμα,
ἀλλ' ἄνα, εἰ μέμονάς γε.

Χρὴ δὲ εἰδέναι ὅτι ἀντιπεπόνθασιν αἱ μονοσύλλαβοι ἀλλήλαις καὶ δισύλλαβοι προθέσεις. ἐπειδὴ γὰρ πᾶσαι αἱ μονοσύλλαβοι εἰς σύμφωνον κατέληξαν, μία δὲ αὐτῶν εἰς φωνῆεν, ἡ πρό, διὰ τοῦτο σχεδὸν εἶπεν αἱ δισύλλαβοι πᾶσαι εἰς φωνῆεν κατέληξαν, μία δὲ αὐτῶν εἰς σύμφωνον, ἡ ὑπέρ, ἐξ ἧς τὸ ὑπέρτερον παρήχθη.

Ἰστέον δὲ ὅτι αἱ προθέσεις ἀναστροφὴν ὑπομένουσι, καὶ τοῦ ἰδίου πολλάκις ἐξίστανται μερισμοῦ, τουτέστι τοῦ εἶναι προθέσεις. ἀναστροφὴ δέ ἐστιν, ὅταν ὁ ἐπὶ τέλους τόνος εἰς τὴν πρὸ τέλους ἀναβιβάζηται συλλαβήν, οἷον ἡ ἀνά πρόθεσις ὅταν γένηται ἄνα, ἀντὶ προθέσεως ῥῆμα σημαίνει, οἷον

ἀλλ' ἄνα, εἰ μέμονάς γε·

σημαίνει γὰρ ἐνταῦθα [τὸ] ἀνάστα. καὶ ἡ ἀπό ὅταν γένηται ἄπο, ἐπίῤῥημα σημαίνει, οἷον

ἄπο πολέμοιο μένοντες·

σημαίνει γὰρ ἐνταῦθα τὸ ἄποθεν.

§ 24.

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΟΣ.

Εἰρήκαμεν ὅτι τὸ ἐπίῤῥημα πρὸς ῥῆμα φέρεται· διὸ καὶ οὕτως ὠνομάσθη· ἡ δὲ πρόθεσις ὀνόματι συντίθεται. δεύτερον τὸ ῥῆμα τοῦ ὀνόματος· δεύτερον ἄρα καὶ τὸ ἐπίῤῥημα τῆς προθέσεως τῆς κατὰ σύνθεσιν καὶ παράθεσιν προτιθεμένης τῶν ὀνομάτων.

Ὁριστέον δὲ οὕτως τὸ ἐπίῤῥημα· ἐπίῤῥημά ἐστι λέ-

ξις ἄκλιτος κατηγοροῦσα τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων καθόλου ἢ μερικῶς, ὧν ἄνευ οὐ κατακλείει διάνοιαν. ἔχει δὲ ἡ ἔννοια τοῦ ὅρου οὕτως. Ἐπίῤῥημά ἐστι λέξις ἄκλιτος, ὅ ἐστιν ἀκίνητος· οὐδὲ γὰρ κλίσιν ἢ κίνησιν ἔχει τὰ ἐπιῤῥήματα, διότι ἕκαστον ἐπίῤῥημα μίαν φωνὴν ἔχει καὶ ἕνα σχηματισμόν. καὶ τοσοῦτον ἄκλιτά εἰσι τὰ ἐπιῤῥήματα, ὅτι καὶ τὰ πτωτικὰ ὀνόματα, ἡνίκα σύνταξιν ἐπιῤῥηματικὴν ἀναδέξηται, ἄπτωτα μένει ὡς ἐπιῤῥήματα γενόμενα, οἷον

οὐ μὲν καλὰ χόλον,
οὐ μὲν καλῶς οὐδὲ δίκαιον·
ὅς τ' εὐρὺ ῥέει. *)

Κατηγοροῦσα ἀντὶ τοῦ τιθεμένη, ἵν' ᾖ τὸ ἑξῆς οὕτως, τιθεμένη κατὰ τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων, ἐπειδὴ καὶ τὸ ἐπίῤῥημα κατηγόρημά φασιν οἱ φιλόσοφοι. καὶ ὅ πέρ ἐστι τὸ ἐπίθετον ὄνομα ἐν τοῖς ὀνόμασι — δίχα γὰρ ἄλλου ὀνόματος οὐ λέγεται, οἷον καλὸς ἄνθρωπος —, τοῦτο καὶ τὸ ἐπίῤῥημα ἐν τοῖς ῥήμασιν· ἄνευ γὰρ ῥήματος οὐ συγκλείει διάνοιαν, οἷον καλῶς ποιῶ. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐντεῦθεν ὅτι εἴ που μέν ἐστι ῥῆμα, οὐ πάντως ἐπίῤῥημα, οἷον Τρύφων περι-

---

*) Ἄκλιτον δὲ τὸ ἐπίῤῥημα εἶπε πρὸς ἀντιδιαστολὴν τῶν κλιτικῶν [μερῶν τοῦ λόγου· τῶν γὰρ] μερῶν τοῦ λόγου τὰ μὲν κλιτικά ἐστι, τὰ δὲ ἄκλιτα. Οὕτω δὲ ἄκλιτόν ἐστι τὸ ἐπίῤῥημα, ὅτι καὶ ἐν τοῖς κλιτικοῖς, ἐὰν εἰς τοιαύτην [σύν]ταξιν ἐπενεχθῇ, μονοσχημάτιστον γίνεται, οἷον εἰπεῖν ἔστιν ὄνομα τὸ κραιπνόν τριγενές. τοῦτο κατὰ τὴν οὐδετέραν προφορὰν κατὰ τὸν πληθυντικὸν ἀριθμὸν κραιπνά λέγεται. καὶ ἐπὰν μὲν παιδία λέγω [κραιπνά,] τῶν κραιπνῶν παιδίων κλίνεται καὶ τὰς λοιπὰς πτώσεις, ἐὰν δὲ τοῦτο τὸ ἐπιθετικὸν ὄνομα σύνταξιν λάβῃ ἐπιῤῥήματος, ὡς τὸ

κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι,

ἄκλιτον μένει.

πατεῖ· εἴ που δὲ ἐπίῤῥημα, πάντως ῥῆμα, οἷον καλῶς Τρύφων γράφει. *) Διὸ ἐζήτησάν τινες πῶς τὸ φεῦ καὶ τὸ οἴμοι οὐκ ἔχουσιν ἐπαγόμενον ῥῆμα. καί φαμεν, ἐπειδὴ δυνάμει καὶ ταῦτα ἀπὸ διαθέσεως ῥηματικῆς ἀνάγονται· οἱ γὰρ θαυμάζοντες ἢ σχετλιάζοντες προπε- 5 πόνθασι δῆλον ὅτι. καὶ ὅτι εἰ μή τις εἴποι ἔγραψας, οὐκ ἂν εἴποιμι ναί ἢ οὔ. καὶ ὅτι τῷ γραμματικῷ ἐξηγησαμένῳ ἐπιφωνοῦμεν τὸ εὖ, οὔτε δίχα ῥήματος οὐ λέγεται. **) Πάλιν δὲ ἐζήτησαν, εἰ πρὸ ῥήματος καὶ μετὰ ῥήματος τάσσεται, οἷον καλῶς γράφω, γράφω καλῶς, πῶς ἀπὸ θατέρας τῶν προτάσεων ἐπίῤῥημα μόνον καλεῖται, οὐκέτι δὲ καὶ ὑπόῤῥημα. καὶ λέγομεν πρῶτον μὲν καὶ ἡ αὐτός ἐπιταγματικὴ καλεῖται, καίτοι πολλάκις ὑποτασσομένη. ἄλλως [τε] τῇ φύσει προηγεῖσθαι πέφυκε τῶν ῥημάτων τὰ ἐπιῤῥήματα ὡς καὶ τῶν ὀνομάτων τὰ 10 15

**) Ταυτὸν γάρ ἐστι τὸ ἐπίῤῥημα τοῖς ἐπιθετικοῖς ὀνόμασιν. ὃν τρόπον γὰρ τὰ ἐπίθετα ὀνομάνεται ἢ κύριον ἢ προσηγορικόν, οὕτω καὶ τὸ ἐπίῤῥημα ἐάν τις προτάξῃ, ἀνάγκη ἐστὶν ἐπάγειν ῥῆμα. ἐπίκειται γὰρ ἀεὶ τῷ ῥήματι· ἄνευ γὰρ ῥημάτων οὐ συγκλείει διάνοιαν. Ἰστέον δὲ ὅτι, ὅπου ἐπίῤῥημά ἐστι, πάντως καὶ ῥῆμα· ὅπου δὲ ῥῆμα, οὐ πάντως ἐπίῤῥημα. 20

**) Ἐκ τῆς συντάξεως δὲ εἴληφε τὸ ἐπίῤῥημα τὴν ὀνομασίαν. διὰ τοῦτο γὰρ ἐπίῤῥημα λέγεται, ἐπειδὴ ἐπί τι ῥῆμα φέρεται. πάντως γάρ, ἐὰν εἴπω καλῶς, ἐπιφέρεται καὶ ῥῆμα, ἢ ἔτυψα ἢ ἔλεξα ἢ τι τῶν τοιούτων. Ὅθεν καί τινες τὸ φεῦ καὶ τὸ οἴμοι, διὰ τὸ μὴ ἔχειν ἐπιφερόμενον ῥῆμα, ᾠήθησαν μὴ εἶναι ἐπίῤῥηματα, ἀλλ' ἕτερα μέρη λόγου. ὅτι δὲ ἐπιῤῥήματά ἐστι καὶ οὐδὲν ἄλλο, σαφὲς ἐντεῦθεν. αἱ ἀναφωνήσεις αὗται ψυχῆς πασχούσης εἰσί, τὸ δὲ πάσχειν ἢ ἐνεργεῖν ῥηματικῆς ἐστι διαθέσεως, ὥστε εἰ καὶ μὴ ἐπαχθῇ τοιοῦτος ῥῆμα, φανερόν ἐστιν ὅτι παθών τις τι τοῦτο βοᾷ. διὰ δὲ τοῦ πάθους τὴν σύνταξιν. . . . . Σύνθετον δέ ἐστι τὸ [ἐπίῤῥημα] παρὰ τὴν ἐπί προθεσιν καὶ τὸ ῥῆμα. ὅρα δὲ τῇ συνθέσει πεπλεόνακε τὸ ῥ, ὡς καὶ τὸ ἀῤῥωστος. 25 30 35

ἃ ἐπιφέρει ὁ τεχνικός, μερικώτερά ἐστι τῶν προλεχθέντων τριῶν ἐπιρρήματων, λέγω δὴ τοῦ νῦν, τότε, αὖθις.

Στεφάνου. Διαφέρει χρόνος καιροῦ, ὅτι τὰ μὲν γενικὰ ἁπλούστερον καὶ μόνον τὸν χρόνον δηλοῖ, τὰ δὲ ἐπὶ καιροῦ, μετὰ τοῦ χρόνον δηλοῦν, καὶ ὡς πρός τι λέγεται. τὸ γὰρ σήμερον πρὸς τὸ αὔριον, τὸ δὲ τόφρα πρὸς τὸ ὄφρα. ἐν ἀναφορᾷ δὲ καὶ ἀνταποδόσει χρόνον δηλοῖ ταῦτα, ὅτε - τότε, ἡνίκα - τηνίκα - πηνίκα - ὁπηνίκα.

Ἕνα τρόπον καλεῖ εἶναι χρόνου δηλωτικόν, καὶ παρατίθεται τὸ νῦν, τὸ ὕστερον, τὸ αὖθις. παράτασιν δὲ χρόνου ἔχουσι ταῦτα, καὶ τρόπον τινὰ ἀόριστον χρόνον δηλοῦσιν. Ἐντεῦθεν καὶ παρὰ τῷ ποιητῇ εὑρόντες τὸν διὰ τοῦ ὕπνου λόγον τοῦ Διὸς πρὸς Ἀγαμέμνονα λεγόμενον,

νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν,

[οὐ] λέγομεν ψευδῆ εἶναι· ἀλλὰ τὸ νῦν λαμβάνεται ἐπὶ ἡμέρας καὶ μηνὸς καὶ ἐνιαυτοῦ (ἀόριστον γάρ), ἤμελλε δὲ κατ' ἐκεῖνον τὸν ἐνιαυτόν — δέκατος γὰρ ἦν — πορθεῖν τὴν Ἴλιον. ὥστε οὐκ ἐψεύσατο Ζεύς, Ἀγαμέμνων· [δ'] ἥμαρτε μὴ ἀκριβῶς συμβαλὼν τὸ ὄναρ. καὶ διὰ τοῦτο καταμέμφεται δικαίως παρὰ τοῦ ποιητοῦ· ἐπάγει γὰρ αὐτῷ εὐθέως τὸ

νήπιος, οὐδὲ τὸ ᾔδη, ἅ ῥα Ζεὺς μήδετο ἔργα.

χρονικὸν οὖν ἐπίρρημά ἐστι τὸ νῦν. . . . . ὑποτομὴν δὲ χρόνου ποιεῖται, ὡς ἔχει τὸ χθές, αὐτίκα, αὔριον, ἔνθεν, αὖθις. καὶ δοκεῖ τι διάφορον εἶναι. οὐ γὰρ ταὐτόν ἐστι χρόνος καὶ καιρός. ἔστι γὰρ διαφορὰ τῶν τε χρονικῶν καὶ τῶν καιροῦ παραστατικῶν. τὰ μὲν χρονικὰ παράτασιν χρόνου καὶ ἀοριστίαν ἐπαγγέλλεται, τὰ δὲ καιρόν τινα ὡρισμένον παρίστησι. τὸ γὰρ χθές ἐπὶ τῆς πα-

ρελθούσης ἡμέρας τέτακται, καὶ τὸ σήμερον ἐπὶ τῆς ἐνεστώσης, καὶ τὸ αὔριον ἐπὶ τῆς μελλούσης.

Ὑποτακτέον ἀντὶ τοῦ ἐν ὑποτομῇ θετέον. τὰ καιροῦ παραστατικά, τουτέστι τὰ ὑποτομὴν χρόνου δηλοῦντα, ὅνα τὰ μὲν ἄνω ἢ χρονικά, τὸ δὲ σήμερον καὶ χθές καὶ αὔριον εἶδος καὶ μέρος ἐκείνων, ἐπεὶ καὶ μερικῶς χρονικά ἐστιν ἐπιρρήματα, καὶ χρὴ αὐτὰ συμφωνοῦσαν τοῖς τοῦ ῥήματος χρόνοις ποιεῖσθαι τὴν σύνταξιν, οἷον τὸ χθὲς παρῳχημένῳ συντάσσειν, οἷον χθὲς ἔγραφον, ἐχθὲς γέγραφα, ἐχθὲς ἐγεγράφειν, ἐχθὲς ἔγραψα. τὸ αὔριον ἐπεὶ ἀντίκειται τῷ παρῳχημένῳ, τοῖς δὲ μέλλουσιν ἀκείωται, μέλλοντι χρὴ αὐτὸ συντάττειν, οἷον αὔριον γράψω· καταχρηστικῶς δὲ καὶ τοῖς ὁμολογοῦσι [μὴ] παρῳχῆσθαι, ὅ ἐστι τοῖς ἐνεστῶσιν, οἷον αὔριον γράφω, αὔριον ἀναγινώσκω. ἐπεὶ ὁ ἐνεστὼς ἔχει τὸν μέλλοντα ἐν ἑαυτῷ, καθὸ οὔπω πεπλήρωται ἀλλὰ μέλλει καὶ ἔτι δρᾷν.

„Τὰ δὲ μεσότητος, οἷον καλῶς, σοφῶς." Μεσότητος ἐπιῤῥήματά εἰσιν ὅσα ἀπὸ γενικῶν ὀνομάτων εἰς ως γεγόνασι. καὶ εἴρηται μεσότητος παρ' ὅσον εἰσὶ μέσα ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων, ὡς τὸ καλοί καλῶν καλῶς, φίλαι φίλων φίλως, σοφοί σοφά σοφῶν σοφῶς. καὶ ἀπὸ τῆς γενέσεως μεσότητος . . . . . οἷον ἐὰν εἴπω καλῶς γράφω, τὴν ποιότητα τῆς καλῆς γραφῆς ἐδήλωσα· ἢ σοφῶς λέγω, τὴν ποιότητα τῆς σοφωτάτης λέξεως ἐδήλωσα. ὥστε τοίνυν εἴ τι μεσότητος, τοῦτο ποιότητος· οὐ τὸ ἀνάπαλιν.

Στεφάνου. Μεσότητος λέγεται, ἐπεὶ μέσα ἐστὶν ἀρσενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων, ἢ καὶ τῶν δύο γενῶν, οἷον καλοί - καλαί - καλά - καλῶν - καλῶς. πάντα δὲ παράγωγα τὰ εἰς ως, πλὴν τοῦ ἕως, τέως· πάντα ἀπὸ γενικῶν, πλὴν τοῦ οὕτως, ὥς. ἀπὸ δὲ τοῦ σημαινο-

μένου δύναται ποιότης εἶναι τὸ καλῶς καὶ σοφῶς. ἔστι καὶ ἐπὶ δύο γενῶν, οἷον πάντως ἀρσενικοῦ καὶ οὐδετέρου, καὶ ἐφ᾽ ἑνός, οὕτως ὥς.

Μεσότητος λέγονται οὐκ εἰκῇ, ἀλλὰ διά τινα αἰτίαν. ἀεὶ τὰ τῆς μεσότητος ἀπὸ ὀνομάτων ἔχει τὴν γένεσιν, ὀνομάτων δὲ τριγενῶν, ἀπὸ γενικῆς, τοῦ ῾ εἰς ῾σ μεταβαλλομένου. Ἐντεῦθεν καὶ τὰ τοιαῦτα κατὰ τόνον οὐδεμιᾶς ἔχεται ἀμφιβολίας, δεῖ δὲ πρότερον ἀποβλέπειν εἰς τὴν γενικὴν τοῦ ὀνόματος, καὶ ἰδεῖν ὁποῖον ἔχει τόνον ἴδιον, καὶ εἶθ᾽ οὕτως ἀποφαίνεσθαι κατὰ τοῦ ἐπιῤῥήματος. εἰ γὰρ καὶ βαρύνοιτο ἡ γενικὴ τοῦ ὀνόματος, συμβαρύνεται καὶ τὸ ἐπίῤῥημα· εἰ δὲ περισπῶτο, συνακολουθεῖ καὶ τὸ ἐπίῤῥημα. Μεσότης οὖν εἴρηται, ἐπειδὴ ἐκ μέτρου τῆς κλίσεως τῶν ὀνομάτων λαμβάνεται· ἀπὸ γὰρ τῶν τριῶν γενῶν ἐκπίπτει γενικὴ εἰς ῶν. διὰ τοῦτο μεσότητος εἴρηται. Οὐ μόνων δὲ ἀπὸ ὀνομάτων γίνεται, ἀλλὰ καὶ ἀπὸ ἀντωνυμιῶν, ὡς τὸ οὕτως καὶ ἐκείνως. Μόνον τὸ ὡς εὑρίσκομεν ἀπὸ εὐθείας κατ᾽ ἔκτασιν γεγονὸς τοῦ ο εἰς ω, καὶ φυλάξαν τὸν τόνον τῆς εὐθείας, τουτέστι τὸν ὀξύν.

Γεωργίου. Ταῦτα σημαντικὰ μέν ἐστι ποιότητος, [οἷον] τὸ καλῶς ἢ ψυχῆς ἢ σώματος ἢ ἄλλου τινὸς ποιότητα δηλοῖ, καὶ τὸ σοφῶς· τῇ φωνῇ γε [μὴν] καλεῖται μεσότητος· μέσα γὰρ τρόπον τινὰ ὀνομάτων τε καὶ ἐπιῤῥημάτων. τὰς μὲν γὰρ ὑπάρξεις ἐξ ὀνομάτων ἔχουσι, τὰς δὲ καταλήξεις καὶ συντάξεις ἐξ ἐπιῤῥημάτων.

Τὰ τῆς μεσότητος ἐπιῤῥήματα κατὰ ἐπαίνου λέγονται, ὡς τὸ καλῶς, σοφῶς, σωφρόνως· ἃ δὲ διστακτικῶς, οὕτως, ἐκείνως, ἄλλως· ἃ δὲ ἐν ἐπιτηδεύμασι, μουσικῶς, γραμματικῶς, ἀθλητικῶς· ἃ δὲ κατὰ μετουσίαν, σαρκίνως,

νως, ἀνθρωπίνως· ἃ δὲ κατὰ μείωσιν, ὡς τὸ κακῶς, ἀδρανῶς, ἀφρόνως.

Ποιότητος ταῦτα λέγεται καὶ ἀπὸ σημασίας. ποιότης γάρ ἐστι φωνὴ δηλοῦσα τὴν ποιότητα τῆς φωνῆς ἢ τῆς σημασίας. ἐὰν μὲν γὰρ εἴπω πύξ, λάξ, τὴν ποιότητα τῆς φωνῆς ἐδήλωσα· ἐὰν δὲ βοτρυδόν, ἀγεληδόν, τὴν ποιότητα τοῦ πράγματος. καὶ σκοπεῖν χρὴ ὅτι ταῦτα, ποιότητος ὄντα δηλωτικά, οὐκ ἂν λεχθείη καὶ μεσότητος· οὐ γὰρ ἀπὸ γενικῶν εἰσὶν ὀνομάτων μεταξὺ κειμένων ἀρσενικῶν καὶ θηλυκῶν.

Διομήδους. Τὰ δηλοῦντα τὸν τοῦ σχήματος τρόπον καὶ τὴν ἔνδειξιν καλεῖται ποιότητος. πῶς ἔτυψε; [πύξ.] πῶς ἤρχοντο; ἀγεληδόν. πῶς ἐκαθέζοντο; γνύξ.

Ποιότητός εἰσιν ἐπιῤῥήματα ἃ διὰ τῆς φωνῆς τὸ γινόμενον πρᾶγμα μιμεῖται, οἷον πύξ, ἐπειδὴ πτύξαντες τὴν χεῖρα πλήσσομεν. γεγένηται δὲ οὕτω· πτύσσω πτύξω, πτύξ, ἐνδείᾳ πύξ. τὸ λάξ τὸ ὑπόμνημα οὕτω σχηματίζει· λακτίζω λακτίσω, Δωρικῶς λακτίξω, λάκτιξ, συγκροῇ λάξ. ἄμεινον δὲ οὕτω· λήγω λήξω, λήξ, λάξ, τὸ διὰ τοῦ λήγοντος μέρους τοῦ σώματος γινόμενον. „βοτρυδόν, ἀγεληδόν" παρ' ὄνομα. τὸ βοτρυδόν καὶ μονῆρες· οὐδὲν γὰρ εἰς δον ἀπὸ ὀνόματος γίνεται περιττοσυλλάβως κλινομένου, εἰς σ ληγούσης τῆς εὐθείας, — διὰ τὸ κλιμακηδόν, φαλαγγηδόν, ἑλικηδόν, πινακηδόν —. ὅμως ἔστι καὶ τὸ νεκυδόν ἀπὸ τῆς νέκυος καὶ τὸ κτηνηδόν ἀπὸ τῆς κτήνεος, εἰ μὴ ἀπὸ τῆς κτήνους γενικῆς παρῆκται.

„Ποιότητός" ἐστι γενέσεως πραγματικῆς, ὅπως ἐγένετο διαφορὰ τῆς γενέσεως τοῦ πράγματος. ἔστι δὲ τὰ τοιαῦτα

ἀπὸ ῥήματος γεγονότα, καθὸ καὶ ἡ γένεσις τῶν πραγμάτων τὰ ῥήματα. ἰδοὺ γὰρ παρὰ τὸ κλέπτω κλέβδην. διδάσκει σε τὸ δεύτερον στοιχεῖον· ἔστι γὰρ μέσον τῶν στοιχείων τῆς πρώτης συζυγίας τῶν βαρυτόνων. ἔστι πάλιν ὄπτω τὸ σημαῖνον τὸ θεῶμαι· τὸ ἐπίῤῥημα ὄβδην, 5 ὡς καὶ παρὰ Καλλιμάχῳ

ἦλθες ἐσόβδην.

καὶ τὸ πύξ ἀπὸ τοῦ πτύσσω· τὸ γὰρ πτύσσειν καὶ ἀκοντίζειν τοὺς δακτύλους, καὶ τούτοις πλήττειν, εἴρηται πύξ, ἐκ μεταφορᾶς τῶν πυκτῶν [τῶν] οὕτω κατ' ἀλλήλων φε- 10 ρομένων. Γίνεται δὲ καὶ ἀπὸ ὀνόματος τὰ τοιαῦτα· τὸ γὰρ βοτρυδὸν ἀπὸ τοῦ βότρυς γίνεται καὶ τὸ ἀγεληδὸν ἀπὸ τῆς ἀγέλης. Τὸ βύζην ἐπίῤῥημα σεσημείωται πρωτότυπον ὂν καὶ οὕτως ἐφευρεθέν, ὡς ἐάν τις ἔρηται πῶς ἦλθον οἱ φίλοι; καὶ θέλῃς δεῖξαι, εἴποις βύζην ἀντὶ 15 τοῦ ἀθρόως, πυκνῶς. ὡς καὶ τὸ ἀγεληδὸν ἀντὶ τοῦ ὁμοῦ πάντες ἦλθον.

„Τὰ δὲ — ὀλιγάκις." Ταῦτα ἀόριστον ποσότητα δηλοῖ, τὸ δὲ δίς, τρίς ὡρισμένην ποσότητα.

„Τὰ δὲ — τετράκις." Ταῦτα ἀριθμὸν ἐμφαίνει, 20 μὴ ὄντα ἀριθμητικά. τὸ δὲ δίς καὶ τρίς πέπονθε· τὸ γὰρ δυάκις καὶ τριάκις παρὰ Ἀριστοφάνει.

Ψεύδεται ὁ τεχνικός, λέγων ταῦτα εἶναι ἀριθμοῦ δηλωτικά, ἐπεὶ οὐκ εἰσὶν ἀριθμοῦ δηλωτικά, ἀλλὰ ποσότη- 25 τος ὡρισμένα. ἀγνοεῖ γάρ, ὡς ἔοικεν, ὅτι τὰ ἐπιῤῥήματα τῆς ποσότητος ὡρισμένα ἐστὶ καὶ ἀόριστα, ὡρισμένα μὲν ὡς δίς, τρίς, ἀόριστα δὲ ὡς πολλάκις, ὀλιγάκις.

„Τὰ δὲ — οἴκοθεν." Τὰ εἰς ῶ παράγωγα κοινὰ βαρύνεται, ἄνω, κάτω. προσκεῖται κοινά διὰ τὰ Δωρι- 30 κά, οἷον τουτῶ, αὐτῶ, τηνῶ. σεσημείωται τὸ ἰώ, ἐπισχερώ. Καὶ πάντα φεύγει τὴν πρὸ τοῦ τέλους μακρὰν ἔχειν. τὸ ἔσω ἐκ πάθους· ἀναλογώτερον τὸ ἴσω. τὸ

ἔξω τῆς ἔξ ἔχει τὴν ἀναλογίαν. τὸ πόῤῥω Ἀττικῶς τέτακται καὶ διπλασιασμὸν ἔχει. τὸ οὕτω παραφθορὰ τοῦ οὕτως. τὸ δεῦρω ἔκτασις ποιητική.

Στεφάνου. Τοπικὰ τὰ τόπον σημαίνοντα, ὧν σχέσεις ἤγουν μεθέξεις *) εἰσὶ τρεῖς. ἢ γὰρ ἐν τόπῳ τινὶ ἔστι τις, ἢ εἴς τινα τόπον πορεύεται, ἢ ἐκ τόπου τινὸς ἔρχεται. καὶ τὸ μὲν οἴκοι καὶ τὰ ὅμοια αὐτῷ τὴν [ἐν τόπῳ ὕπαρξιν δηλοῖ, τὸ δὲ οἴκαδε καὶ τὰ ὅμοια αὐτῷ τὴν] εἰς τόπον ἄφιξιν, τὸ δὲ οἴκοθεν καὶ τὰ ὅμοια αὐτῷ τὴν ἐκ τόπου σχέσιν.

Τὰ μὲν αὐτῶν πρὸς τὴν ἐν τόπῳ ὕπαρξιν ἔχει τὴν σχέσιν, [ἃ δὲ πρὸς τὴν εἰς τόπον . . ,] ἃ δὲ πρὸς τὴν ἐκ τόπου. πάντων δὲ προτερεύει τὰ ἐν τόπῳ· εἰ γὰρ μή τις εἴη ἐν τόπῳ, οὔτε εἰς ἕτερον μεταστῆναι δύναται. **) ὠκείωται δὲ τὰ μὲν ἐν τόπῳ τὴν ἔν πρόθεσιν, οἷον οἴκοι εἰμί, τουτέστιν ἐν τῷ οἴκῳ· τὰ δὲ εἰς τόπον τὴν

---

*) Σχέσις ἡ πρός τινα οἰκείωσις. κατὰ πέντε δὲ τρόπους γίνεται ἡ σχέσις. ἢ γὰρ φύσει, ὡς ἀδελφοῦ πρὸς ἀδελφὸν ἢ υἱοῦ πρὸς πατέρα· ἢ τύχῃ, ὡς δούλου πρὸς δεσπότην· ἢ τέχνῃ ὡς μαθητοῦ πρὸς διδάσκαλον· ἢ προαιρέσει, ὡς φίλου πρὸς φίλον· ἢ τόπῳ, ὡς τὰ τοπικὰ τῶν ἐπιῤῥημάτων.

Σχέσις ἐστὶν ἡ σαφήνεια, ἡ συγγένεια. ἢ γὰρ εἰς τόπον βουλόμενος ἀπελθεῖν σημαίνεις δι' ἐπιῤῥήματος, ἢ ἐκ τόπου ἐρχόμενος, ἢ ὡς ἐν τόπῳ διαιτώμενος. καὶ δεῖ προσέχειν ταῖς σχέσεσιν, ἵνα διὰ τοῦ ὁμολογουμένου σύνταξιν προσαγάγῃς. εἰσὶ γὰρ αὐτῶν τινά, ἅπερ δέχεται καὶ δύο σχέσεις, [καθὼς τὸ] ἔνθα σημαίνει καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον.

**) Ἤθελόν τινες πρῶτον τάττειν τὴν εἰς τόπον σχέσιν, λέγοντες ὡς οὐκ ἄν τις εἴη ἐν τόπῳ μὴ πρῶτον εἰς αὐτὸν ἐλθών. Ἀλλὰ φαμεν ὡς εἰ μή τις εἴη πρότερον ἐν τόπῳ, οὐκ ἂν τὴν εἰς τόπον ὁρμὴν ποιήσαι[το].

εἷς, οἷον οἴκαδε ἄπειμι, τουτέστιν εἰς οἶκον· τὰ δὲ ἐκ τόπου τὴν ἔξ, οἷον οἴκοθεν ἔρχομαι, τουτέστιν ἐξ οἴκου.

Τὰ τοπικὰ κοινῶς τόπον σημαίνει, εἰσὶ δὲ αὐτῶν συντάξεις καὶ σημασίαι [τρεῖς, καθὰ] ἢ τὴν ἐν τόπῳ σύνταξιν καὶ σημασίαν ποιοῦνται, ἢ τὴν εἰς τόπον, ἢ τὴν ἐκ τόπου. καὶ ᾠκείωται τῇ μὲν ἐν τόπῳ σημασίᾳ ἢ ἔν πρόθεσις, οἷον ἐν ἀγρῷ ἐστίν ἢ ἐν οἴκῳ ὑπάρχει, τῇ δὲ εἰς τόπον ἡ εἰς, οἷον εἰς Ἀθήνας, εἰς Πελοπόννησον ἀπῆλθε, τῇ δὲ ἐκ τόπου ἡ ἀπό, οἷον ἀπ' οὐρανοῦ, ἀπὸ Λέσβου. Ἀττικοὶ δὲ καταχρῶνται τῇ ἔν ἀντὶ τῆς εἰς, ὡς ὅταν λέγωσιν ἐν διδασκάλου καὶ ἐν κιθαριστοῦ.

Ὥςπερ δὲ ἐν τοῖς ὀνόμασιν ἔστι τινὰ μονογενῆ, ὡς τὸ οὐρανός, εἰσὶ [δὲ] καὶ διγενῆ, ὡς τὸ ἵππος, καὶ ἄλλα τριγενῆ ὡς ὁ καλός, οὕτω καὶ ἐν τοῖς τοπικοῖς τὰ μὲν μίαν σχέσιν δηλοῖ, ὡς τὸ ποῖ τὴν εἰς τόπον μόνον· τινὰ δὲ δύο, τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον, ὡς τὰ εἰς ω παρὰ πρόθεσιν γεγονότα, ὡς τὸ ἄνω, κάτω, ἔσω, ἔξω· τινὰ δὲ καὶ εἰς τὰς τρεῖς μετασχηματίζεται, ὡς τὸ οἴκοι οἴκαδε οἴκοθεν.

Στεφάνου. Πρώτη ἡ ἐν τόπῳ ἐστί, δευτέρα ἡ εἰς τόπον, [τρίτη ἡ] ἐκ τόπου. τούτων δὲ τῶν τοπικῶν τὰ παρὰ πρόθεσιν τὰς δύο σχέσεις ἐδήλουν, τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον, ἄνω, ἄνω εἰμί, ἐν τόπῳ, ἄνω ἀνέρχομαι, εἰς τόπον· ἔξ - ἔξω, ἔς - ἔσω, πρός - πρόσω, κατά - κάτω.

Τὰ δὲ εἰς οι ὑπὲρ δύο συλλαβάς, τῶν πρωτοτύπων τὸν οἱονδήποτε χρόνον ἐχόντων, περισπῶνται, Μεγαροῖ, Ἰκαροῖ, ἐνταυθοῖ. τὰ δισύλλαβα πρὸς τὰ πρωτότυπα τονοῦνται· ὀξυνομένων γὰρ περισπᾶται, βαρυνομένων

δὲ βαρύνεται, οἷον Ἰσθμός Ἰσθμοῖ, Πυθώ Πυθοῖ, ἔνδον ἔνδοι, πέδον πέδοι, μέσον μέσοι.

Τὰ δὲ εἰς ε̄ παράγωγα βαρύνεται, οἷον οἴκαδε, ἄλλοτε.

Τὰ εἰς δε̄, εἰς ζε̄, εἰς σε̄ τὴν εἰς τόπον δηλοῖ σχέσιν, οἷον οἴκαδε, Ἀθήναζε, πάντοσε. σεσημείωται τὸ μέταζε χρονικὸν ὄν. Ἡσίοδος· 5

μήπως τὰ μέταζε χατίζων.

Τὰ εἰς θεν τὴν ἐκ τόπου δηλοῖ, οἷον οὐρανόθεν. καὶ εἰ μὲν τὸ ο̄ παραλήγοι, ποιεῖ τὴν ἐν τόπῳ τροπὴ τῆς θεν εἰς θι, οἷον οἴκοθι· εἰ δὲ ἑτέρῳ φωνήεντι παραλήγοιτο, εἰς σι, οἷον Ἀθήνηθεν Ἀθήνησιν. ἡμάρτηται τὸ ἐγγύθεν ἐγγύθι. Τὰ δὲ παρὰ πρόθεσιν γινόμενα τὰς τρεῖς σχέσεις δηλοῖ, καὶ ἑρμηνεύεται διὰ τῶν ἁρμοζουσῶν ἑκάστῃ σχέσει προθέσεων, οἷον ἡ ἐκ τὴν ἐκ τόπου δηλοῖ, ἐκ τοῦ ἔμπροσθεν, ἡ ἐν τὴν ἐν τόπῳ, ἐν τῷ ἔμπροσθεν, ἡ εἰς τὴν εἰς τόπον, εἰς τὸ ἔμπροσθεν. Ἡ ἔνθεν τὴν ἐκ τόπου μόνην· μεταπεσοῦσα δὲ εἰς τὸ ἔνθα διὰ τοῦτο τὰς ἄλλας δύο σχέσεις ἔσχεν, 10 15

ἔνθα μὲν Αἴας κεῖται,

ἔνθα κατεπλέομεν. 20

Τὰ εἰς θεν τῷ ο̄ παραληγόμενα παροξύνεται, οἷον οὐρανόθεν, Ἰλιόθεν, εἰ μὴ παρὰ πρόθεσιν γένοιτο, οἷον παρὰ πάροθεν καὶ πλεονασμῷ τοῦ ῑ πάροιθεν· ἢ ἀπὸ ἐπιῤῥήματος ἐκ προθέσεως γενομένου, οἷον ἔνδοθεν, ἔξοθεν παρὰ Στησιχόρῳ, πρόσσοθεν παρ' Ὁμήρῳ — τούτων δὲ τῶν δύο τὰ ἀνάλογα διὰ τοῦ ω̄ — ἔκτοθεν, ἔντοθεν, ἃ καὶ ἐν τῷ σ̄ λέγεται· ἢ ἀπὸ ὀνομάτων ἐπιμεριζομένων, ἄλλοθεν, ἑκάστοθεν. Σεσημείωται τὸ οἴκοθέν, πάντοθεν, ὅτι μηδεμίαν τοιαύτην ἔχει παρατήρησιν. 25 30

Γνωστέον δὲ ὅτι πολλάκις συνεμπτώσεις γίνονται, καὶ σημαίνουσι τὰ τοιαῦτα ἐπιῤῥήματα καὶ τόπον ἔσθ' ὅτε καὶ χρόνον.

„Τὰ δὲ — ἄβαλε." Εὐχῆς λέγονται σημαντικὰ ταῦτα οὐχ ὅτι αὐτὰ λέγων τις εὐχὴν ποιεῖται, ἀλλ' ἐπειδὴ εὐχόμενοί τι γενέσθαι ἡμῖν τούτοις χρώμεθα τοῖς μορίοις. Τούτοις δὲ καὶ τὸ ὄφειλες κατέταξάν τινες.

Τὸ εἴθε κοινόν, τὸ δὲ αἴθε Δώριον. Διαφέρει τὸ ὄφελε τοῦ εἴθε, ὅτι ἀπαρεμφάτοις συντάττεται καὶ τοῖς τρισὶ προσώποις, τὸ δὲ εἴθε εὐκτικοῖς, οἷον

εἴθ' ὡς ἡβῴοιμι.

Τὸ δὲ ἄβαλε δύο μέρη λόγου ἐστίν, ἐκ παραλλήλου κείμενα· εὑρίσκεται δὲ καὶ βάλε λεγόμενον,

βάλε δὴ βάλε κηρύλος εἴην,

Ἀλκμάν. τινὲς δὲ ἓν μέρος λόγου ὑφ' ἓν ἀναγινώσκουσιν.

Διομήδους. Τινὲς δύο ὁμοιόσημα· τὸ ᾱ κατ' ἰδίαν ἐστὶν εὐκτικὸν ἐπίρρημα, ὡς τὸ αἴθε, καὶ τὸ βάλε ὁμοίως κατ' ἰδίαν ἐπίρρημα εὐκτικόν·

βάλε μοι βάλε τὸ τρίτον εἴη,

Καλλίμαχος.

„Τὰ δὲ — φεῦ." Σχετλιαστικὰ τὰ λυπηρά· σχέτλιος γὰρ ὁ ἄθλιος. τὰ οὖν λυπηρὰ καὶ ἄθλια, οἷον παπαί, ἰού, φεῦ, σχετλιασμοῦ δεῖ εἰδέναι λέγεται ἐπιφθέγματα, ὅταν τις ὑπὸ μείζονος προσώπου κακὰ πεπονθὼς προσαναφωνῇ, ὡς τὸ ἀτταταῖ, φεῦ, ἰού καὶ τὸ ὀττοτοῖ καὶ τὸ ὤμοι.

Σχετλιαστικὰ λέγεται τὰ ἐξ αὐτοπαθείας λεγόμενά τε καὶ ἀναπεμπόμενα ἐπιφθέγματα. ὅθεν καὶ πρώτου προσώπου εἰσίν, ἐπειδή, καθὼς ἔφην, ἐξ αὐτοπαθείας ἀνάγονται. ὁ γὰρ λυπούμενος ἢ δυσφορῶν λέγει ταῦτα, τὴν περὶ αὐτὸν μόνον πεῖσιν ἀφηγεῖται.

Τὰ σχετλιαστικὰ περισπᾶται, τῶν εἰς αι περισπωμένων, οἷον ἀτταταῖ, οἶ οἶ, ἀοίμοι, οἴμοι. τὸ ὦ πόποι σημειῶ-

δες — παπαῖ γὰρ περισπᾶται —· ἐνομίσθη γὰρ ὡς ὄνομα εἶναι. διὸ καὶ ὀνοματικὴν ἔλαβε τάσιν· ὡς γὰρ ὦ φίλοι, οὕτως ὦ πόποι ὦ θεοί. ἔστι δὲ δύο σχετλιαστικὰ ἐπιῤῥήματα.

„Τὰ δὲ — οὐδαμῶς." Διομήδους. Ἡ ἀπόφασις τῆς ἀπαγορεύσεως διαλλάσσει. ἡ μὲν γὰρ ἀπόφασις ἄρνησιν δηλοῖ, τουτέστιν ἀνάνευσιν, ἡ δὲ ἀπαγόρευσις συμβουλίαν ἀποτροπῆς ἔχει. ὁ μὲν γὰρ λέγει οὐκ ἐποίησα ἢ οὐκ ἐποίησας, ὁ δέ φησι μὴ ποιήσῃς.

Ἰστέον δὲ ὅτι τὸ οὐχὶ ἐπέκτασις μέν ἐστι τῆς οὔ, ὡς καὶ τὰ ἄλλα ἐπιῤῥήματα τὰ ἀρνητικά, ὀξύνεται δέ, καὶ οὐδέποτε ἀποβολὴν τοῦ ῑ πάσχει, ὥς φησιν Ἡρωδιανός. διὸ τὸ οὐχ ἡμῶν καὶ τὰ ὅμοια οὔ φαμεν ἔχειν ἐν παραθέσει τὴν χι, οὐδὲ ὡς τοῦ ῑ ἀποβληθέντος ἀποστροφὴν ἐπιδέχεται· ἀλλὰ πεπλεόνακε τὸ χ ἐν μέσῳ διὰ τὸ κεχηνέναι. ὅταν μὲν [γὰρ] δασεῖα ἐπιφέρηται, τὸ χ πλεονάζει· ὅταν δὲ ψιλή, τὸ κ, οὐκ ἐμόν.

Τοῖς ἀρνήσεως ἐπιῤῥήμασι χρώμεθα, ὅταν ἐλκόμενοι ἐπὶ μαρτυρίαν παραιτώμεθα, ὡς ἐν τῷ οὐ δῆτα. ἅμα γὰρ ἐν τῷ ἀποφαίνειν καὶ ἄρνησιν σημαίνει.

„Τα δὲ — ναίχι." Πάλιν τούτοις κεχρήμεθα, ὅταν τι συμβουλεύουσι συγκατατιθώμεθα, οἷον ναί, ναίχι. τοῦτο παραγωγὴν ὑπομένει διὰ τῆς χι συλλαβῆς, οὐδὲν πλέον σημαῖνον.

„Τὰ δὲ — μηδαμῶς." Ἀπαγορευτικὰ ἐπιῤῥήματα πρὸς ἀνθρώπων λέγεται μὴ συγχωροῦντων τοῖς ὑπηκόοις ποιοῦσί τι τούτων. Τὸ μὲν μή πρωτότυπον, τὸ δὲ δοκεῖ παρῆχθαι διὰ τοῦ δῆτα τοῦ δὲ ἑτέρου καὶ διάφορα μέρη λόγου σημαίνοντα. μηδαμῶς τουτέστι κατὰ μηδένα τρόπον· τὸ γὰρ ἀμῶς ἀπό τινος τόπου, ὡς καὶ παρὰ τῷ ποιητῇ

τῶν ἀμόθεν γε, θεά, θύγατερ Διός.

τὸ οὖν μηδαμῶς ἀπαγορεύει τις τηνικαῦτα μηδέτα τρόπον ἐργάζεσθαί τι.

„Τὰ δὲ — καθάπερ." Παραβολὴ λέγεται ἡ τὰ ἐοικότα τοῖς ἐοικόσι παραβάλλουσα, τουτέστι παρατιθεμένη. 5

„Τὰ δὲ — βαβαί." Ἡνίκα θαυμάζομεν, τούτῳ κεχρήμεθα τῷ φθέγματι.

„Τὰ — τυχόν." Τὸ μὴ εἰδέναι ἀκριβῶς εἰκασμόν φαμεν.

10

Εἰκασμός ἐστιν ὁ μετὰ δισταγμοῦ εἰκονίζων πρᾶγμα λόγος, ἐν ᾧ κεχρήμεθα ἢ τῷ ἴσως ἢ τῷ τάχα ἢ τῷ τυχόν. σημειωτέον δὲ ὅτι τὸ τάχα παρὰ μὲν Ἀττικοῖς ἐπὶ δισταγμοῦ λέγεται, παρὰ δὲ Ὁμήρῳ ἀντὶ τοῦ ταχέως.

„Τὰ δὲ — χωρίς." Ταῦτα τάξιν ἐπαγγέλλεται· τῷ 15 γὰρ λέγειν ἡμᾶς τὴν ἑξῆς ἡμέραν καὶ ἐφεξῆς προσῆλθον οἱ φίλοι τάξιν δηλοῦμεν.

„Τὰ δὲ — ἤλιθα." Στεφάνου. Ἀθροίσεως τὰ συναγωγῆς ἐμφαντικά.

Τὰ διὰ τοῦ δην βαρύνεται, οἷον σποράδην, χύδην. 20 δεῖγμα τούτου ῥυδόν ὀξύνεται διὰ τὸν τύπον, ῥύδην βαρύνεται. σταδόν - στάδην καὶ συστάδην.

Τὸ δὲ ἅμα διαφέρει τοῦ ὁμοῦ· τὸ μὲν γὰρ χρονικόν, τὸ δὲ ὁμοῦ τοπικόν, οἷον

ἅμα δ' ἠελίῳ καταδύντι· 25

ἅμα ἤλθομεν, τουτέστιν ὑφ' ἕνα καιρόν.

ἀλλ' ὁμοῦ ὡς ἐτράφην περ ἐν ὑμετέροισι καὶ ὁμοῦ οἰκοῦμεν, οἷον ἐν ἑνὶ τόπῳ.

Τὸ ἤλιθα ἀπὸ τοῦ ἅλις ἅλιθα. βαρύνεται δέ· τὰ γὰρ εἰς ᾱ βραχυκατάληκτα, μὴ διὰ τοῦ χθᾱ ἢ δᾱ, μὴ 30 ὀθοματικά, τοιαῦτά ἐστιν, οἷον αἶψα, μέσφα, τάχα. τὸ διχθά καὶ τὰ ὅμοια, καὶ τὸ ἀναφανδά ὑπεστειλάμεθα. τὸ καλά ὀνοματικόν. τὸ δηθά τῷ δήν ὁμόσημον.

„Τὰ δὲ — φέρε." Καὶ τὸ εἶεν δηλοῖ τὸ πορεύου. ἔω γαρ τὸ περιπατῶ, ἐξ οὗ καὶ ὁδός. παρακελευστικὸν καὶ περιγραφικὸν λόγον δηλοῖ. ἔστι δὲ δύο μέρη λόγου εἴκεν, καὶ συγκοπῇ τοῦ ῃ ὡς ἐφ' ἑνὸς εἶεν. καὶ δύο τόνοι· πεπλανημένως δὲ περισπᾶται. Καὶ τὸ φέρε δὲ ὅμοιον ἐκ ῥήματος.

„Τὰ δὲ — ἧττον." Διὰ τούτων τὰς συγκρίσεις ποιούμεθα, οἷον. οὗτος ταχύς, ἀλλ' οὗτος μᾶλλον, οὗτος δὲ ἧττον ταχύς.

„Τὰ δὲ — πῶς." Ἐκ τοῦ πῶς ζητεῖται τρόπος, τοῦ πηνίκα χρόνος, τοῦ πόθεν τόπος, καὶ τὸ ποῦ καὶ πότε. ἡ δὲ ἐρώτησις ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου. πᾶν δὲ ἐρωτηματικὸν ἀπὸ τοῦ π ἄρχεται, πλὴν τοῦ τίς.

„Τὰ δὲ μάλιστα." Ἐπιτάσεώς ἐστιν οἷς ἐπιτείνοντες τὰ πάντα χρώμεθα. ταῦτα δὲ ἐνείληπται τοῖς ὑπερθετικοῖς, τὴν κατὰ πάντων ἐπίτασιν ἔχουσιν, οἷον ταχύτατος - ἄγαν ταχύς.

Τὰ δὲ εἰς ων βαρύνεται, λίαν, ἄγαν, πέραν. ὀνοματικὸν εὐάν βακχικόν. τὸ δὲ ὅταν δύο μέρη λόγου. τὸ δοάν παρ' Ἀλκμᾶνι Δωρικῶς ὀξύνεται, γεγονὸς οὕτω· δήν - δάν - δοάν. τὸ ὦ τᾶν δύο μέρη λόγου ἐστί, καὶ κατὰ πλεονασμὸν ἀντὶ τῆς ἐπὶ τέλους ὀξείας περισπωμένην ἔσχε. γέγονε δὲ οὕτως· ἔτης ὁ φίλος, ἐτάν, ὦ ἐτάν, καὶ κατὰ κρᾶσιν ὦ τᾶν.

„Τὰ δὲ — ἄμυδις." Τὸ ἄμυδις Αἰολικόν ἐστιν, ἅμα ἅμαδις καὶ ἄμυδις, κατὰ τροπήν, ὡς σάρκες σύρκες, καὶ μεταβολῇ πνεύματος.

„Τῷ δὲ — μά." Ταῦτα ἐπὶ τῶν ἀπομνυμένων μὴ ποιεῖν τι ἀπωμοτικὰ ὀνομάζονται. τὸ δὲ μά εὑρίσκεται καὶ ἐπὶ συγκαταθέσεως.

Ἀπωμοτικόν, ᾧ τις χρήσαιτο ἀρνούμενος, μὰ τὸν Δία

οὐκ ἐποίησα. ἔστι δὲ εὑρεῖν αὐτὰ καὶ ἐπὶ ἐναντίας σημασίας, ὥστε δεῖ ὁμοτικὰ μόνον αὐτὰ καλεῖν.

Ἀπωμοτικόν ἐστι τὸ μεθ' ὅρκου ἀρνητικόν, οἷον μὰ τὸν Ἀπόλλωνα. πολλάκις δὲ ἀντὶ τοῦ κατωμοτικοῦ κέχρηνται αὐτῷ οἱ παλαιοί, ὡς καὶ ὁ ποιητής, 5

ναὶ μὰ τόδε σκῆπτρον.

ἢ τάχα περιττεύει παρ' αὐτῷ τὸ μά, καὶ ἔστι νὴ τοῦτο τὸ σκῆπτρον. ἐν γὰρ τῷ

οὐ μὰ Ζὴν Ἀγέλαε 10

αἱ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσιν, ἀντὶ τοῦ νὴ τὸν Δία.

„Τὰ δὲ — νή." Ταῦτα ἐπὶ τῶν συγκατατιθεμένων ποιεῖν τι.

„Τὰ — δηλαδή." Βεβαιῶν γάρ τι πρᾶγμα τούτῳ κέχρηται τῷ ἐπιῤῥήματι, οἷον πῇ βαδίζεις; δηλαδὴ εἴσω, ἀντὶ τοῦ φανερὸν καὶ βέβαιον ὅτι ἔσω. 15

„Τὰ δὲ — πλευστέον." Θετικά ἐστι τὰ θέσιν καὶ ποίησιν πράγματος ὁρίζοντα. ἐὰν γὰρ εἴπω ὅτι πλευστέον, ὁρίζω ὅτι δεῖ πλεῖν. γίνονται δὲ ταῦτα ἀπὸ τῶν εἰς τος ῥηματικῶν ὀνομάτων, προσθέσει τοῦ ε̄ ποιητικῶς, οἷον ποιητός ποιητέος, πλευστός πλευστέος. 20

Θεῖναί ἐστι τὸ ποιῆσαι, θετικὰ οὖν τὰ πρακτικά. θετικὸν οὖν ἐστὶν ὃ θέσιν πράγματος σημαίνει· ἐὰν γὰρ εἴπω πλευστέον, τέθεικα καὶ ὡρισάμην ὃ δεῖ ποιῆσαι. Ταῦτα δὲ οὐκ ἂν εἴη κατὰ πλεονασμὸν τοῦ ε̄ — ὁ γὰρ τόνος ἐλέγχει, βαρὺς ὤν — ἀλλ' ἔστιν ἀρσενικὰ τυπωθέντα διὰ τοῦ εος, ὧν οὐδέτερα ταῦτα, καὶ ἐξ οὐδετέρων ἐπιῤῥήματα ὀνοματικά. οὐδὲ τὸ αὐτὸ δηλούμενον ἔχουσι· ποιητὸς γάρ ἐστιν ὁ πεποιημένος, ποιητέος δὲ ὁ ὀφείλων ποιηθῆναι. ἰδοὺ γοῦν ἑτός ἑτεός πλεονασμός· καὶ ἡ σημασία γὰρ καὶ ὁ τόνος. 25 30

Θετικὰ εἴρηται παρὰ τὸ θεῖναι, θεῖναι δὲ τὸ ποιῆσαι. ἡνίκα οὖν αὐτοῖς ὁριζόμεθα ποιῆσαί τι, τούτοις κεχρήμεθα, ὡς ὅτε ἀναχωρεῖν θέλομεν, λέγομεν ἀναχωρητέον ἀντὶ τοῦ ἀναχωρῆσαι ὀφείλομεν. ζητητέον ὁμοίως.

„Τὰ δὲ — εὐάν." Θειασμοῦ ἐπιῤῥήματά ἐστι τὰ θείας ἐμφορήσεως δηλωτικά· πληρούμενοι γὰρ καὶ ἐμφορούμενοι τοῦ δαίμονος οἱ βακχεύοντες τὸ εὐοῖ καὶ εὐάν ἐφθέγγοντο. 5

Διομήδους. Τὸ ἐνθεοῦσθαι, τουτέστι τὸ ὑπὸ θεοῦ κινεῖσθαι, θειασμόν φαμεν. τὸ οὖν εὐοῖ, εὐάν ἐπιῤῥήματά ἐστι δηλωτικὰ πράξεων ἐνθουσιαστικῶν. 10

Πορφυρίου. Θειάζοντες γὰρ τῷ Διονύσῳ, τουτέστιν ἐξιλεούμενοι, ταῦτα ἐπᾴδουσι. Ταῦτα οὖν τοῦ Διονύσου ἐστίν, ἐπειδὴ καὶ αὐτὸς μανίας ἐστὶ ποιητής. κάτοχοι γάρ τινες γινόμενοι καὶ θειάζοντες τῷ Διονύσῳ, τουτέστιν ἐμφορούμενοι ὑπό τινος πνεύματος, ταῦτα φθέγγονται. 15

Τὸ εὐοῖ, εὐάν ἀλόγως δασεῖαν ἔχουσιν ἐν τῷ τέλει, ἁπλᾶ ὄντα, εἰ μή τις εἴπῃ τὸ σφοδρὸν πνεῦμα τοῖς βακχιάζουσιν ἁρμόζειν. 20

§ 25.

ΠΕΡΙ ΣΥΝΔΕΣΜΩΝ.

Σοφῶς καὶ εὐτάκτως καὶ τεχνικῶς ὁ σύνδεσμος τελευταῖος τέτακται ἐν τοῖς μέρεσι τοῦ λόγου. ὥσπερ γὰρ ἐν πάσῃ τῇ τέχνῃ ὁ τεχνίτης πρότερον περιγράφει καὶ κατασκευάζει ἐκεῖνα τὰ μορφοῦντα αὐτοῦ τὴν τέχνην, ὕστερον δὲ ἐπινοεῖται καὶ ἐπιζητεῖ ἐκεῖνο τὸ μέρος τὸ δυνάμενον συνέχειν καὶ δεσμεῖν αὐτά, οὕτω καὶ ὁ τοῦ λόγου τεχνίτης πρότερον δείξας τὰ μέρη τὰ δυνάμενα 25 30

τὸν λόγον ἐκτελέσαι ὕστερον καὶ τὸ μέρος τοῦ λόγου διδάξαι ἡμᾶς βούλεται, ἵνα μεμαθηκότες τὴν τῶν λέξεων δύναμιν μάθωμεν καὶ συνδεῖν ταύτας καὶ ἀποτελεῖν διάνοιαν. σύνδεσμος γὰρ διὰ τοῦτο καλεῖται καὶ λέγεται, διὰ τὸ εἶναι αὐτὸν συνδετικὸν τῶν τοῦ λόγου μερῶν, ὥς ἐστι τοῦτο καὶ ἐκ τοῦ ὅρου καταμαθεῖν. ἔχει γὰρ οὕτως· Σύνδεσμός ἐστι μέρος λόγου ἄκλιτον, συνδετικὸν τῶν τοῦ λόγου μερῶν, οἷς καὶ [συσ]σημαίνει, ἢ τάξιν ἢ δύναμιν παριστῶν. οὗτος ὁ ὅρος παραδέδοται, ὁ δὲ τοῦ Διονυσίου ἐπαισμένος ἐστίν, ὡς ἔστιν ἐκ τῆς ἐξηγήσεως καταμαθεῖν οὕτως. „Σύνδεσμός ἐστι λέξις." προσθεῖναι δεῖ τὸ ἄκλιτος ἢ καὶ ἀμετακίνητος. „Συνδέουσα διάνοιαν" καὶ συσσημαίνουσα τῇ διανοίᾳ „μετὰ τάξεως." προστιθέναι πάλιν δεῖ καὶ δυνάμεως, *) ἐπειδή τινες τῶν συνδέσμων ἐν τάξει μὲν παραλαμβάνονται, τὴν δὲ δύναμιν τοῦ πράγματος οὐκ ἐπαγγέλλονται· ἄλλοι δὲ καὶ ἐν τάξει παραλαμβάνονται καὶ τὴν δύναμιν τοῦ πράγματος ἐπαγγέλλονται. καὶ ἔστι τὰ παραδείγματα ταῦτα. οἷον

---

*) Δεῖ προστιθέναι τῷ ὅρῳ, ἐσφαλμένῳ ὄντι καὶ ἐλλιπεῖ, ἵν' ᾖ οὕτω· σύνδεσμός ἐστι λέξις ἄκλιτος, συνδέουσα διάνοιαν καὶ συσσημαίνουσα τῇ διανοίᾳ μετὰ τάξεως καὶ δυνάμεως. καὶ γὰρ συσσημαίνει, τάξιν ἢ δύναμιν παριστάνουσα, τάξιν μέν, εἰ περιπατῶ, κινοῦμαι, [δύναμιν δέ,] καὶ περιπατῶ· εἰπὼν γὰρ τὸ καί, τὸ πρᾶγμα ὑπέθηκα εἶναι· δύναμις γὰρ ἡ ὕπαρξις. ἐνταῦθα τάξεως οὐ χρεία· ἐν δὲ τῷ προκειμένῳ λόγῳ ὕπαρξις οὐκ ἦν, ἐπεὶ δισταγμός. τάξις δὲ καὶ θέσις ἐν τούτοις, ἐπεὶ περιπατῶ, κινοῦμαι. συσσημαίνει δὲ οὕτω· γράφω ὁρισμός· ἐὰν γράφω δισταγμός· ἵνα γράφω ἀποτελεσμός· ὅτι γράφω αἰτιολογία· καὶ γράφω βεβαίωσις.

Ὁ σύνδεσμος τῶν συσσημαινουσῶν ἐστὶ λέξεων· οὐ γὰρ καθ' ἑαυτό τι σημαίνει, συνδεῖ δὲ διάνοιαν κεχηνυῖαν· διὰ τοῦτο γὰρ καὶ σύνδεσμος ὠνομάσθη. καθ' ἑαυτὸν γὰρ ὁ σύνδεσμος οὐδὲν σημαίνει, συντασσόμενος δὲ τὰ ἐλλείποντα ἢ κεχηνότα ἢ διαλελυμένα σφίγγει.

ὁ εἰ σύνταξιν μὲν δηλοῖ, οἷον εἰ περιπατήσω, κινηθήσομαι (ἀκολουθία γάρ τίς ἐστιν ἡγουμένου πρὸς ἑπόμενον, καὶ οὐκ [ἂν] ἀναστρέψας εἴποις εἰ κινηθήσομαι, περιπάτησω· ψεῦδος γάρ, ἐπεὶ εἴ τις περιπατήσει, κινηθήσεται) οὐκέτι δὲ καὶ δύναμιν ἐπαγγέλλεται, ὅ ἐστιν ὕπαρξιν τοῦ πράγματος· διστάζει γὰρ ὁ λέγων, καὶ ὡς μή πω τοῦ πράγματος γενομένου δῆλός ἐστι λέγων ὅτι ἐὰν τοῦτο γένηται, τοῦτο ἔσται. ἔχομεν οὖν ἐκ τούτου τοῦ συνδέσμου τὴν τάξιν, ἀλλ' οὐ τὴν δύναμιν τοῦ πράγματος γενομένην. ἐκ δὲ τοῦ ἐναντίου ὁ καὶ περὶ μὲν τὴν τάξιν οὐ καταγίνεται, τὴν δὲ δύναμιν ἐκφαίνει. ὕρα γάρ, εἰ διαφέρει τὸ περιπατῶ τοῦ καὶ περιπατῶ· ὁ γὰρ λέγων καὶ περιπατῶ τίθησι τὸ πρᾶγμα. [ἀ]διαφόρως δὲ περὶ τὴν τάξιν δύναμαι εἰπεῖν καὶ περιπατῶ καὶ κινοῦμαι καὶ ἀναγινώσκω, καὶ εἴ τι βούλει ἕτερον· τὸ δὲ εἰπεῖν ἐπεὶ περιπατῶ, κινοῦμαι ψεῦδος. „Καὶ τὸ τῆς ἑρμ. κεχηνὸς δηλοῦσα." Τοῦτό φησι διὰ τοὺς διαζευκτικοὺς συνδέσμους· ἐκεῖνοι γὰρ τὸ τῆς ἑρμηνείας, ὅ ἐστι τῆς διανοίας, διεζευγμένον καὶ διεστηκὸς δηλοῦσι. σαφῆ δὲ τὸν λόγον παραστήσομεν, ἐν αὐτῷ τῷ τόπῳ γενόμενοι.

Εὐλόγως τελευταῖος ὁ σύνδεσμος τέτακται· δεῖ γὰρ προευτρεπίσθαι τὰ συνδεθησόμενα.

Ἀναγκαίως μετὰ τὰ ἄλλα μέρη τοῦ λόγου τέτακται καὶ ὁ σύνδεσμος. συλλαβῆς μὴ ὑποκειμένης πῶς ἂν εἴη σύνδεσμος; Καλῶς δὲ οὐκ ἐκλήθη δεσμός. δεσμὸς γὰρ ἐν σῶμά τι δεσμεῖ, ὁ μέντοι σύνδεσμος διαφόρων λέξεών ἐστι συνδετικὸς καὶ οὐ μιᾶς. *) τῆς φράσεως γὰρ τὸ

*) Ἄλλο ἐστὶ δεσμὸς καὶ ἄλλο σύνδεσμος. δεσμὸς γάρ ἐστι καὶ ὁ ἕν τι πρᾶγμα δεσμεύων, ὅθεν ἐπὶ τοῦ προκειμένου συνδέσμου

χαῦνον συνδεῖ. ἐὰν γὰρ εἴπωμεν Βοιωτῶν Πηνέλεως Λήϊτος ἦρχον χαῦνός ἐστιν ὁ λόγος· εἰ δὲ προσθῶμεν τὸν σύνδεσμον, οὐκέτι.

Διομήδους. „Σύνδεσμός ἐστι λέξις·" οὔ πώ τινος αὐτὸν ἀπέστησεν· εἰπὼν δὲ „συνδέουσα διάνοιαν" ἕως τοῦ „δηλοῦσα" πάντων αὐτὸν τῶν ἄλλων διέκρινεν· οὐδὲν γὰρ ἄλλο μέρος λόγου συνδεσμεῖ ἔννοιαν εὐτάκτως, οὐδὲ τοὺς διαλελυμένους λόγους εἰς ἓν συνάγει. τοῦτο γάρ ἐστι τὸ „κεχηνός," τοὺς μήπω ὑπὸ ζυγόν τινα ἤτοι σύνδεσμον καὶ τάξιν ὄντας λόγους ὑπὸ ῥυθμὸν εὔτακτον ἄγουσα.

Παρέπεται δὲ τῷ συνδέσμῳ σχῆμα, ἁπλοῦν εἴ, σύνθετον ἐπεί, καὶ ἀπὸ τῆς ἐπί καὶ τοῦ εἴ μονήρης σύνθεσις· οὐδέποτε γὰρ πρόθεσις συνδέσμῳ συντίθεται. καὶ τὸ δηλούμενον δείκνυσιν ὅτι σύνθετον· ὡς γὰρ ὁ εἴ τάξιν ἀπαιτεῖ, οὕτω καὶ ὁ ἐπεί. Ὁ ἐάν σύνθετος ἀπὸ τοῦ εἴ καὶ ἄν, καὶ ἐν ὑπερθέσει χρόνου ἐάν. τοῦτο διαλύων ποιητικῷ νόμῳ φησὶν ὁ Ὅμηρος

εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος.

„Τῶν δὲ — παραπληρωμ." Τρόποι τῶν συνδέσμων διάφοροι, ὀκτὼ δὲ τὸν ἀριθμόν. ἐπινοῆσαι γὰρ ἔστι τινὰς μὲν ἀπαιτοῦντας ἐπιφορὰν φράσεως, τινὰς δὲ πρὸς προειρημένην φράσιν παραλαμβανομένους. ὁ γὰρ λέγων πρῶτον μὲν γράφωμεν ἀπαιτεῖ τὸ ἐπενεχθησόμενον, ὁ δὲ λέγων ἠπαιδεύτησας γάρ ἢ ἡμέρα γάρ ἐστι τὴν σύνδεσιν ποιεῖται πρὸς προειρημένην φράσιν.

Τῶν συνδέσμων οἱ μὲν ὕπαρξιν δηλοῦσιν, οἱ δὲ τάξιν, οἱ δὲ ἀναφοράν. ὕπαρξιν μὲν ὅσοι συμπλεκτικοί· ἐὰν γὰρ εἴπω καὶ θεὸς ἔστι καὶ ἡμέρα καὶ δίκη, πάντα ἐνυπόστατα. τάξιν δὲ ὅσοι συναπτικοί. οἷον

οὐκ ἐνδέχεται εὑρεῖν μίαν μόνην λέξιν. οὐ γὰρ λέγομεν ἐποίησα καί, σιωπῶ μέν, ἀλλ' ἐπιφέρομεν καὶ ἕτερόν τι πάντως.

ἐὰν εἴπω εἰ περιπατῶ, κινοῦμαι, ἀκολουθίαν μὲν ἔχει ὁ λόγος, οὐ πάντως δὲ καὶ ἐνυπόστατός ἐστι· καὶ καθήμενος γὰρ τοῦτό φημι. εἰ μέντοι ἀναστρέφει, καὶ τὴν ἀλήθειαν ἀπολέσει. τὸ γὰρ ὅταν κινῶμαι, περιπατῶ οὐκ ἔστιν ἀληθές· δυνατὸν γὰρ καὶ καθήμενόν τινα κινεῖσθαι. οἱ μέντοι παρασυναπτικοὶ καὶ [τὴν] ὕπαρξιν ἔχουσι τῶν συμπλεκτικῶν καὶ τὴν τάξιν τῶν συναπτικῶν. τὸ γὰρ ἐπεὶ περιπατῶ, κινοῦμαι καὶ ἐνυπαρχον ἐστὶ καὶ τὴν τάξιν ἔχει, καθὸ καὶ αὐτὸ ἀναστρεφόμενον οὐκέτι ἀληθεύει.

Ἀπαριθμησάμενος ὁ τεχνικὸς τὰς ποιότητας τοῦ συνδέσμου, περὶ τὴν διδασκαλίαν τὴν καθ' ἕκαστον γίνεται. Καὶ ὄντως οἱ συμπλεκτικοὶ σύνδεσμοι λέγονται. εἰ γὰρ ἔργον τοῦ συνδέσμου τὸ συνδεῖν, ταὐτὸν δὲ τῷ συνδεσμεῖν τὸ συμπλέκειν, γνησίως καλοῖντο ἂν [σύνδεσμοι οἱ] συμπλεκτικοί. ἐκείνους δὲ λέγει συμπλεκτικούς, „ὅσοι τὴν ἑρμηνείαν ἐπ' ἄπειρον ἐκφερομένην συνδέουσιν." ἑρμηνεία δὲ λέγεται ὁ κατὰ τὴν ἐξήγησιν κατάλληλος λόγος. τὸ δὲ „ἐπ' ἄπειρον" ἀντὶ τοῦ ἔστ' ἂν ᾖ ὁ τῆς ἐξηγήσεως λόγος. „συνδέουσιν" ἐκ μεταφορᾶς τῶν ἡμετέρων μελῶν ἢ τῶν νεῶν. ὃν τρόπον γὰρ τὰ ἡμέτερα σώματα κατὰ τὰς ἄνω κοπὰς συνδεσμεύεται τῇ ἁρμονίᾳ καὶ οὐ συγχωρεῖ χαυνοῦσθαι, καὶ πάλιν ἐπὶ τῶν νεῶν ἔστ' ἄν τις ὕλη πίττης καὶ τοῦ δεσμοῦ ἐν μέσῳ τῶν ἁρμονιῶν ἐπικειμένη οὐκ ἐᾷ διαχαίνειν, οὕτω καὶ ἐν τῇ συντάξει τοῦ λόγου ἐμπαραλαμβανόμενοι οἱ σύνδεσμοι οὐκ ἐῶσι χαῦνον καὶ ἀνώμαλον φέρεσθαι τὴν προφοράν. καὶ τόνον ἔχουσιν οὗτοι ἕνα τὸν ὀξύν, χωρὶς μόνου τοῦ ἤτοι, ὃς καὶ παρὰ τοῖς ποιηταῖς μόνοις ἀντὶ τοῦ μέν παραλαμβάνεται, καθ' ἑαυτὸν δὲ διαζευκτικός.

Ἔξεστι γὰρ διὰ τούτων εἰς ἀπέραντον προάγειν τὸν λόγον, οἷον ἐγὼ μὲν τόδε ἐποίησα, σὺ δὲ τόδε, ὃ

δεῖνα δὲ τόδε καὶ ὡς ἄπειρά εἰσιν ἴσασι μὲν τὰς φωνὰς πολλοί, τὰς δὲ δυνάμεις ὀλίγοι, μέν, δέ, τέ, καί· οἱ γὰρ ἄλλοι πέντε τούτοις ἰσοδυναμοῦσιν.

„Συμπλεκτ. — ἤτοι, κέν, ἄν." Τῶν συμπλεκτικῶν αἱ φωναὶ πλείους, τὰ δηλούμενα δὲ ἐλάττονα. ἰδοὺ γὰρ ὁ δέ, ὁ ἀλλά καὶ ἀτάρ . . . . . καὶ ἠδέ ἀντὶ τοῦ καί παραλαμβάνονται. πολλῶν δὲ πραγμάτων εἰσὶν οὗτοι σύνδεσμοι, μᾶλλον δὲ ἀπείρων. καὶ θεός ἐστι καὶ δίκη καὶ νόμοι καὶ βασιλεὺς καὶ σωφροσύνη καὶ πολιτεία. Τούτοις δέ, ὡς προέφθημεν εἰπόντες, δυνάμεώς λόγος, τάξεως δὲ οὐδείς. διὸ τὰ παρὰ τῷ ποιητῇ

τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ καὶ

αὐτὰρ ὁ εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν

οὐ χρὴ καθ' ὑπερβατὸν εἰρῆσθαι νομίζειν.

Οὗτοί φησιν οἱ συμπλεκτικοὶ σύνδεσμοι, οἵ τινες τὴν διάνοιαν ἐπὶ πολὺ ἐκφερομένην καὶ ἐπεκτεινομένην συμπλέκουσι καὶ συνδέουσιν, ὥστε τὴν ἑτέραν τῇ ἑτέρᾳ συνδεδέσθαι καὶ συνηρτῆσθαι. ταύτην δὲ ἔχουσι τὴν ἐπαγγελίαν, ὥστε συνδεῖν τὰς διανοίας ἐπαλλήλους καὶ τὴν δύναμιν, ὅ ἐστι τὴν ὕπαρξιν, τὴν ἐν αὐταῖς παριστᾶν, ἐπιπλέκειν τε τοὺς λόγους οὐ κατὰ ἀκολουθίαν ἀλλ' ἀδιάφορον ποιεῖσθαι τούτων τὴν μετάθεσιν, οἷον καὶ ἀνέγνων καὶ περιεπάτησα ἢ καὶ περιεπάτησα καὶ ἀνέγνων· καὶ ἐξέμαθον καὶ ἐνόησα ἢ καὶ ἐνόησα καὶ ἐξέμαθον. οὐ δεῖ γε οὖν τοῦτο αὐτὸ εἰδότας καὶ τὰ Ὁμηρικὰ μέμφεσθαι ὡς ἀτάκτως κατειλεγμένα καὶ δεόμενα ἀναστροφῆς ἐν τῷ

τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε·

αὐτὰρ ὁ εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν.

οὐδὲ γὰρ τάξιν ἀπαιτεῖ, καθὰ εἰρήκαμεν, ὁ συμπλεκτικὸς σύνδεσμος.

Γίνε-

Γίνεται δὲ ἡ συμπλοκὴ ἐν δυναμέναις συνυπάρχειν φωναῖς, ἐν δὲ μαχομέναις ἀδύνατον γενέσθαι συμπλοκήν, οἷον καὶ κάθημαι καὶ ἕστηκα οὐδεὶς ἂν φαίη. ὅθεν τὸ

πρώτῃσι καὶ ὑστατίῃσι βόεσσι 5

καὶ τὸ

μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ

τὸν καί νομιστέον ἔχειν ἀντὶ τοῦ ἤ διαζευκτικοῦ· ἐναντίος γὰρ πρῶτος ὑστέρῳ καὶ προσηνεῖ ἀπειλή.

10

Χρὴ δὲ εἰδέναι ὡς . . . ἐξ ἀντικειμένων καὶ μαχομένων συμπλέκειν διάνοιαν, οἷον καὶ ἡμέρα ἐστὶ καὶ νύξ ἐστι· τοῦτο γὰρ ἀδύνατον· ἀλλ' οὕτως, καὶ ἡμέρα ἐστί, καὶ ἄνθρωποι προῆλθον καὶ τὰ συνηθῆ διαπράττονται. 15

Διομήδους. Ὀρθῶς τις σκοπῶν, τὸ συμπλεκτικοὶ φαίη ἂν ἐπὶ πάντων ἁρμόζειν τῶν συνδεσμῶν· καθὸ γὰρ σύνδεσμοι, συμπλεκτικοί εἰσι. κατ' ἐξοχὴν οὖν ἐπὶ τῶν μάλιστα καὶ ἐπὶ ἄπειρον τὴν ἔννοιαν συνδεόντων τοῦτο τὸ 20 ὄνομα τέτακται. Ποῖοι δέ εἰσιν οὗτοι; αὐτὸς παρατίθεται· ἑκάστου δὲ τόπον καὶ δύναμιν, ἔσθ' ὅτε δὲ καὶ ἰδικὴν ὀνομασίαν, ἡμεῖς διασαφήσομεν.

Μέν. Οὗτος τίθεται ἐν τῷ προτέρῳ λόγῳ, ἀλλ' οὐχὶ καὶ τῆς πρώτης λέξεως τοῦ προτέρου λόγου προτασσόμενος. ἀπαιτεῖ δὲ τὸν δέ ἐπενεχθῆναι ἐν τῷ δευτέρῳ λόγῳ, ἢ τοὺς ἰσοδυναμοῦντας τῷ δέ, φημὶ τὸν ἀλλά, τὸν αὐτάρ, τὸν ἀτάρ, οὗ ὁ Διονύσιος οὐκ ἐμνήσθη. 25

Ὁ μὲν μέν συμπλεκτικὸς σύνδεσμος συνήθης ἐστὶ καὶ 30 ποιηταῖς καὶ λογογράφοις, δύναμιν ἔχων τὴν αὐτὴν τῷ ἤτοι, συμπλεκτικῷ ὄντι· μὴ ὄντι δὲ συμπλεκτικῷ ἀλλὰ διαζευκτικῷ οὐδ' ἔτι αὐτῷ ἰσοδυναμεῖ. διαφέρει δὲ κατὰ

δύο τρόπους τοῦ ἤτοι ὁ μέν, ὅτι ὁ μὲν μέν συνήθης ὁ δὲ ἤτοι ποιητικός, καὶ ὅτι ὁ μὲν μέν μέσος παραλαμβάνεται, ὁ δὲ ἤτοι κατ' ἀρχὴν τίθεται, οἷον

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον·
ἤτοι ὁ γ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο.

Δέ. Οὗτος ἐν τῷ προτέρῳ οὐδέποτε εὑρίσκεται, ἀλλ' ἢ τοῦ μέν προκειμένου ἐν τῷ προτέρῳ λόγῳ οὗτος ἐν τῷ δευτέρῳ λόγῳ τίθεται, ἀλλ' οὐκ ἐν ἀρχῇ τοῦ δευτέρου λόγου, ἐπακολουθῶν τῷ μέν — διὸ καὶ μετὰ τὴν κοινὴν ὀνομασίαν τῶν συνδέσμων, τὴν συμπλεκτικήν, καὶ εἰδικῆς ἔτυχεν ὀνομασίας, καλούμενος ἀκολουθητικός, ὡς ἐπακολουθῶν τῷ μέν — ἢ μηδενὸς τῶν συνδέσμων προκειμένου ἐν τῷ προτέρῳ λόγῳ οὗτος ἐν τῷ δευτέρῳ λόγῳ τίθεται, ὀφείλων συνδῆσαι ἀμφοτέρους τοὺς λόγους. καλεῖται δὲ καὶ μεταβατικός· ἀπὸ προσώπου γὰρ εἰς πρόσωπον ἢ ἀπὸ πράγματος εἰς πρᾶγμα μεταβαίνοντες αὐτῷ κέχρηνται πάντες.

Καὶ ὁ δὲ ὁμοίως παρὰ ποιηταῖς ἐστὶν ἐν τῷ ἔθει συνήθης, ἰσοδυναμῶν τῷ ἀτάρ ἢ αὐτάρ, ἀλλὰ πάλιν διαφέρει, ὅτι ὁ μὲν συνήθης καὶ ἐν μέσῃ φράσει τίθεται, ὁ δὲ καὶ ποιητικὸς καὶ ἀρκτικός. χρὴ δὲ εἰδέναι ὅτι πάντως τῷ μέν ἐπιφέρεται ὁ δέ, τοῦ λόγου μεταβαίνοντος εἰς ἕτερον πρόσωπον ἢ εἰς ἑτέραν θέσιν καὶ ἔννοιαν πράγματος. εὑρισκομένου δὲ τοῦ δέ οὐ πάντως προῆν ὁ μέν.

Τέ. Οὗτος τίθεται μὲν καὶ ἐν τῷ προτέρῳ λόγῳ καὶ ἐν τῷ δευτέρῳ καὶ ἐν τῷ τρίτῳ καὶ ἐφεξῆς ἐπ' ἄπειρον, ἐφ' ὅσον ἄν τις βουληθῇ· ἀλλ' οὐ προτασσόμενος τῶν πρώτων λέξεων τῶν λόγων, ἀλλὰ μετὰ τὴν πρώτην λέξιν εὐθέως· ἰσοδυναμεῖ δὲ κατὰ τὴν ἔννοιαν τῷ καί.

Καί. Οὗτος ἰσοδυναμῶν τῷ πρὸ αὐτοῦ, φημὶ δὲ κατὰ τὴν ἔννοιαν, καὶ ἐν τῷ προτέρῳ λόγῳ καὶ ἐν τῷ

δευτέρῳ καὶ ἐν τῷ τρίτῳ καὶ ἐφεξῆς ὡς ὁ τέ τίθεται. ἀλλ' οὗτος καὶ τῶν πρώτων λέξεων προτίθεται.

Ὁ τέ καὶ ὁ καί τὴν ἴσην δύναμιν ἔχουσιν.

Ἀλλά. Οὗτος ἐν τῷ δευτέρῳ τίθεται, προτασσόμενος καὶ τῆς πρώτης λέξεως τοῦ δευτέρου λόγου. ἰσοδυναμεῖ δὲ τῷ δέ, ὡς προεῖπον. 5

Ὁ ἀλλά ἀντὶ τοῦ δέ παραλαμβάνεται, οἷον ἄνθρωπος μέν εἰμι, ἀλλὰ κατὰ τὸ ὄνομα οὐ πράττω καὶ ἡμέρα μέν ἐστιν, ἀλλὰ τὰ νέφη οὐχ ὁρῶ. 10

Ἡμέν, ἠδέ, ἰδέ. Οἱ τρεῖς οὗτοι σύνδεσμοι ἰσοδυναμοῦσι τῷ καί, τίθενται δὲ καὶ ἐν τοῖς πρώτοις καὶ ἐν τοῖς ἐφεξῆς λόγοις, [ὡς] ὁ καί προτασσόμενοι τῶν λέξεων.

15

Ἡμέν, ἠδέ, ἰδέ. Ὅμοιοι τῷ καί.

Τινὲς ἐνόμισαν τὸν ἡμέν καὶ ἠδέ καὶ ἰδέ κατὰ πλεονασμὸν τοῦ η καὶ τοῦ ι γενέσθαι ἀπὸ τοῦ μέν καὶ δέ, καί φασιν· ὡς τὸ μύει ἡμύει, οὕτω καὶ ἰδέ. καὶ εὐλόγως· ἐπεὶ γὰρ ἰσοδυναμοῦσι τῷ καί, οὗτος δέ ἐστιν ἀρκτικός, οὐκ ἠδύναντο [δ'] αὐτοὶ ἀρκτικοὶ εἶναι, προσέλαβον ἑαυτῶν ἄνωθεν συλλαβήν. Πρὸς τούτους φαμὲν ἁπλοῦν· τὰ πάθη τὸ δηλούμενον οὐκ ἀλλοιοῦσιν, οἷον μύει ἡμύει ταὐτόν, αὔω ἰαύω. — τοῦτο δὲ δύναται καὶ παρὰ τὸν ἴον ἰαύω, τοῦ μονάζω δηλουμένου· καὶ νῦν γάρ φησιν ἡσυχάζειν τὸν καθεύδοντα ὁ βίος. — ὁ δέ σύνδεσμος μεταβατικός ἐστιν, οἷον ἐγὼ μὲν ἀνέγνων, αὐτὸς δὲ διελέξατο· καὶ ἀναιρετικός, οἷον σὺ μὲν παρεγένου, ἐγὼ δὲ οὔ. ὁ ἰδέ ἀθροιστικός ἐστιν, οὐ μεταβατικός. οὐκ ἄρα πλεονασμός. Οὐδέποτε γίνεται πλεονασμὸς μείζων τῆς δεχομένης τὸν πλεονασμὸν λέξεως· πῶς οὖν μέν - ἡμέν, δέ - ἠδέ; Ὁ μέν πρὸς τὸν 20 25 30

δέ ἐν μεταβάσει τίθεται, οἷον ἐγὼ μὲν ἔγραψα, σὺ δ' ἀνέγνως· ὁ δὲ ἡμέν πρὸς τὸν ἠδὲ ἐν συμπλοκῇ.

Αὐτάρ, ἀτάρ. Οὗτοι οἱ δύο σύνδεσμοι, ἰσοδυναμοῦντες τῷ δέ, ἐν τοῖς δευτέροις λόγοις τίθενται ὡς ὁ δέ, ἢ προκειμένου τοῦ μέν ἢ μὴ προκειμένου. ἀλλ' οὗτοι καὶ αὐτῆς τῆς πρώτης λέξεως τῶν δευτέρων λόγων προτάττονται.

Ὁ ἀτάρ καὶ ὁ αὐτάρ ὡς ὁ δέ εἰσιν.

Ἤτοι. Οὗτος, ἰσοδυναμῶν τῷ μέν, ἐν τοῖς προτέροις λόγοις τίθεται, καὶ αὐτῆς δὲ τῆς πρώτης λέξεως καταρχεται, τόνον δὲ ἔχει ἐναντίον τῶν συμπλεκτικῶν συνδέσμων· πάντων γὰρ ἐκείνων ὀξυνομένων οὗτος παροξύνεται, μὴ νομιζομένης τῆς οἱ διφθόγγου ἀλόγου, ἀλλὰ τελείας μακρᾶς λόγον ἐχούσης ἐν τοῖς ἀκλίτοις τῶν μερῶν τοῦ λόγου. ἔχει δὲ καὶ πνεῦμα ψιλόν.

Ὁ ἤτοι παρ' Ὁμήρῳ μόνον συμπλεκτικός, παρὰ δὲ τοῖς πεζοῖς καὶ τῇ συνηθείᾳ διαζευκτικός· διὸ καὶ βαρύνεται, τῶν συμπλεκτικῶν πάντων ὀξυνομένων.

Ὁ ἤτοι ὁμοίως τῷ μέν.

Κέν, ἄν. Οὗτοι οἱ δύο σύνδεσμοι ἐν τοῖς προτέροις καὶ ἐν τοῖς δευτέροις τίθενται, ἀλλ' οὐ καταρχόμενοι λέξεων.

Ὁ κέν καὶ ὁ ἄν, παραπληρωματικοὶ ὄντες, εἰς τοὺς συμπλεκτικοὺς ἐτάγησαν. πῶς δὲ καὶ διὰ τί, ἐν τῷ περὶ συνδέσμου λεκτέον.

Γάρ. Τὸν γὰρ αὐτὸς οὐ παρέθετο, ἐπεὶ κοινῇ μὲν διανοίᾳ καὶ αὐτὸς συμπλεκτικός, εἰδικῇ δὲ ἐναντιωματικός.

„Διαζευκτικοὶ — ἤ." Οἱ διαζευκτικοὶ σύνδεσμοι

τὴν ἐναντίαν ποιοῦνται τάξιν τοῖς συμπλεκτικοῖς. σπόπει δὲ τὴν τάξιν τοῦ τεχνικοῦ, πῶς παρατίθησι τὰ ἐναντία τοῖς ἐναντίοις. οἱ γὰρ συμπλεκτικοὶ συνάγουσι καὶ συνδεσμεύουσιν, οἱ δὲ διαζευκτικοί, ἐναντίως ἔχοντες πρὸς τοῦτο, διιστῶσι.

Καὶ συμπλεκτικοὶ μὲν διὰ τὸ συμπλέκειν τὰς διανοίας ἐπαλλήλους, διαζευκτικοὶ δὲ διὰ τὸ διαζευγνύναι. Δοκεῖ δέ πως ἐναντίον εἶναι τὸ διαζευγνύναι τῷ συνδεσμεῖν· τὸ γὰρ συμπλέκειν καὶ δεσμεῖν οὐκ ἀπῳδόν, τὸ δὲ συνδεσμεῖν καὶ διαζευγνύναι ἀπῳδόν. φαμὲν οὖν ὡς συνδέουσι μὲν τὴν φράσιν, διαζευγνύουσι δὲ τὸ δηλούμενον· ἤτοι κάθημαι ἢ ἕστηκα. εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα, μάχομαι, ὀφθαλμιῶ· καὶ ἐν ἀριθμῷ δέ, οἷον χορός, Ἀθῆναι· πτῶσις ὀρθή. διαζευγνύουσι μὲν οὖν τὰς διανοίας, τὸν δὲ λόγον συνδεῖ. ἐὰν γὰρ εἴπω ἤτοι ζῇ ἢ τέθνηκεν, ἓν μέν τι τῶν νοημάτων τίθημι, ἓν δὲ ἀναιρῶ, καὶ οὕτω τὴν διάζευξιν ποιοῦμαι· ὁ μέντοι λόγος συνδεῖται. οὐδὲ γὰρ ἐὰν εἴπω ἤτοι ζῇ, τέλειόν ἐστι τὸ ζῇ νόημα, ἀλλὰ δεῖται τῆς ἐπαγωγῆς τοῦ ἢ τέθνηκεν.

Οὐ τῆς φράσεώς εἰσι διαζευκτικοί, ἀλλὰ τῶν προσώπων ἢ τῶν πραγμάτων, ἐπειδὴ οὐκ ἔλαττον τῶν συμπλεκτικῶν συνδέουσι τὴν φράσιν, μᾶλλον δὲ καὶ ἐπισυνδέουσιν, ὡς καὶ ὁ τεχνικός φησι, διὰ τῆς ἐπισυνδέσεως τὸ ἐντεταμένον φαίνων.

Γεωργίου. Ζητεῖται, εἰ σύνδεσμοι, πῶς διαζευκτικοί; Ἔστι καὶ αὐτὸς τῶν μαχομένην ἐχόντων τὴν φωνὴν πρὸς τὸ σημαινόμενον. σύνδεσμος γάρ ἐστι τῇ φωνῇ· φωνὰς γὰρ διαφόρους συνδεῖ, καὶ οὐκ ἐᾷ ἐπὶ μιᾶς ἑστάναι διανοίας τὸν λόγον. ἐὰν εἴπω ἡμέρα ἐστί, τέλειος λόγος ἐστὶ καὶ ἑτέρου ἀπροσδεής· ἐὰν δὲ προσθῶ καὶ εἴπω ἢ ἡμέρα ἐστί, πάντως δεήσει ἐπαγαγεῖν ἢ νύξ

ἢ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἰοχέαιρα·
καὶ βεβαιωτικὸς ὡς ἐν τῷ
ἢ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.
„Συναπτ. — εἰδήπερ." Φασὶ δέ τινες ὅτι κοινῆς ἔχονται σημασίας οἱ συναπτικοὶ καὶ οἱ συμπλεκτικοί· τὸ γὰρ συμπλέκειν καὶ τὸ συνάπτειν ταὐτόν ἐστι. καὶ ἔστιν ἡ διαφορὰ τῶν συμπλεκτικῶν καὶ τῶν συναπτικῶν αὕτη, ὅτι οἱ μὲν συμπλεκτικοὶ δύναμιν ἔχουσι τοῦ πράγματος, ἀταξίαν δὲ φράσεως, οἷον καὶ περιπατῶ καὶ νοῶ, καὶ ἀνάπαλιν καὶ νοῶ καὶ περιπατῶ· οἱ δὲ συναπτικοὶ τὸ ἐναντίον οὐ παριστῶσι μὲν τὴν δύναμιν τοῦ πράγματος, ἀκολουθίαν δὲ φράσεως καὶ τάξιν φυλάττουσιν, οἷον εἰ περιπατήσω κινηθήσομαι. οὐ δυνάμεθα εἰπεῖν εἰ κινηθήσομαι περιπατήσω· ψευδὲς γάρ.

Οὗτοι ἀκολουθίαν μὲν πραγμάτων σημαίνουσιν, οὐ μέντοι πάντως καὶ ὑπαρχόντων. δύναμαι γὰρ ἡμέρας οὔσης εἰπεῖν εἰ νὺξ ἦν, ἄστρα ἐφαίνετο. ἐπιζητοῦσι μὲν οὖν τὴν ὕπαρξιν οἱ συναπτικοί, τηροῦσι δὲ τῷ λόγῳ τὸ ἀκόλουθον. εἰ ἦλθεν ὁ ἄρχων, ἐσέσωστο ἂν ἡ πόλις. δοκεῖ δὲ καὶ αὐτὸς συμπλεκτικὸς εἶναι, καθὸ συνάπτει. ἀλλ' ὁ μὲν συναπτικὸς ἄπειρα ἐπάγει καὶ πληροῖ τὴν διάνοιαν.

Οὗτοι τάξιν σημαίνουσιν ἡγουμένου πρὸς ἑπόμενον· ἡ γοῦν ἀντιστροφὴ ψεῦδος εἰσάγει· εἰ φῶς ἐστίν, ἡμέρα ἐστίν· εἰ νύξ ἐστι, σκότος ἐστίν. οὐ πάντως, ἐν νυκτὶ ὄντος σελληναίου φωτὸς ἢ πυρείου, οὔτε ἡμέρα ἐστὶ διὰ τὸ φῶς, οὔτε σκότος, καίτοι νυκτὸς οὔσης. τί οὖν εἰ ἥλιος ὑπὲρ γῆν ἐστίν, ἡμέρα ἐστίν· εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆν ἐστί; πῶς ἀληθεύει; ὅτι ταῦτα φυσικὴν εἶχον ἀκολουθίαν.

Συναπτικοὶ λέγονται ὅσοι τὴν ἑρμηνείαν καὶ τὸ ὡς ὄντως ἔχον οὐ σημαίνουσιν, ἀλλὰ τάξιν μόνον. ἴδιον γάρ ἐστι συνδέσμου τὸ τάξιν ἢ δύναμιν σημαίνειν, ἔσθ' ὅτε δὲ καὶ τὰ δύο, οἱ μέντοι συναπτικοὶ τάξιν μόνον ἐπαγγέλλονται, οὐ μέντοι ὕπαρξιν, ὡς ἐὰν εἴπω εἰ φιλομαθὴς [εἶ,] ἔσῃ πάντως καὶ πολυμαθής.

Διομήδους. Οὗτοι τὰ μὲν λεγόμενα οὐ πάντως ἐν ὑπάρξει ὄντα σημαίνουσιν ἐν τῷ καιρῷ ἤτοι χρόνῳ ἐκείνῳ, καθ' ὃν λέγονται· ἐπιμελοῦνται δὲ τῆς ἀκολουθίας. καὶ πάλιν ἐν τῷ προτέρῳ λόγῳ τίθενται καὶ ἐν τῷ δευτέρῳ, μὴ ἀπαιτοῦντές τινα τῶν συνδέσμων παρεῖναι. Καὶ ἐνταῦθα δὲ τῇ ἀληθείᾳ εἷς ἔστι συνακτικός, ὁ εἰ. ὅτι γὰρ ἐπέκτασις ὁ εἴπερ τοῦ εἰ, καὶ ὁ τόνος ἐλέγχει, ὀξὺς ὢν καὶ ἐν τῷ εἴπερ, ὡς καὶ ἐν τῷ εἰ. εἰ γὰρ μὴ ἦν ἐπέκτασις, ἔδει τὸν εἴπερ προπερισπᾶσθαι διὰ τὸ εἶναι μακρὰν πρὸ βραχείας ἐν ἑνὶ μέρει λόγου· ἀλλ' ὁ κανὼν οὗτος ὁ τονικὸς παρεφυλάξατο τὰς ἐπεκτάσεις. ἔχει γὰρ οὕτω· πᾶσα μακρὰ πρὸ βραχείας, ἀνεπέκτατος, ἐν ἑνὶ μέρει λόγου, προπερισπᾶται. ὁμοίως δὲ καὶ ὁ εἰδήπερ καὶ ὁ εἰδή ὀξὺν τόνον ἔχει. ψιλοῦνται δὲ πάντες.

Ὅτι εἰ τίθεται ἐν προτάσει οὕτως· εἰ Πηνελόπη φίλανδρος καὶ Ὀδυσσεὺς ἐπλανήθη κατὰ Σικελίαν, λείπει τὸ εἰπέ, μελέτησον. καὶ ἀντὶ τοῦ ὡς ὁμοιωματικοῦ· εἰ ζῶον ἵππος, καὶ ὄνος ζῶον. καὶ ἀντὶ τοῦ ἐπεί παρασυναπτικοῦ·

εἰ δεινὰ δέδρακας, δεινὰ καὶ παθεῖν ἔδει,

ἀντὶ τοῦ ἐπεὶ δεινὰ δέδρακας.

Ὁ εἴπερ οὐδὲν πλέον δηλοῖ τοῦ εἰ· ἔστι δὲ κατὰ σύνθεσιν, ἐπεὶ καὶ μεσοσυλλαβεῖται ὑπὸ τοῦ δή, ἐπειδήπερ. δηλοῖ καὶ ὁ τόνος· παροξύνεται τὸ εἴπερ, οὐ προπερισπᾶται.

„Παρασυναπτ. — ἐπειδήπερ." Διαφέρουσι τῶν συναπτικῶν οἱ παρασυναπτικοὶ τῇδε, ὅτι οἱ παρασυναπτικοὶ δύναμιν τοῦ πράγματος παριστῶσιν, ὅσοι μεθ' ὑπάρξεως, τουτέστι μετὰ πράγματος δύναμιν ἐμφαίνοντος, καὶ τάξιν, φράσεως δηλονότι, δηλοῦσιν, οἷον ἐπεὶ ὁ ἥλιος ὑπὲρ γῆν ἐστίν, ἡμέρα ἐστί. 5

Οἱ συναπτικοὶ δὲ τῶν παρασυναπτικῶν διαφέρουσιν οὕτως, ὅτι ὁ μὲν συναπτικὸς μόνην συνάπτει διάνοιαν, μὴ πάντως [τοῦ] πράγματος ὑφεστῶτος (ἐὰν [γὰρ] εἴπω εἴπερ ἥλιος ὑπὲρ γῆς, ἄδηλον εἰ ὑπὲρ γῆς ἐστίν)· ὁ δὲ [παρα]συνάπτικός, πρὸς τῷ ἀκολουθίαν σημαίνειν καὶ συνάπτειν πρὸς ἕτερον νόημα, καὶ ὑφίστησι τὸ πρᾶγμα, οἷον ἐπείπερ ἥλιος ὑπὲρ γῆς ἐστίν, ἡμέρα ἐστίν. 10 15

Γεωργίου. Οἱ παρασυναπτικοὶ τὸ ἡγούμενον ἀναμφισβήτητον ἔχοντες τὸ πάντως ἀκόλουθον αὐτοῖς ... εἰδέναι τὰς συντάξεις τὰς εὑρισκομένας. πολλάκις γὰρ παρὰ τοῖς ποιηταῖς ἀναγινώσκοντες ἢ παρὰ τῷ ποιητῇ εὑρίσκομεν τοὺς συναπτικοὺς ἀντὶ παρασυναπτικῶν, ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ ἐν Φοινίσσαις τὸ 20

εἰ σοφὸς γέγονας, οὐκ ἐᾷν βροτόν
τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι.

ἐνταῦθα ὁ εἰ οὐκ ἀνύπαρκτός ἐστιν· ἄτοπον γὰρ περὶ θεοῦ ἀπιστεῖν ὅτι σοφός ἐστιν, ἀλλὰ δεῖ πάντως παραλαμβάνειν τὴν ὕπαρξιν. ἔστιν οὖν ἐνταῦθα ὁ συναπτικὸς ἀντὶ παρασυναπτικοῦ, ὡς σημαίνειν τὴν εἴ λέξιν ἀντὶ τοῦ ἐπεί. 25

30

Οὗτοι καὶ ὕπαρξιν καὶ τάξιν δηλοῦσιν. ὥςπερ δὲ ἐν τοῖς συναπτικοῖς τὰ φύσει ἀντιστροφὴν ἐδέχοντο, τὰ δὲ κατάχρησιν ἔχοντα συναφείας οὐκέτι, οὕτω καὶ τούτοις,

οἷον ἐπεὶ περιπατῶ, κινοῦμαι· οὐκ ἀναστραφήσεται· κατάχρησις γάρ. ἐπείπερ ζῶ, ἀναπνέω.

Εἰρήκαμεν ἄνω περὶ τῆς τοῦ ἐπεί συνθέσεως. ἐπάγεται οὖν αὐτῷ ὁ εἴ, ἐπεί, εἰ ἀνέγνως, ἔκμαθε, ὥςπερ καὶ τῷ ἐάν ὁ ἄν, ἐὰν θελήσῃς, ἀναγνοίην ἄν. καὶ οὐδὲν ἄτοπον, ἐν τῇ συνθέσει κειμένων τῶν ἁπλῶν, ἐπάγεσθαι αὐτά· ἰδοὺ γὰρ φιλάνθρωπος ἄνθρωπος, φιλόσοφος φίλος.

Ὥςπερ δὲ ἀπὸ τοῦ εἰ ἄν ἐγένετο ἐάν, οὕτως ἀπὸ τοῦ ἐπεὶ ἄν ἐγένετο ἐπεάν. γίνεται δὲ ἐν συναλοιφῇ τὸ ἐάν ἦν, καὶ τὸ ἐπεάν ἐπήν, ὡς κυνέα κυνῆ. οὐ γὰρ τοὐναντίον, ἐπεὶ τὸ η̄ πρὸ τοῦ ν̄ εἰς ε̄ᾱ διαιρούμενον ἀποβάλλει τὸ ν̄, Ξέρξην Ξέρξεα.

„Αἰτιολογ. — καθόσον." Διομήδους. Καλῶς οὖν οὗτοι ἐκλήθησαν αἰτιολογικοί, τῆς αἰτίας λόγον παρέχοντες, ὡς καὶ αὐτός φησι παραλαμβάνεσθαι αὐτοὺς ἐπὶ τῇ ἀποδόσει τῆς αἰτίας. οὗτοι δὲ πάντες ἐν τῷ προτέρῳ λόγῳ τίθενται, καὶ ποιοῦσιν ὀρθὰς περιόδους καὶ τοὺς λόγους, ὡς καὶ μεταξὺ τῶν δύο λόγων τὴν ἐνυπόκριτον στιγμὴν τίθεσθαι, ὡς καὶ ἐν τῷ περὶ στιγμῆς εἴρηται ἡμῖν. εἰ δὲ ἐν τῷ ἑτέρῳ λόγῳ τεθῶσι, καὶ τὰς περιόδους ἤτοι τοὺς λόγους ἀντιστρόφους ἀποτελοῦσι, καὶ τὴν ἐνυπόκριτον στιγμὴν εἰς ὑποδιαστολὴν μεταβάλλουσιν.

Ἰστέον δὲ ὅτι ὁ διό [δύο] μερῶν λόγου παράθεσίς ἐστι, προθέσεως καὶ ἄρθρου ὑποτακτικοῦ, ὅθεν καὶ μετὰ τὸ ῑ ἀποστροφὴν ἐπιδέχεται καὶ δύο τόνους, τὸν τῆς διά τὸν ἐν συνεπείᾳ, τουτέστι τὸν βαρύν, καὶ πνεῦμα δασὺ ἐπὶ τοῦ ο̄ καὶ τόνον ὀξὺν ἢ βαρὺν ἐν τῇ συνεπείᾳ. Τὸ δὲ διότι ἐν ἐπεκτάσει τοῦ πρὸ αὐτοῦ γέγονε, προςλαβὸν τὸ τῑ, καὶ ἔστι καὶ αὐτὸ ἐν παραθέσει δύο μερῶν λόγου, καθὸ καὶ [τὸ] διό. ἢ τριῶν μερῶν λόγου παράθεσίς ἐστι, τῆς διά προθέσεως καὶ τοῦ ὦ ἄρθρου ὑποτακτικοῦ καὶ τοῦ

τί ὀνόματος ἀορίστου. τόνον δὲ καὶ πνεῦμα ἔχει ὅμοιον τῷ πρὸ αὐτοῦ, μόνον ὅτι ἐπὶ τοῦ ō ἀεὶ τὴν ὀξεῖαν ἔχει, ἐπειδὴ ἐγκλιτικὸν μόριον ὑπάρχον τὸ τί τὴν πρὸ αὐτοῦ βαρεῖαν ἐγείρει. Τὸ δὲ καθό ἐν πᾶσιν ἔοικε τῷ διό, καὶ τὸ καθότι τῷ διότι. Τὸ δὲ καθόσον δύο μερῶν λόγου παράθεσις, προθέσεως τῆς κατά καὶ τοῦ ὅσον ὀνόματος ἀναφορικοῦ. τόνον δὲ καὶ πνεῦμα ἔχει ὡς ὁ διότι. 5

Αἰτιολογικοὶ σύνδεσμοι λέγονται ὅσοι αἰτίας ἕνεκα παραλαμβάνονται ἐν τῇ φράσει. εἴ που γάρ τις ἐρωτήσειε, τίνος ἕνεκα πεποίηκας τόδε τὸ πρᾶγμα, ἀκούσεται πάντως διότι τόδε. Εἰσὶ δὲ καὶ ἐνταῦθα φωναὶ ποιητικαί, εἰσὶ καὶ μέσαι. ταῖς μὲν οὖν ποιητικαῖς μόνοι ποιηταὶ χρῶνται, ταῖς δὲ μέσαις καὶ πεζολόγοι καὶ ποιηταί. εὐθὺς οὖν παρὰ τῷ ποιητῇ 10 15

οὕνεκα τὸν Χρύσην.

πάλιν τῇ μέσῃ ἐν προσθήκῃ στοιχείου ἐχρήσατο ὁ ποιητής, μετάγων ὡς ποιητικήν. τὸ γὰρ ὕνεκα λέγουσι καὶ πεζολόγοι, ἀλλὰ καὶ [ὁ] ποιητής· ἐπειδὴ δὲ μακρᾶς ἐδεῖτο, προσέθηκε τὸ ῑ ἐνταῦθα, 20

εἵνεκ' ἐμεῖο κυνός.

τὸ δὲ διό καὶ διότι πεζολόγοι.

„Ἀπορημ. — μῶν." Ὁ ἄρα ἐρωτηματικὸς ὢν μηκύνει τὸ ᾱ, συλλογιστικὸς δὲ βραχύνει. τρέπεται δὲ ἑκατέρου τὸ ᾱ εἰς ῃ, τὸ μὲν μακρὸν παρ' Αἰολεῦσιν οὕτως. 25

ἦρ' ἔτι παρθενικὰς ἐπιβάλλομαι,

καὶ παρ' Ἴωσιν,

ἦρά τοι ὧδ' αἰεὶ ταχινοὶ πόδες·

τὸ δὲ βραχὺ οὕτως·

ἦρά νύ τοι μεγάλων δώρων 30

ἀντὶ τοῦ μεγάλων ἄρα δώρων ἡ ψυχὴ ἐπιθυμεῖ.

Καὶ ὁ ἤ δὲ διαπορητικὸς καὶ ὁ ἠέ·

ἤ

ἢ οὐχ ἑσπέσθην — — —
ἢ δεῦρο μὲν ἕποντο·
ἠὲ χολον παύσειεν.

Ὁ κᾶτα εὑρίσκεται ἀντὶ τοῦ καί, οἷον

κᾶτα πῶς δυνήσομαι,
ἄπειρος, ἀθαλάττωτος, ἀσυλαμίστιος
ὤν, εἶτ' ἐλαύνειν;

Ἡγοῦντο δέ τινες τοῦτον σύνθετον ἐκ τοῦ καί καὶ εἶτα, θλίψεως γενομένης καὶ κράσεως. καὶ ποῦ τὸ ῑ τῆς ει; ἄλλως τε ὁ καί τοῦ ᾱ μόνου ἐπαγομένου τὴν εἰς ᾱ πάσχει κρᾶσιν, τῆς δὲ ει εἰς τὴν ει, οἷον καὶ ἐγώ - κἀγώ, καὶ εἶπον - κεῖπον, καὶ εἶχον - κεῖχον.

Ὁ μῶν ἠξιοῦτο ἀπὸ τοῦ μή καὶ ὤν, τραπέντος ἐκ τοῦ οὖν Δωρικῶς, κράσει γενέσθαι, ὡς μηωρός μωρός, ὁ φροντίδα μὴ ἔχων.

Ἀπορηματικοὶ λέγονται, διότι ἐν ἀπορίᾳ ὄντες τούτοις τοὺς λόγους συνδέομεν. χρώμεθα οὖν τούτοις περί τινος ἀμφισβητοῦντες, καὶ μὴ ἀκριβῶς εἰδότες, πῶς ἕκαστον γέγονε τῶν ζητουμένων. ὥσπερ ὁ ποιητὴς εἰσήγαγε τὸν Ἀγαμέμνονα διαπορούμενον καὶ πρὸς τὸν Νέστορα ποιούμενον τὸν λόγον·

ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί·

ἀγνοῶν γὰρ καὶ διαπορούμενος ἔφη τοῦτο.

Περὶ αἰτιολογικῶν καὶ ἀπορηματικῶν περιττόν ἐστι λέγειν, δήλης οὔσης τῆς φράσεως παρὰ τῷ τεχνικῷ. Λεκτέον οὖν περὶ συλλογιστικῶν.

Συλλογιστικοί εἰσιν ὅσοι πρὸς τὰς ἐπαγωγὰς καὶ συναγωγὰς τῶν ἀποδείξεων εὖ διάκεινται. οἷόν φαμεν ἔχεις τριώβολον· ἀλλὰ μὴν ὁμολογήσεις ἔχειν ἐννέα ὀβολούς· τοιγαροῦν ποίησόν μοι γραμματεῖον.

Ἐπιφορικοὶ διὰ τοῦτο καλοῦνται, ὅτι μετὰ τὰς προσλήψεις τῶν διαλέξεων ὡς συντελοῦντες εἰς πραβλήματα ἐπιφέρονται, οἷον εἰ περιπατεῖς, κινῇ· ἀλλὰ μὴν περιπατεῖς· κινῇ ἄρα, τοιγαροῦν κινῇ. ὁ ἄρα καὶ τὸ τοιγαροῦν ἐπιφορικῶς ἐπήχθησαν, προληπτικῶς ληφθέντος τοῦ περιπατεῖς. Συλλογιστικοί, ὅτι συνάγουσι τοὺς λόγους, ἢ ὅτι συναθροίζουσιν ἀριθμητικῶς, οἷον ἔχεις μου δραχμήν, ἐδέξω μου καὶ δύο, ἔχεις ἄρα τρεῖς μου δραχμάς.

Ἰστέον ὅτι ὁ ἀλλαμήν, ἐκ τοῦ ἀλλά καὶ μήν παραπληρωματικοῦ γενόμενος, σύνθετός ἐστι. καὶ ὁ τοίνυν ἐκ δύο παραπληρωματικῶν συλλογιστικὸς ἐγένετο. ὁ δὲ τοιγάρ, ἐκ τοῦ τοί καὶ τοῦ γάρ, ἐν παραθέσει ὄντων, γέγονεν εἰς συλλογιστικὸν σύνδεσμον. καὶ ὁ τοιγαροῦν, οὐκ ἔχοντος ἐνταῦθα τοῦ γάρ τὴν ἰδίαν δύναμιν ἢ ἔννοιαν, ἄλλως δὲ ἐν παρολκῇ κειμένου. μεσολαβηθεὶς γὰρ ὑπὸ τοῦ τοί καὶ τοῦ οὖν, ἑκατέρωθεν παραπληρωτικοῖς στενωθεὶς [παραπληρωματικὸς] καὶ αὐτὸς γέγονε.

Διομήδους. Οἱ μέτρον ἀναπληροῦντες ἢ κόσμον παρέχοντες τοῖς λόγοις οὗτοί εἰσι, δίκην στοιβῆς ἤτοι σαφηνηρίων παρεισδυόμενοι. διὸ καὶ οἱ πλείονες αὐτῶν εἰς τὰ ἐγκλιτικὰ μόρια κατετάγησαν.

Παραπληρωματικοὶ δὲ οὗτοι λέγονται, ὅσοι παρόντες οὐδὲν ὠφελεῖν δύνανται, οὔτε μὴν χωρισθέντες λυμαίνονται. οὗτοι δὲ παραλαμβάνονται τοῖς ποιηταῖς ἢ διὰ τὴν στενότητα ἢ διὰ καλλωπισμὸν τῆς φράσεως.

Παραπληρωματικοὶ δέ εἰσι σύνδεσμοι, ὅσοι πρὸς τὸ μὴ κεχηνέναι τὴν φράσιν παραλαμβάνονται. οἱ δὲ ποιηταὶ ἐνηλλαγμένως τιθέασιν, καθάπερ ὁ Ὅμηρος τὸν μέν ἀντὶ τοῦ μήν καὶ τὸν δέ ἀντὶ τοῦ δή· καὶ ὁ δή τὸ ῥά. καὶ ἐπὶ τῶν παραπλησίων τηρητέον ὁμοίως.

Οἱ παραπληρωματικοὶ καὶ αὐτοὶ σημαίνουσί τι, καθά περ καὶ οἱ ἄλλοι σύνδεσμοι. ἀλλ' ἐπεὶ ποικίλη αὐτῶν ἡ σημασία, ἀπὸ τοῦ ἐπικοίνως ἐπισυμβαίνοντος παραπληρωματικοὶ εἴρηνται. ὁ μὲν γὰρ δή καὶ οἳ ἰσοδυναμοῦσιν αὐτῷ, ἐν συγκεφαλαιώσει καὶ περιγραφῇ λόγου παραλαμβάνεται, 5

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες
οἳ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο,

οἱ δὲ μετὰ τὰς πεύσεις παραλαμβάνονται,

ποῦ δὲ νηῦς ἔστηκεν Ἕκτορος; 10
ποῦ δαὶ τῶν ἄλλων Τρώων
τίς δαίς, τίς δὲ ὅμιλος,

καὶ ὁ γέ ἐμφαντικός ἐστιν ἐκπλήξεως. . . σμικρότητα δὲ ὡς ἐν τῷ

τοῦτό γέ μοι χάρισαι. 15

καὶ ὁ πέρ ἐναντιωματικός ἐστιν, ὡς ἐν τῷ

μηδ' οὕτως ἀγαθός περ ἐών.

καὶ ἄλλα δὲ πολλὰ σημαίνουσιν οἱ παραπληρωματικοὶ σύνδεσμοι. καὶ ἐπειδὴ οὐκ ἠδύναντο ἀπὸ σημασίας ὀνομασθῆναι, ἐκ τοῦ πλεονάζοντος τὴν ὀνομασίαν ἔσχον· 20 πολλοὶ γὰρ αὐτῶν κατὰ πλεονασμὸν παραπληροῦσι μόνον τὴν φράσιν.

Τούτων τινὲς ἐδείχθησαν σημαινόμενον ἔχοντες. ὁ γέ ἐν τῷ

οὗτός γ' Ἀτρείδης 25

περιττός, ἀλλ' ἐν τῷ καλῶς γε σημαίνει τὴν ἐπίτασιν τῆς τοῦ κάλλους ἐκπλήξεως.

τοῦτό γέ μοι χάρισαι·

ἔμφασιν ὑπαγορεύει ποιότητος κἂν τούτῳ. ὁ μήν παραπληρωματικός, τῷ δὲ ἀλλά συνταχθεὶς προσληπτικὸς γίνεται, οἷον εἰ ἀναγινώσκεις, [ἐπαινῇ· ἀλλὰ μὴν ἀναγινώσκεις·] ἐπαινῇ ἄρα. ὁ γάρ παρέλκων πολύς, μετὰ δὲ τοῦ ἀλλά προσληπτικός, οἷον [εἰ] ἥλιος φαίνει, 30

ἡμέρα ἐστίν· ἀλλὰ γὰρ ἥλιος φαίνει· ἡμέρα ἄρα ἐστίν. ὁ πέρ ἐναντιωματικός, οἷον

ἀγαθός περ ἐών.

μετὰ τοῦ καί, οἷον μὴ θυμοῦ, καίπερ παρτερικὸς ὤν. ὁ καί μετὰ τοῦ μήν ἀποδεικτικὸς μετὰ ἐναντιώσεως, 5 οἷον οὐ βλέπεις, καὶ μὴν ἡμέρα ἐστίν. Ἐπεὶ οὖν διάφορα τὰ δηλούμενα, ἐκ σημασίας μὴ δυνάμενα καλεῖσθαι, τὴν κλῆσιν ἔσχον ἀπὸ τοῦ πλεονάζοντος.

Γεωργίου. Ἐπεὶ δὲ πολλὰ ἐσήμαινον οἱ παραπληρωματικοί, καὶ ἐναντίωσιν, ὡς ὁ πέρ; καὶ περιγραφήν, ὡς ὁ δή, οἷον 10

οἱ μὲν δὴ παρ᾽ ὄχεσφιν,

καὶ αὔξησιν, καὶ μείωσιν, ὡς ὁ γέ, τούτου χάριν. οὐκ ἠδυνήθησαν ἀπὸ σημαινομένου ὀνομασθῆναι, ἀλλ᾽ ἐκ τοῦ πλεονάζοντος. 15

„Τινὲς δὲ — ὅμως." Οὗτοι ἐναντιότητα δηλοῦσι τοῦ εἰκότος, ὡς εἴ τις εἴποι ὅμως μακρὰν ἔστ᾽ ὡς ἤκουον.

Παρέλειψε δὲ τοὺς διασαφητικούς. τίθενται δὲ οὗτοι μεταξὺ δύο λόγων καὶ τὴν ἐκλογὴν τοῦ ἑνὸς ποιοῦνται, οἷον πλουτεῖν βούλομαι ἢ πένεσθαι ἤπερ πένεσθαι. ως ἐπίτασιν δὲ λαμβάνουσι τὰ τῆς ἐπιτάσεως ἐπιῤῥήματα, μᾶλλον ἡμέρα ἐστὶν ἤπερ νύξ. 20

Παρῆκε καὶ τοὺς ἀναιρετικούς, τὸν κέν, τὸν ἄν, οὐ τοῖς παρωχημένοις συντασσόμενοι τὰ δηλούμενα τῶν ἐγκλίσεων ἀναιροῦσι. τὸ γὰρ ἔγραψα σημασία τοῦ πράγματος, τὸ δὲ ἔγραψα ἄν ἀναίρεσις. Τούτους δυνητικοὺς καλοῦσιν, ὅτι τὴν τοῦ δύνασθαι ἔννοιαν δηλοῦσιν, οἷον ὠφελήθειήν ἄν εἰ ἀνέγνων ἀντὶ τοῦ ἠδυνήθην ἀναγνοὺς ὠφεληθῆναι. 25 30

Τὸ δὲ ἔμπης καὶ σύνδεσμός ἐστιν ἐναντιωματικὸς καὶ ἐπίῤῥημα.